ΒΑΣΙΛΕΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ
ΤΟΥ ΜΕΓΑΛΟΥ
ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

3

ΕΠΙΣΤΟΛΑΙ Γ΄

ΕΙΣΑΓΩΓΗ
ΚΕΙΜΕΝΟΝ - ΜΕΤΑΦΡΑΣΙΣ - ΣΧΟΛΙΑ

Ὑπὸ
ΠΑΝΑΓΙΩΤΟΥ Κ. ΧΡΗΣΤΟΥ
Καθηγητοῦ Πανεπιστημίου

ΕΙΣΑΓΩΓΗ

Εἰς τοὺς δύο πρώτους τόμους τῆς παρούσης ἐκδόσεως περιελήφθησαν, ταξινομημέναι εἰς δεκαεπτὰ ὁμάδας, αἱ ἐπιστολαὶ τοῦ Μεγάλου Βασιλείου ποὺ ἔχουν βασικὴν σημασίαν διὰ τὴν γνῶσιν τοῦ ἔργου καὶ τῆς σκέψεως αὐτοῦ. Ἡ δὲ ταξινόμησις ἔγινε κατὰ τοιοῦτον τρόπον, ὥστε μὲ τὴν ἀνάγνωσίν των νὰ παρέχεται πλήρης εἰκὼν τῆς δραστηριότητος τοῦ μεγάλου αὐτοῦ πατρὸς τῆς Ἐκκλησίας.

Ἡ εἰκὼν συμπληρώνεται μὲ τὰς ὑπολοίπους γνησίας ἐπιστολὰς ποὺ δημοσιεύονται εἰς τὸν παρόντα τόμον. Καὶ εἴτε εἰς τὰ ἴδια πρόσωπα ἀπευθύνονται εἴτε εἰς ἄλλα εἴτε καὶ εἰς ἄγνωστα ἀντιστοιχοῦν εἰς τὰς ἰδίας ὁμάδας, εἰς τὰς ὁποίας διηρέθησαν αἱ προηγούμεναι. Ἡ ἀντιστοιχία δεικνύεται εἰς τὸν πίνακα περιεχομένων.

Αἱ ἄλλαι ἐπιστολαὶ ποὺ περιέχονται εἰς τὰς ἐκδόσεις τῶν ἔργων τοῦ Βασιλείου δὲν προέρχονται ἀπὸ τὴν ἰδικήν του γραφίδα.

187

7. ΓΡΗΓΟΡΙΩ ΕΤΑΙΡΩ

Οὐδὲ τότε ἠγνόουν ὅτε ἐπέστελλον τῇ λογιότητί σου ὅτι πᾶσα θεολογικὴ φωνὴ ἐλάττων μέν ἐστι τῆς διανοίας τοῦ λέγοντος, ἐλάττων δὲ τῆς τοῦ ἐπιζητοῦντος ἐπιθυμίας, διότι ὁ λόγος ἀσθενέστερόν πως πέφυκε διακονεῖσθαι τοῖς νοουμένοις. Εἰ οὖν ἀσθενὴς ἡμῶν ἡ διάνοια, ἐλάττων δὲ ταύτης ἡ γλῶσσα, τί ἐχρῆν προσδοκᾶν ἡμᾶς ἐπὶ τοῖς εἰρημένοις καὶ οὐχὶ πενίαν ἐγκληθήσεσθαι λόγων; Οὐ μὴν τούτου γε ἕνεκεν δυνατὸν ἦν σιωπῇ παρελθεῖν τὸ ζητούμενον. Κίνδυνος γὰρ προδοσίας ἐν τῷ μὴ προχείρως ἀποδιδόναι τὰς περὶ Θεοῦ ἀποκρίσεις τοῖς ἀγαπῶσι τὸν Κύριον. Ἐκεῖνα μὲν οὖν, εἴτε ἀρκούντως ἔχειν δοκεῖ, εἴτε καὶ ἀκριβεστέρας τινὸς προσθήκης δεῖται, καιροῦ ἰδίου πρὸς διόρθωσιν χρῄζει. Τὸ δὲ νῦν ἔχον παρακαλοῦμέν σε, ὃ καὶ παρεκαλέσαμεν ἤδη, χρῆσαι σεαυτὸν ὁλοκλήρως τῇ συνηγορίᾳ τῆς ἀληθείας καὶ ταῖς παρὰ Θεοῦ ἐγγινομέναις τῇ διανοίᾳ σου ὁρμαῖς πρὸς τὴν τοῦ ἀγαθοῦ σύστασιν, ταύταις ἀρκούμενον καὶ παρ' ἡμῶν μηδὲν ἐπιζητοῦντα πλέον, οἵ, πολλῷ ἐλάττους ὄντες τῆς ὑπονοίας, βλάπτομεν μᾶλλον τῇ παρ' ἑαυτῶν ἀσθενείᾳ τὸν λόγον ἤ τινα ἰσχὺν διὰ τῆς συνηγορίας τῇ ἀληθείᾳ προστίθεμεν.

Ἐπιστολὴ 7. Ἐγράφη εἰς ἄγνωστον χρόνον, ἴσως μεταξὺ 360 καὶ 363, πρὸς τὸν φίλον Γρηγόριον Θεολόγον.

187

ΕΠΙΣΤΟΛΗ 7
ΠΡΟΣ ΤΟΝ ΦΙΛΟΝ ΓΡΗΓΟΡΙΟΝ

Οὔτε τότε ποὺ ἔγραφα εἰς τὴν λογιότητά σου δὲν ἀγνοοῦσα ὅτι κάθε θεολογικὸς ὅρος εἶναι ἀνεπαρκὴς ν' ἀποδώσῃ ὅλην τὴν σκέψιν τοῦ ὁμιλοῦντος καὶ νὰ ἱκανοποιήσῃ τὴν ἐπιθυμίαν τοῦ ζητοῦντος, διότι ὁ λόγος ἐκ φύσεως ὑπηρετεῖ τὰς ἰδέας κάπως ἀσθενέστερα. Ἐὰν λοιπὸν ἡ διάνοιά μας εἶναι ἀσθενής, κατωτέρα δὲ αὐτῆς ἡ γλῶσσα, τί ἔπρεπε νὰ περιμένωμεν ἀπὸ τὰ λεγόμενά μας, ἂν ὄχι ὅτι θὰ κατηγορηθῶμεν διὰ πτωχείαν λόγων; Βεβαίως ὅμως δὲν ἦτο ἐξ αἰτίας αὐτοῦ δυνατὸν νὰ παρασιωπήσωμεν τὸ ἐπιζητούμενον. Διότι ὑπάρχει κίνδυνος προδοσίας, ὅταν δὲν εἴμεθα ἕτοιμοι νὰ δώσωμεν ἀποκρίσεις περὶ Θεοῦ εἰς τοὺς ἀγαπῶντας τὸν Κύριον.

Ἐκεῖνα λοιπόν, εἴτε φαίνονται ὅτι εἶναι ἐπαρκῆ εἴτε ἔχουν ἀνάγκην κάποιας ἀκριβεστέρας προσθήκης, χρειάζονται ἰδιαιτέραν εὐκαιρίαν πρὸς διόρθωσιν. Πρὸς τὸ παρὸν δὲ σὲ παρακαλοῦμεν, ὅ,τι σὲ παρεκαλέσαμεν ἤδη, νὰ ἐπιδοθῇς ὁλοκληρωτικῶς εἰς τὴν συνηγορίαν τῆς ἀληθείας καί, μὲ τὰς ὁρμὰς ποὺ ἀνακινεῖ ὁ Θεὸς εἰς τὴν διάνοιάν σου, εἰς τὴν κατοχύρωσιν τοῦ ἀγαθοῦ, ἀρκούμενος εἰς αὐτὰ μόνον καὶ μὴ ζητῶν τίποτε πλέον ἀπὸ ἡμᾶς· διότι ἡμεῖς, ἐπειδὴ εἴμεθα πολὺ κατώτεροι ἀπὸ ὅσον ὑποθέτεις, βλάπτομεν μᾶλλον μὲ τὴν ἀδυναμίαν μας τὸν λόγον παρὰ προσθέτομεν κάποιαν ἰσχὺν διὰ τῆς συνηγορίας μας εἰς τὴν ἀλήθειαν.

188

171. ΓΡΗΓΟΡΙΩ ΕΤΑΙΡΩ

Ἐπέσταλκά σοι καὶ πρώην περὶ Γλυκερίου καὶ τῶν παρθένων. Οἱ δὲ οὐδέπω καὶ τήμερον ἐπανήκασιν, ἀλλ' ἔτι μέλλουσιν οὐκ οἶδα ὅθεν καὶ ὅπως. Οὐ γὰρ ἂν ἐκεῖνό σου καταγνοίην ὡς ἐφ' ἡμετέρᾳ διαβολῇ τοῦτο ποιεῖς ἢ αὐτὸς πάσχων τι πρὸς ἡμᾶς ἢ ἄλλοις χαριζόμενος. Ἥκέτωσαν οὖν μηδὲν δεδοικότες· σὺ γενοῦ τούτου ἐγγυητής. Καὶ γὰρ ἀλγοῦμεν τεμνομένων τῶν μελῶν, εἰ καὶ καλῶς ἐτμήθησαν. Εἰ δὲ ἀντιτείνοιεν, ἐπ' ἄλλους τὸ βάρος, ἡμεῖς δὲ ἀποπλυνόμεθα.

Ἐπιστολὴ 171. Ἐγράφη τὸ 374. Βλ. ἐπιστολὰς 169 καὶ 170 Β΄τ. Δὲν ἐπέστρεψαν οὔτε ὁ Γλυκέριος οὔτε αἱ νεάνιδες ἀπὸ φόβον σφοδρᾶς ἐπιτιμήσεως. Διὰ τοῦτο ὁ Βασίλειος τώρα παρουσιάζεται ἐπιεικέστερος.

188

ΕΠΙΣΤΟΛΗ 171
ΠΡΟΣ ΤΟΝ ΦΙΛΟΝ ΓΡΗΓΟΡΙΟΝ

Σοῦ ἔγραψα καὶ προσφάτως περὶ τοῦ Γλυκερίου καὶ τῶν παρθένων. Λοιπόν, δὲν ἐπέστρεψαν ἕως σήμερα, ἀλλὰ ἀκόμη καθυστεροῦν, δὲν γνωρίζω διατί καὶ πῶς. Δὲν θὰ σὲ κατηγοροῦσα βέβαια ὅτι ἐσὺ εἶσαι ποὺ κάμνεις τοῦτο πρὸς συκοφάντησίν μας, εἴτε διότι ἔχεις κάτι ἐναντίον μας εἴτε διότι χαρίζεσαι εἰς ἄλλους.

Λοιπόν, ἂς ἔλθουν χωρὶς νὰ φοβηθοῦν τίποτε· νὰ γίνῃς ἐσὺ ἐγγυητὴς περὶ τούτου. Διότι πονοῦμεν νὰ εἶναι ἀποκομμένα τὰ μέλη, ἂν καὶ καλῶς ἀπεκόπησαν. Ἐὰν δὲ ἀνθίστανται, ἡ εὐθύνη ἂς βαρύνῃ ἄλλους, ἡμεῖς δὲ νίπτομεν τὰς χεῖράς μας.

189

169. ΓΡΗΓΟΡΙΩ ΒΑΣΙΛΕΙΟΣ

Πρᾶγμα μὲν ὑπέστης ἐπιεικὲς καὶ ἥμερον καὶ φιλάνθρωπον τὴν τοῦ καταφρονητοῦ Γλυκερίου (τέως γὰρ οὕτω γράφομεν) αἰχμαλωσίαν συναγαγὼν καὶ τὴν κοινὴν ἀσχημοσύνην ἡμῶν, ὡς οἷόν τε ἦν, συγκαλύψας. Δεῖ δὲ ὅμως τὴν σὴν εὐλάβειαν, μαθοῦσαν τὰ κατ' αὐτόν, οὕτω λῦσαι τὴν ἀτιμίαν. Οὗτος ὁ νῦν σοβαρὸς καὶ σεμνὸς ὑμῖν Γλυκέριος ἐχειροτονήθη μὲν παρ' ἡμῶν τῆς κατὰ Βήνεσαν Ἐκκλησίας διάκονος, ὡς καὶ τῷ πρεσβυτέρῳ διακονήσων καὶ τοῦ ἔργου τῆς ἐκκλησίας ἐπιμελησόμενος. Καὶ γάρ ἐστιν, εἰ καὶ τὰ ἄλλα δύστροπος ὁ ἀνήρ, ἀλλὰ τὰ ἐπίχειρα οὐκ ἀφυής. Ἐπεὶ δὲ κατέστη, τοῦ μὲν ἔργου ἠμέλησε τοσοῦτον ὅσον οὐδὲ τὴν ἀρχὴν γεγονότος. Παρθένους δὲ ἀθλίας συναγαγὼν κατ' ἰδίαν ἐξουσίαν καὶ αὐθεντίαν, τὰς μὲν ἑκούσας προσδραμούσας αὐτῷ (οἶσθα δὲ τὸ τῶν νέων περὶ τὰ τοιαῦτα πρόχειρον), τὰς δὲ ἀκούσας, ἀγελαρχεῖν ἐπεχείρησε καὶ πατριαρχίας ὄνομα ἑαυτῷ καὶ σχῆμα περιθεὶς ἐξαίφνης ἐσοβαρεύσατο, οὐκ ἔκ τινος ἀκολουθίας καὶ εὐσεβείας ἐπὶ τοῦτο ἐλθών, ἀλλ' ἀ-

---

Ἐπιστολὴ 169. Ἐγράφη τὸ 374. Δὲν εἶναι βέβαιον εἰς ποῖον Γρηγόριον ἀποστέλλεται, τὸν Θεολόγον ἢ τὸν Νύσσης, ἂν καὶ εἰς τὴν ἐπιγραφὴν τῆς ἐπιστολῆς 171 ἀναφέρεται ὁ Θεολόγος. Πρόκειται μᾶλλον περὶ

189

ΕΠΙΣΤΟΛΗ 169
ΠΡΟΣ ΤΟΝ ΓΡΗΓΟΡΙΟΝ

'Ανέλαβες ἕνα ἔργον ὀρθόν, εὐγενὲς καὶ φιλάνθρωπον μὲ τὸ νὰ περισυλλέξῃς τὴν αἰχμάλωτον ὁμάδα [1] τοῦ καταφρονητοῦ Γλυκερίου —πρὸς τὸ παρὸν αὐτὸς εἶναι ὁ ὅρος ποὺ χρησιμοποιοῦμεν— καὶ κατὰ τὸ δυνατὸν νὰ συγκαλύψῃς τὴν ἀσχημοσύνην μας. Πρέπει ὅμως ἡ εὐλάβειά σου νὰ μάθῃ τὰ σχετικὰ μὲ αὐτὸν καὶ οὕτω νὰ τερματίσῃ τὴν ἀτιμίαν.

'Ο τώρα σοβαρὸς καὶ σεμνὸς εἰς τὰ μάτια σας Γλυκέριος ἐχειροτονήθη μὲν ἀπὸ ἡμᾶς ὡς διάκονος τῆς 'Εκκλησίας τῆς Βηνέσης, διὰ νὰ ὑπηρετήσῃ τὸν πρεσβύτερον καὶ νὰ ἐπιμεληθῇ τῆς ἐκκλησίας. Πράγματι δὲ ὁ ἄνθρωπος, ἂν καὶ κατὰ τὰ ἄλλα εἶναι δύστροπος, εἰς τὰ χειρωνακτικὰ ἔργα δὲν εἶναι ἀδέξιος. "Οταν δὲ ἐγκατεστάθη, παρημέλησε τὸ ἔργον σχεδὸν πρὶν τὸ ἀρχίσῃ. Συναθροίσας δὲ μερικὰς ἀθλίας παρθένους αὐθαιρέτως καὶ αὐτοδυνάμως, ἀπὸ τὰς ὁποίας ἄλλαι προσῆλθαν εἰς αὐτὸν ἑκουσίως —γνωρίζεις δὲ τὴν ἐπιπολαιότητα τῶν νέων εἰς παρόμοια θέματα—, ἄλλαι δὲ ἀκουσίως, ἐπεχείρησε νὰ γίνῃ ἡγέτης ἀγέλης καὶ περιβληθεὶς τίτλον καὶ ἐμφάνισιν πατριάρχου ἔγινεν ἔξαφνα ἀλαζών. 'Ηκολούθησε δὲ αὐτὴν τὴν πορείαν ὄχι ἀπὸ

τοῦ δευτέρου. Σχετικῶς μὲ τὴν ἀχαρακτήριστον συμπεριφορὰν τοῦ διακόνου Γλυκερίου βλ. ἐπιστολὰς 170 Β' τ. καὶ 171.

1. Τὰς νεάνιδας ποὺ περιέφερεν ὁ Γλυκέριος διὰ χοροὺς καὶ ἄσματα.

φορμὴν βίου ταύτην ὥσπερ ἄλλος ἄλλην τινὰ προστησάμενος, καὶ μικροῦ τὴν Ἐκκλησίαν πᾶσαν ἀνάστατον πεποίηκε περιφρονῶν μὲν τὸν ἑαυτοῦ πρεσβύτερον, ἄνδρα καὶ πολιτείᾳ καὶ ἡλικίᾳ αἰδέσιμον, περιφρονῶν δὲ τὸν ἐπίσκοπον καὶ ἡμᾶς ὡς οὐδενὸς ἀξίους, θορύβων δὲ ἀεὶ καὶ ταραχῶν πληρῶν τὴν πόλιν καὶ σύμπαν τὸ ἱερατεῖον. Καὶ τέλος, ἵνα τι λόγῳ ἐπιτιμηθῇ μικρὸν παρ' ἡμῶν καὶ τοῦ χωρεπισκόπου πρὸς τὸ μὴ καταφρονεῖν αὐτὸν (καὶ γὰρ καὶ τοὺς νέους ἐγύμναζεν εἰς τὴν αὐτὴν ἀπόνοιαν), πρᾶγμα διανοεῖται λίαν τολμηρὸν καὶ ἀπάνθρωπον. Συλήσας τῶν παρθένων ὅσας ἠδύνατο καὶ νύκτα τηρήσας δραπέτης γίνεται. Πάνυ σοι δεινὰ ταῦτα φανεῖται. Σκόπει καὶ τὸν καιρόν. Ἦγετο μὲν ἡ ἐκεῖσε σύνοδος καὶ πολὺ πανταχόθεν, ὡς εἰκός, ἐπέρρει τὸ πλῆθος. Ὁ δὲ ἀντεξῆγε τὸν ἑαυτοῦ χορὸν νέοις ἑπόμενον καὶ περιχορεύοντα καὶ πολλὴν μὲν κατήφειαν κινοῦντα τοῖς εὐλαβέσι, πολὺν δὲ γέλωτα τοῖς ἀκρατέσι καὶ τὴν γλῶσσαν ἑτοιμοτέροις. Καὶ οὐκ ἀρκεῖ ταῦτα, καίπερ τηλικαῦτα ὄντα τὸ μέγεθος, ἀλλ' ἔτι καὶ τοὺς γονεῖς, ὡς πυνθάνομαι, τῶν παρθένων τὴν ἀτεκνίαν οὐ φέροντας καὶ τὴν διασποράν ἐπαναγαγεῖν βουλομένους καὶ μετ' ὀδυρμῶν προσπίπτοντας, ὡς εἰκός, ταῖς ἑαυτῶν θυγατράσι περιυβρίζει καὶ ἀτιμοῖ ὁ θαυμαστὸς νεανίσκος μετὰ τοῦ λῃστρικοῦ συντάγματος. Ταῦτα μὴ ἀνεκτὰ φανήτω τῇ σῇ εὐλαβείᾳ (καὶ γὰρ κοινὸς πάντων ἡμῶν ὁ γέλως), ἀλλὰ μάλιστα μὲν αὐτὸν κέλευσον μετὰ τῶν παρθένων ἐπανελθεῖν (τύχοι γὰρ ἄν τινος φιλανθρωπίας, εἰ μετὰ σῶν ἐπανήκοι γραμμάτων)· εἰ δὲ μή, τάς γε παρθένους ἀπόπεμψον τῇ μητρὶ αὐτῶν τῇ Ἐκκλη-

κίνητρα ὑπακοῆς καὶ εὐσεβείας, ἀλλὰ ἀπὸ πρόθεσιν νὰ τὴν χρησιμοποιήσῃ ὡς πηγὴν πρὸς διαβίωσιν, ὅπως ἄλλος θὰ ἐξέλεγεν ὁποιονδήποτε ἄλλο ἐπάγγελμα, καὶ παρ' ὀλίγον νὰ ἀναστατώσῃ ὁλόκληρον τὴν Ἐκκλησίαν, περιφρονῶν μὲν τὸν πρεσβύτερόν του, ἄνδρα ἀξιοσέβαστον καὶ διὰ τὴν διαγωγὴν καὶ διὰ τὴν ἡλικίαν, περιφρονῶν δὲ ἐπίσης καὶ ἡμᾶς τὸν ἐπίσκοπόν του, ὡς ἀναξίους, γεμίζων δὲ πάντοτε τὴν πόλιν καὶ ὁλόκληρον τὸ ἱερατεῖον μὲ θορύβους καὶ ταραχάς.

Καὶ τέλος, ἀφοῦ ἐπετιμήθη ὀλίγον ἀπὸ ἡμᾶς καὶ τὸν χωρεπίσκοπον διὰ νὰ παύσῃ νὰ μᾶς καταφρονῇ —ἄλλωστε ἐξασκοῦσε τοὺς νέους εἰς τὴν ἰδίαν παραφροσύνην—, ἐσκέφθη κάτι τολμηρότατον καὶ ἀπανθρωπότατον. Ἁρπάσας ὅσας ἠδύνατο ἀπὸ τὰς παρθένους, παρεφύλαξε τὴν νύκτα καὶ ἐδραπέτευσεν. Αὐτὰ θὰ σοῦ φανοῦν πολὺ τρομερά, ἰδίως ἂν σκεφθῇς καὶ τὸν χρόνον κατὰ τὸν ὁποῖον συνέβησαν. Ἐτελεῖτο ἡ τοπικὴ πανήγυρις καί, ὅπως εἶναι φυσικόν, συνέρρεε πολὺ πλῆθος. Αὐτὸς δὲ ἐξῆγε τὴν ὁμάδα του, ποὺ ἀκολουθοῦσε νέους ἄνδρας καὶ ἐχόρευε προκαλοῦσα εἰς μὲν τοὺς εὐλαβεῖς πολλὴν κατήφειαν εἰς δὲ τοὺς ἀκρατεῖς καὶ φλυάρους πολὺν γέλωτα. Δὲν ἀρκοῦν δὲ αὐτά, ἂν καὶ εἶναι τόσον χονδροειδῆ, ἀλλ' ἀκόμη καὶ τοὺς γονεῖς τῶν παρθένων, ὅπως ἐπληροφορήθην, οἱ ὁποῖοι ἀδυνατοῦσαν νὰ ὑποφέρουν τὴν ἐξαφάνισιν τῶν τέκνων των καὶ ἤθελαν νὰ ξαναφέρουν τὴν διεσκορπισμένην ὁμάδα καὶ ἐπαρακαλοῦσαν πρὸς τοῦτο τὰς θυγατέρας των μὲ ὀδυρμοὺς γονατιστοί, ὅπως εἶναι φυσικόν, ὁ θαυμαστὸς αὐτὸς νεανίσκος μαζὶ μὲ τὸ ληστρικὸν σύνταγμα τοὺς περιύβρισε καὶ τοὺς συμπεριεφέρθη ἀτιμωτικά.

Αὐτὰ δὲν πρέπει νὰ φανοῦν ἀνεκτὰ εἰς τὴν εὐλάβειάν σου — διότι ἡ γελοιοποίησις εἶναι κοινὴ δι' ὅλους μας —, ἀλλὰ πρὸ πάντων διάταξε αὐτὸν νὰ ἐπανέλθῃ μαζὶ μὲ τὰς παρθένους —ἂν ἔλθῃ μὲ συστατικὸν γράμμα ἀπὸ σέ, θὰ ἠμποροῦσε νὰ ἐπιτύχῃ κάποιαν ἐπιείκειαν —· ἄλλως στεῖλε τὰς παρθένους εἰς τὴν μητέρα των Ἐκκλησίαν. Ἐὰν δὲ αὐτὸ εἶναι ἀδύνατον, ἐκείνας τοὐλάχιστον ποὺ θέλουν νὰ ἐπιστρέψουν μὴ ἀφήσῃς

σίᾳ. Εἰ δὲ μή, τάς γε βουλομένας τυραννεῖσθαι μὴ συγχωρήσῃς, ἀλλ' ἐπανελθεῖν τύπωσον πρὸς ἡμᾶς· ἢ μαρτυρόμεθά σοι ὡς καὶ Θεῷ καὶ ἀνθρώποις, ὅτι μὴ καλῶς ταῦτα γίνεται μηδὲ θεσμοῖς Ἐκκλησίας. Γλυκέριος δὲ εἰ μὲν ἐπανέλθοι μετ' ἐπιστήμης καὶ τῆς πρεπούσης εὐσταθείας, τοῦτο ἄριστον· εἰ δὲ μή, ἔστω πεπαυμένος τῆς ὑπηρεσίας.

νὰ τυραννῶνται, ἀλλὰ πεῖσέ τας νὰ ἐπανέλθουν εἰς ἡμᾶς· ἄλλως ἔχομεν μάρτυρα ἐσέ, ὅπως ἐπίσης καὶ τὸν Θεὸν καὶ τοὺς ἀνθρώπους, ὅτι αὐτὰ δὲν γίνονται καλῶς οὔτε σύμφωνα μὲ τοὺς θεσμοὺς τῆς Ἐκκλησίας.

Ὁ δὲ Γλυκέριος, ἐὰν ἐπανέλθῃ μὲ κατανόησιν καὶ τὴν πρέπουσαν σοβαρότητα, αὐτὸ θὰ εἶναι ἄριστον· εἰ δὲ μή, ἂς παυθῇ ἀπὸ τὴν ὑπηρεσίαν.

190

191. ΑΜΦΙΛΟΧΙΩ ΕΠΙΣΚΟΠΩ ΙΚΟΝΙΟΥ

Ἐντυχόντες τοῖς γράμμασι τῆς εὐλαβείας σου πολλὴν τῷ Θεῷ τὴν χάριν ἔσχομεν, ὅτι ἀρχαίας ἀγάπης ἴχνη εὕρομεν ἐν τοῖς ῥήμασι τῆς ἐπιστολῆς· ὅς γε οὐκ ἔπαθες τὸ τῶν πολλῶν οὐδὲ φιλονίκως ἔσχες πρὸς τὸ μὴ καὶ αὐτὸς κατάρξαι τῆς ἀγαπητικῆς ὁμιλίας, ἀλλ' ὡς πεπαιδευμένος τὸ ἐκ ταπεινοφροσύνης μεγαλεῖον περιγινόμενον τοῖς ἁγίοις, οὕτως εἵλου διὰ τῶν δευτερίων ἔμπροσθεν ἡμῶν ἀποφανθῆναι. Καὶ γὰρ οὗτος νόμος τῆς ἐν Χριστιανοῖς νίκης καὶ ὁ ἔλαττον ἔχειν καταδεξάμενος στεφανοῦται. Ἵνα οὖν μὴ ἀπολειφθῶμεν τοῦ ἀγαθοῦ ζήλου, ἰδοὺ καὶ αὐτοὶ ἀντιφθεγγόμεθά σου τὴν σεμνότητα καὶ δείκνυμεν τὴν προαίρεσιν ἡμῶν, ὅτι, Θεοῦ χάριτι τῆς κατὰ τὴν πίστιν συμφωνίας ἐρρωμένης ἡμῖν, οὐδὲν ἕτερόν ἐστι τὸ ἐμποδίζον πρὸς τὸ εἶναι ἡμᾶς ἓν σῶμα καὶ ἓν πνεῦμα, καθὼς ἐκλήθημεν ἐν μιᾷ ἐλπίδι διὰ τῆς κλήσεως. Τῆς οὖν σῆς ἐστιν ἀγάπης τῇ ἀγαθῇ ἀρχῇ καὶ τὰ ἐφεξῆς ἀποδοῦναι, συντάττειν μὲν περὶ σεαυτὸν τοὺς ὁμοψύχους, δηλῶσαι δὲ καὶ χρό-

---

Ἐπιστολὴ 191. Ἐγράφη τὸ 374. Ὁ Βασίλειος εὐχαριστεῖ τὸν παραλήπτην ποὺ ἤρχισε πρῶτος τὴν ἀλληλογραφίαν καὶ ἐκφράζει τὴν χαρὰν ποὺ τοῦ δεικνύει πάλιν τὴν παλαιὰν ἀγάπην. Μὲ τὸν Ἀμφιλόχιον ὅμως ὁ Βασίλειος εὑρίσκετο εἰς συνεχῆ ἐπικοινωνίαν. Προφανῶς ἡ παροῦσα ἀπὸ λάθος ἀπεδόθη ἀπὸ τοὺς ἀντιγραφεῖς εἰς τὸν Ἀμφιλόχιον, διότι ἴσως

190

ΕΠΙΣΤΟΛΗ 191
ΠΡΟΣ ΑΜΦΙΛΟΧΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΙΚΟΝΙΟΥ

Ἀναγνώσαντες τὸ γράμμα τῆς εὐλαβείας σου πολλὴν εὐχαριστίαν ἀπεδώσαμεν εἰς τὸν Θεόν, διότι εἰς τὰ λόγια τῆς ἐπιστολῆς ηὕραμεν ἴχνη τῆς παλαιᾶς ἀγάπης. Ἐσὺ δὲν ἔπαθες ὅ,τι οἱ πολλοὶ οὔτε ἀπὸ ἐγωϊσμὸν ἀπέφυγες ν' ἀρχίσῃς πρῶτος τὴν ἀγαπητικὴν συνομιλίαν, ἀλλά, καθὼς ἔχεις διδαχθῆ ποῖον εἶναι τὸ μεγαλεῖον ποὺ προσφέρεται εἰς τοὺς ἁγίους ἀπὸ τὴν ταπεινοφροσύνην, προετίμησες διὰ τῶν δευτερείων νὰ ἀποδειχθῇς πρῶτος, πρὶν ἀπὸ ἡμᾶς. Ἄλλωστε αὐτὸ εἶναι νόμος τῆς νίκης μεταξὺ τῶν Χριστιανῶν, τὸ ὅτι στεφανώνεται καὶ ἐκεῖνος ποὺ κατεδέχθη νὰ ἔχῃ ὀλιγώτερα.

Διὰ νὰ μὴν ὑστερήσωμεν εἰς τὸν ἀγαθὸν ζῆλον, ἰδοὺ ἀντιπροσφωνοῦμεν τὴν σεμνότητά σου καὶ δεικνύομεν τὰ συναισθήματά μας, διὰ τὸ ὅτι, ἀφοῦ μὲ τὴν χάριν τοῦ Θεοῦ ἡ κατὰ τὴν πίστιν συμφωνία εἶναι μεταξύ μας σταθερά, δὲν ὑπάρχει τίποτε ἄλλο ποὺ νὰ ἐμποδίζῃ νὰ εἴμεθα ἕνα σῶμα καὶ ἕνα πνεῦμα, καθὼς ἐκλήθημεν ἐξ ἀρχῆς διὰ μίαν ἐλπίδα. Εἰς τὴν ἀγάπην σου λοιπὸν ἀπόκειται νὰ δώσῃς εἰς τὴν καλὴν ἀρχὴν καὶ τὴν κατάλληλον συνέχειαν, δηλαδὴ ἀφ' ἑνὸς μὲν νὰ συντάξῃς γύ-

---

εὑρέθη μαζὶ μὲ τὰς πρὸς αὐτὸν ἐπιστολάς. Πιθανῶς εἶναι ἡ ἐπιστολὴ πρὸς τὸν ἐπίσκοπον Σελευκείας τῆς Ἰσαυρίας Σύμπιον, τὴν ὁποίαν ὁ Βασίλειος ἔστειλε διὰ μέσου τοῦ Ἀμφιλοχίου (βλ. ἐπιστολὴν πρὸς Ἀμφιλόχιον 190 Α΄τ.).

νον καὶ τόπον τῆς συντυχίας, ἵνα οὕτω τῇ τοῦ Θεοῦ χάριτι ἀπολαβόντες ἀλλήλους τῷ ἀρχαίῳ εἴδει τῆς ἀγάπης τὰς Ἐκκλησίας οἰκονομήσωμεν, τοὺς παρ' ἑκατέρου μέρους βαδίζοντας τῶν ἀδελφῶν ὡς ἴδια μέλη προσιέμενοι, προπέμποντες ὡς ἐπὶ οἰκείους καὶ ὑποδεχόμενοι πάλιν ὡς παρ' οἰκείων. Τοῦτο γὰρ ἦν ποτε τῆς Ἐκκλησίας τὸ καύχημα, ὅτι ἀπὸ τῶν περάτων τῆς οἰκουμένης ἐπὶ τὰ πέρατα μικροῖς συμβολαίοις ἐφοδιαζόμενοι οἱ ἐξ ἑκάστης Ἐκκλησίας ἀδελφοὶ πάντας πατέρας καὶ ἀδελφοὺς εὕρισκον· ὃ νῦν μετὰ τῶν ἄλλων ἀφῄρηται ἡμῶν ὁ ἐχθρὸς τῶν Ἐκκλησιῶν τοῦ Χριστοῦ, καὶ κατὰ πόλεις περιγεγράμμεθα καὶ ἕκαστος δι' ὑποψίας ἔχομεν τὸν πλησίον. Καὶ τί γὰρ ἄλλο ἢ ἐψύξαμεν τὴν ἀγάπην ἀφ' ἧς μόνης τοὺς ἑαυτοῦ μαθητὰς ὁ Κύριος ἡμῶν εἶπε χαρακτηρίζεσθαι; Καὶ εἰ δοκεῖ, πρότερον αὐτοὶ μετ' ἀλλήλων γνωρίσατε ἑαυτούς, ἵνα γνῶμεν πρὸς τίνας ἡμῖν ἔσται ἡ συμφωνία. Καὶ οὕτως ἐκ κοινῆς συγκαταθέσεως τόπον τινὰ τὸν ἀμφοτέροις ἀνεπαχθῆ καὶ χρόνον ταῖς ὁδοιπορίαις πρέποντα ἐκλεξάμενοι δραμούμεθα παρ' ἀλλήλους καὶ ὁ Κύριος ἡμᾶς κατευοδώσει. Ἐρρωμένος καὶ εὔθυμος εἴης ὑπερευχόμενός μου, καὶ χαρισθείης μοι τῇ τοῦ Ἁγίου φιλανθρωπίᾳ.

---

1. Ματθ. 24,12 «καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν».

2. Ἰω. 13,35 «ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις».

ρω σου τοὺς ὁμόφρονας, ἀφ' ἑτέρου δὲ νὰ ὁρίσῃς χρόνον καὶ τόπον τῆς συναντήσεώς μας, οὕτως ὥστε ὑποδεχθέντες ἀλλήλους μὲ τὴν χάριν τοῦ Θεοῦ, νὰ τακτοποιήσωμεν τὰς Ἐκκλησίας κατὰ τὸ ἀρχαῖον εἶδος τῆς ἀγάπης, δεχόμενοι ὡς ἰδικά μας μέλη αὐτοὺς ποὺ ἔρχονται ἀπὸ τὸ καθένα ἐκ τῶν δύο μερῶν, προπέμποντες ὡς πρὸς ἰδικούς μας καὶ δεχόμενοι πάλιν ὡς ἀπὸ ἰδικούς μας. Αὐτὸ δὲ ἦτο κάποτε τὸ καύχημα τῆς Ἐκκλησίας· οἱ ἀδελφοὶ μεταβαίνοντες ἀπὸ τὰ πέρατα τῆς οἰκουμένης εἰς τὰ πέρατα, ἐφωδιασμένοι ἀπὸ τὴν Ἐκκλησίαν των μὲ μικρὰ σύμβολα ἀναγνωρίσεως, εὕρισκαν ὅλους ὡσὰν πατέρας καὶ ἀδελφούς. Τοῦτο μαζὶ μὲ τὰ ἄλλα μᾶς ἀφῄρεσε τώρα ὁ ἐχθρὸς τῶν Ἐκκλησιῶν τοῦ Χριστοῦ καὶ εἴμεθα περιτειχισμένοι μέσα εἰς χωριστὰς πόλεις καὶ ὁ καθένας μας ὑποψιάζεται τὸν πλησίον. Τί ἄλλο ἐπετύχαμεν μὲ αὐτὸ παρὰ νὰ ψυχράνωμεν τὴν ἀγάπην[1], ἀπὸ τὴν ὁποίαν ἀποκλειστικῶς εἶπεν ὁ Κύριος ἡμῶν ὅτι χαρακτηρίζονται οἱ μαθηταί του[2];

Ἐὰν δὲ τὸ θεωρῆτε σκόπιμον, προηγουμένως γνωρισθῆτε σεῖς οἱ ἴδιοι μεταξύ σας, διὰ νὰ γνωρίσωμεν μὲ ποίους θὰ ἔχωμεν συμφωνίαν[3]. Οὕτω δέ, ἀφοῦ ἐκλέξωμεν μὲ κοινὴν συναίνεσιν ἕνα τόπον πρόσφορον διὰ τοὺς δύο μας καὶ χρόνον κατάλληλον δι' ὁδοιπορίας, θὰ τρέξωμεν πρὸς ἀλλήλους καὶ ὁ Κύριος θὰ μᾶς κατευοδώσῃ.

Νὰ εἶσαι ὑγιὴς καὶ χαρούμενος, προσευχόμενος ὑπὲρ ἐμοῦ, καὶ νὰ σὲ φυλάττῃ πρὸς χάριν μου ἡ φιλανθρωπία τοῦ ἁγίου Θεοῦ.

---

3. Ἐννοεῖ νὰ προέλθῃ ὁ Σύμπιος εἰς συμφωνίαν μὲ τοὺς ἄλλους ἐπισκόπους τῆς Ἰσαυρίας.

136. ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ ΣΑΜΟΣΑΤΩΝ

1. Ἐν οἷοις ἡμᾶς ὄντας κατέλαβεν ὁ χρηστὸς Ἰωσάκης, αὐτός σοι ἄμεινον διηγήσεται, εἰ καὶ μὴ ἀρκοῦσαν ἔχει τὴν γλῶσσαν ὥστε τραγικῶς ἐξαγγεῖλαι τὸ ὑπεραῖρον τῶν παθῶν, τοσοῦτον ἦν τῆς ἀρρωστίας τὸ μέγεθος. Καὶ τὸ εἰκὸς δὲ παντὶ γνώριμον τῷ ἐμὲ καὶ κατὰ βραχὺ ἐπισταμένῳ. Εἰ γὰρ ἐν τῇ δοκούσῃ εὐξίᾳ τῶν ἀπεγνωσμένων πρὸς τὸ ζῆν ἀσθενέστερον διεκείμην, γινώσκειν ἔξεστι τί ἂν ἦμην ἐπὶ τῆς ἀρρωστίας. Καίτοιγε ἐχρῆν (δὸς γὰρ τῷ πυρετῷ συγγνώμην ἐρεσχελοῦντι), ἐπειδή μοι κατὰ φύσιν ἦν τὸ νοσεῖν, ἐν τῇ μεταβολῇ ταύτης τῆς ἕξεως ὑγείας μοι νῦν τὸ κράτιστον περιεῖναι. Ἀλλ' ἐπειδὴ ἡ μάστιξ τοῦ Κυρίου ἐστὶ προσθήκαις ταῖς κατὰ τὴν ἡμετέραν ἀξίαν τὸ ἀλγεινὸν ἐπιτείνουσα, ἀσθένειαν ἐπὶ τῇ ἀσθενείᾳ προσεκτησάμην, ὥστε τὸ ἀπὸ τούτου καὶ παιδὶ φανερὸν εἶναι, ὅτι, πᾶσα ἀνάγκη, οἰχήσεται ἡμῖν τὸ ἔλυτρον τοῦτο, πλὴν εἰ μή που ἄρα ἡ τοῦ Θεοῦ φιλανθρωπία ἡμῖν ἐν τῇ μακροθυμίᾳ αὐτοῦ καὶ χρόνους εἰς μετάνοιαν χαριζομένη ποιήσειε καὶ νῦν, ὡς καὶ πολλάκις πρότερον, λύσιν τινὰ καὶ πόρον ἐκ τῶν

Ἐπιστολὴ 136. Ἐγράφη τὸ 373 εἰς περίοδον κακῆς καταστάσεως τῆς πάντοτε ἐπισφαλοῦς ὑγείας τοῦ Βασιλείου.

ΕΠΙΣΤΟΛΗ 136
ΠΡΟΣ ΕΥΣΕΒΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΑΜΟΣΑΤΩΝ

1. Εἰς ποίαν κατάστασιν μὲ εὗρεν ὁ χρηστὸς Ἰωσάκης, αὐτὸς θὰ σοῦ τὸ διηγηθῇ καλύτερα, ἂν καὶ δὲν ἔχει ἐπαρκῆ τὴν γλῶσσαν ὥστε νὰ σοῦ ἐξαγγείλῃ κατὰ τραγικὸν τρόπον τὴν ὑπερβολὴν τῶν παθῶν μου· τόσον ἦτο τὸ μέγεθος τῆς ἀρρωστείας μου. Εἶναι δὲ πιθανὸν ὅτι τοῦτο ἦτο γνωστὸν εἰς ὅλους ὅσοι μὲ ξεύρουν ἔστω καὶ ὀλίγον. Πράγματι, ἂν καὶ κατὰ τὴν φαινομενικήν μου εὐεξίαν ἤμην εἰς ἀσθενεστέραν κατάστασιν ἀπὸ τοὺς εὑρισκομένους εἰς ἀπόγνωσιν διὰ τὴν ζωήν των, εἶναι εὔκολον νὰ καταλάβῃ κανεὶς τί ἤμην εἰς τὴν ἀρρώστειαν μου. Καὶ ὅμως ἔπρεπε —συγχώρεσε τὸν πυρετόν μου ποὺ μὲ κάμνει ν' ἀστειεύωμαι—, ἀφοῦ ἡ νόσος εἶναι ἡ φυσική μου κατάστασις, ἡ μεταβολὴ αὐτῆς τῆς καταστάσεως νὰ μὲ ὁδηγήσῃ εἰς ἀρίστην ὑγείαν. Ἀλλ' ἐπειδὴ ἡ μάστιξ τοῦ Κυρίου εἶναι ποὺ ἐπιτείνει τὸν πόνον μὲ τὰς προσθήκας κατὰ τὴν ἀξίαν μας, ἀπέκτησα ἀσθένειαν ἔπειτα ἀπὸ ἀσθένειαν, ὥστε τὸ ἀποτέλεσμα τούτου νὰ εἶναι φανερὸν καὶ εἰς ἕνα παιδί, ὅτι δηλαδὴ ὁπωσδήποτε τὸ περίβλημά μας τοῦτο[1] θὰ ἀφανισθῇ, ἐκτὸς ἐὰν ἴσως ἡ φιλανθρωπία τοῦ Θεοῦ, χαρίζουσα εἰς ἡμᾶς μὲ τὴν μακροθυμίαν του καιρὸν πρὸς μετάνοιαν, φέρῃ καὶ τώρα, ὅπως πολλάκις προηγουμένως, κάποιαν λύσιν καὶ διέξοδον ἀπὸ τὰ

1. Τὸ σῶμα.

ἀμηχάνων δεινῶν. Ταῦτα μὲν οὖν ἕξει ὡς αὐτῷ φίλον καὶ ἡμῖν συμφέρον.

2. Τὰ δὲ τῶν Ἐκκλησιῶν ὅπως οἴχεται καὶ προπέποται, ἡμῶν τῆς οἰκείας ἀσφαλείας ἕνεκεν τὰ τῶν πλησίον περιορώντων καὶ οὐδὲ τοῦτο συνορᾶν δυναμένων ὅτι τῇ τοῦ κοινοῦ κακοπραγίᾳ καὶ τὸ καθ' ἕκαστον συναπόλλυται, τί χρὴ καὶ λέγειν, ἄλλως τε καὶ πρὸς ἄνδρα ὃς πόρρωθεν ἕκαστα προειδὼς καὶ προδιεμαρτύρω καὶ προεκήρυξας καὶ αὐτός τε προεξανέστης καὶ τοὺς λοιποὺς συνεπήγειρας, ἐπιστέλλων, αὐτὸς παραγινόμενος, τί οὐ ποιῶν, τίνα φωνὴν οὐκ ἀφιείς; Ὧν μεμνήμεθα μὲν ἐφ' ἑκάστῳ τῶν ἐκβαινόντων, ὠφελούμεθα δὲ ἀπ' αὐτῶν οὐκέτι. Καὶ νῦν εἰ μὴ αἱ ἁμαρτίαι ἀντέστησάν μοι (καὶ τὸ μὲν πρῶτον ὁ εὐλαβέστατος καὶ ἀγαπητὸς ἀδελφὸς ἡμῶν Εὐστάθιος ὁ συνδιάκονος, εἰς νόσον χαλεπὴν καταπεσών, εἰς ὅλους με δύο παρέτεινε μῆνας ἡμέραν ἐξ ἡμέρας τὴν σωτηρίαν αὐτοῦ περιμένοντα· ἔπειτα δὲ οἱ σὺν ἐμοὶ πάντες ἠσθένησαν, ὧν τὰ μὲν καταλείμματα ἐξαριθμήσεται ὁ ἀδελφὸς Ἰωσάκης· τὸ δὲ τελευταῖον αὐτὸς ἐγὼ τῇ νόσῳ κατεσχέθην ταύτῃ), ἐπεὶ πάλαι ἂν ἤμην παρὰ τὴν σὴν τιμιότητα, οὐκ ὄφελός τι τοῖς κοινοῖς παρεχόμενος, ἀλλ' ἐμαυτῷ μέγα κέρδος ἐκ τῆς συντυχίας σου κτώμενος. Καὶ γὰρ ἐγνώκειν ἔξω τῶν ἐκκλησιαστικῶν γενέσθαι βελῶν, διὰ τὸ ἀφύλακτον ἡμῶν πρὸς τὰ σκευωρούμενα παρὰ τῶν ἐναντίων. Σώζοι σε τῷ βίῳ παντὶ ἡ μεγάλη τοῦ Θεοῦ χείρ, τὸν γενναῖον φύλακα τῆς πίστεως καὶ νήφοντα τῶν Ἐκκλησιῶν προστάτην, καὶ καταξιώσειεν ἡμᾶς πρὸ τῆς ἐξόδου τῆς συντυχίας σου ἐπ' ὠφελείᾳ τῶν ψυχῶν ἡμῶν.

ἀνυπόφορα δεινά. Αὐτὰ μὲν θὰ γίνουν ὅπως ἀρέσει εἰς αὐτὸν καὶ συμφέρει εἰς ἡμᾶς.

2. Ὡς πρὸς τὰ πράγματα δὲ τῶν Ἐκκλησιῶν, πῶς βαδίζουν εἰς τὴν καταστροφὴν καὶ θυσιάζονται, ἀφοῦ ἡμεῖς χάριν τῆς ἰδικῆς μας ἀσφαλείας περιφρονοῦμεν τὰ τῶν πλησίον, χωρὶς νὰ δυνάμεθα νὰ κατανοήσωμεν οὔτε τοῦτο, ὅτι μὲ τὴν κακοπραγίαν τῶν κοινῶν καὶ τὰ ἐπὶ μέρους καταστρέφονται, τί χρειάζεται νὰ τὸ εἴπωμεν; τί χρειάζεται μάλιστα νὰ τὸ εἴπω πρὸς ἕνα ἄνδρα ὅπως ἐσύ, ὁ ὁποῖος καὶ ἀπὸ μακρυὰ προέβλεψες κάθε συμβὰν καὶ διεμαρτυρήθης καὶ διεκήρυξες ἀπὸ πρίν, καὶ ὁ ἴδιος πρῶτος ἐξανέστης καὶ τοὺς ἄλλους ἐξεσήκωσες, γράφων, ἐπισκεπτόμενος; Τί δὲν ἔκαμες καὶ ποίαν φωνὴν δὲν ἐξέβαλες; Αὐτὰ τὰ ἐνθυμούμεθα μὲν κάθε φορὰν ποὺ συμβαίνει κάτι, ἀλλὰ δὲν ὠφελούμεθα καθόλου ἀπὸ αὐτά.

Καὶ τώρα, ἐὰν αἱ ἁμαρτίαι δὲν μὲ ἠμπόδιζαν —καὶ πρῶτον μὲν μὲ καθυστέρησε δύο μῆνας ὁ εὐλαβέστατος καὶ ἀγαπητὸς ἀδελφός μας Εὐστάθιος ὁ συνδιάκονος, ποὺ ἔπεσεν εἰς τρομερὰν νόσον, καθὼς ἐπερίμενα τὴν ἀποκατάστασιν τῆς ὑγείας του ἡμέραν μὲ τὴν ἡμέραν· ἔπειτα δὲ ὅλοι οἱ ζῶντες μαζί μου ἠσθένησαν, περὶ τῶν ὁποίων ὅσα παραλείπω θὰ σοῦ τὰ διηγηθῇ ὁ ἀδελφὸς Ἰωσάκης· τελευταῖα δὲ κατελήφθην ἐγὼ ἀπὸ αὐτὴν τὴν νόσον—, ἐὰν δὲν συνέβαιναν αὐτά, θὰ εἶχα ἔλθει ἀπὸ καιρὸν εἰς τὴν τιμιότητά σου, ὄχι διὰ νὰ προσφέρω κανένα ὄφελος εἰς τὰς κοινὰς ὑποθέσεις, ἀλλὰ διὰ ν' ἀποκτήσω ἐγὼ μέγα κέρδος ἀπὸ τὴν συνάντησίν σου. Πράγματι εἶχα ἀποφασίσει νὰ τεθῶ ἔξω ἀπὸ τὰ ἐκκλησιαστικὰ βέλη, διότι δὲν εἶχα μέσα νὰ φυλαχθῶ ἀπὸ τὰς σκευωρίας τῶν ἐχθρῶν.

Εἴθε ἡ μεγάλη χεὶρ τοῦ Θεοῦ νὰ σὲ διασώζῃ δι' ὅλον τὸν κόσμον, τὸν γενναῖον φύλακα τῆς πίστεως καὶ τὸν ἄγρυπνον προστάτην τῶν Ἐκκλησιῶν, καὶ εἴθε πρὸ τῆς ἐκδημίας μας νὰ μᾶς καταξιώσῃ τῆς συναντήσεως μαζί σου ἐπ' ὠφελείᾳ τῶν ψυχῶν μας.

192

146. ΑΝΤΙΟΧΩ

Οὐκ ἔχω μέμψασθαί σοι ἀργίαν οὐδὲ ῥᾳθυμίαν, ὅτι καιροῦ παραπεσόντος γραμμάτων ἐπεσιώπησας. Ἦν γὰρ διὰ τῆς τιμίας ἐμοὶ χειρὸς διεπέμπω προσηγορίαν πολλῶν ἐπιστολῶν τιμιωτέραν ποιοῦμαι. Ἀντὶ οὖν ταύτης προσαγορεύω σε καὶ παρακαλῶ σπουδαίως ἀντέχεσθαι τῆς κατὰ ψυχὴν σωτηρίας, πάντα τὰ πάθη τῆς σαρκὸς παιδαγωγοῦντα τῷ λόγῳ καὶ διηνεκῶς τὴν περὶ Θεοῦ ἔννοιαν, οἷον ἐν ναῷ τινι ἁγιωτάτῳ, τῇ σαυτοῦ ψυχῇ ἐνιδρυμένην ἔχοντα· ἐπὶ πάσης δὲ πράξεως καὶ παντὸς λόγου πρὸ ὀφθαλμῶν λαμβάνειν τὸ τοῦ Χριστοῦ δικαστήριον, ὥστε σοι τὰς κατὰ μέρος ἐνεργείας συναχθείσας, ἐπὶ τῆς ἀκριβοῦς ἐκείνης καὶ φοβερᾶς ἐξετάσεως, δόξαν ἐν τῇ ἡμέρᾳ τῆς ἀνταποδόσεως ἐνεγκεῖν ἐπὶ πάσης τῆς κτίσεως τῶν ἐπαίνων ἀξιουμένῳ. Εἰ δὲ καταδέχοιτο τὴν μέχρις ἡμῶν ὁδὸν ὁ μέγας, οὐ μικρὸν κέρδος ἰδεῖν σε μετ' αὐτοῦ ἐπὶ τῆς ἡμετέρας.

193

158. ΑΝΤΙΟΧΩ

Ἐπειδὴ ἀντέστησάν μοι αἱ ἁμαρτίαι μου πρὸς τὸ μὴ δυνηθῆναί με ἣν πάλαι ἔσχον ἐπιθυμίαν τῆς ὑμετέρας συντυχίας ἀγα-

---

Ἐπιστολὴ 146. Ἐγράφη τὸ 373 πρὸς τὸν ἀνεψιὸν τοῦ Εὐσεβίου Σαμοσάτων Ἀντίοχον. Εἰς τὸν ἴδιον ἀπευθύνονται καὶ αἱ ἐπιστολαὶ 157 Α' τ., 158, 168 Α' τ.

192

ΕΠΙΣΤΟΛΗ 146
ΠΡΟΣ ΤΟΝ ΑΝΤΙΟΧΟΝ

Δὲν δικαιοῦμαι νὰ σὲ κατηγορήσω δι' ἀργίαν ἢ ραθυμίαν, λόγῳ τῆς ὁποίας ἐσιώπησες ἐνῷ εἶχες εὐκαιρίαν νὰ γράψῃς. Διότι τὸν χαιρετισμὸν ποὺ μοῦ ἔστειλες μὲ τὴν τιμίαν χεῖρά σου θεωρῶ πολυτιμότερον πολλῶν ἐπιστολῶν. Ὡς ἀπάντησιν εἰς αὐτὸν λοιπὸν σὲ ἀντιχαιρετίζω καὶ παρακαλῶ νὰ ἀφοσιωθῇς μὲ ζῆλον εἰς τὴν σωτηρίαν τῆς ψυχῆς, παιδαγωγῶν μὲ τὸν λόγον ὅλα τὰ πάθη τῆς σαρκὸς καὶ ἔχων διαρκῶς τὴν περὶ Θεοῦ ἔννοιαν στερεωμένην μέσα εἰς τὴν ψυχήν σου ὡσὰν εἰς κάποιον ἁγιώτατον ναόν. Παρακαλῶ δὲ ἐπίσης ἐνώπιον κάθε πράξεως καὶ κάθε λόγου νὰ λαμβάνῃς πρὸ ὀφθαλμῶν τὸ δικαστήριον τοῦ Χριστοῦ, ὥστε αἱ ἐπὶ μέρους ἐνέργειαί σου συγκεντρωμέναι μαζὶ δι' ἐκείνην τὴν ἀκριβολόγον καὶ φοβερὰν ἐξέτασιν, νὰ σοῦ προσκομίσουν δόξαν κατὰ τὴν ἡμέραν τῆς ἀνταποδόσεως, ὁπότε θὰ κριθῇς ἄξιος τῶν ἐπαίνων ἐνώπιον ὅλης τῆς κτίσεως.

Ἐὰν ὁ μέγας ἄνθρωπος [1] κατεδέχετο νὰ διανύσῃ τὴν μέχρις ἡμῶν ὁδόν, δὲν θὰ εἶναι μικρὸν τὸ κέρδος νὰ σὲ ἴδωμεν εἰς τὴν πόλιν μας μαζί του.

193

ΕΠΙΣΤΟΛΗ 158
ΠΡΟΣ ΤΟΝ ΑΝΤΙΟΧΟΝ

Ἐπειδὴ μὲ ἠμπόδισαν αἱ ἁμαρτίαι μου νὰ δυνηθῶ νὰ πραγματοποιήσω τὴν ἐπιθυμίαν ποὺ εἶχα ἀπὸ παλαιὰ νὰ

1. Ὁ θεῖος τοῦ Ἀντιόχου Εὐσέβιος.

Ἐπιστολὴ 158. Ἐγράφη τὸ 373 πρὸς τὸν ἀνεψιὸν τοῦ Εὐσεβίου Σαμοσάτων Ἀντίοχον.

γεῖν εἰς πέρας, γράμμασι γοῦν παραμυθοῦμαι τὴν ἀπόλειψιν· καὶ παρακαλοῦμεν ὑμᾶς μὴ διαλιπεῖν μεμνημένους ἡμῶν ἐν ταῖς προσευχαῖς, ἵνα, ἐὰν ζῶμεν, καταξιωθῶμεν ὑμῶν ἀπολαῦσαι, εἰ δὲ μή, διὰ τῆς βοηθείας τῶν προσευχῶν ὑμῶν μετὰ ἀγαθῆς ἐλπίδος μεταναστῶμεν ἀπὸ τοῦ κόσμου τούτου. Τὸν δὲ ἀδελφὸν τὸν ἐπὶ τὰς καμήλους παρατιθέμεθα ὑμῖν.

194

219. ΤΩ ΣΑΜΟΣΑΤΩΝ ΚΛΗΡΩ

1. Ὁ πάντα μέτρῳ καὶ σταθμῷ ὁρίζων ἡμῖν Κύριος, καὶ τοὺς πειρασμοὺς ἐπάγων μὴ ὑπερβαίνοντας ἡμῶν τὴν δύναμιν, ἀλλὰ δοκιμάζων μὲν διὰ τῆς περιστάσεως τοὺς ἀγωνιστὰς τῆς εὐσεβείας, οὐκ ἐῶν δὲ πειρασθῆναι ὑπὲρ ὃ δύνανται ὑπενεγκεῖν, καὶ ποτίζων δάκρυσιν ἐν μέτρῳ τοὺς ὀφείλοντας διαδειχθῆναι εἰ ἐν ταῖς θλίψεσι τὸ πρὸς τὸν Θεὸν εὐχάριστον διασώζουσι, μάλιστα ἐπὶ τῆς οἰκονομίας τῆς καθ' ὑμᾶς τὸ ἑαυτοῦ φιλάνθρωπον ἐφανέρωσε, μὴ συγχωρήσας ὑμῖν τὸν παρὰ τῶν ἐχθρῶν διωγμὸν τοιοῦτον ἐπενεχθῆναι οἷον δύνασθαί τινας περιτρέψαι ἢ διασαλεῦσαι ἀπὸ τῆς πίστεως τῆς εἰς τὸν Χριστόν. Κούφοις γὰρ καὶ εὐκαταγωνίστοις ἀντιπάλοις παραζεύξας ὑμᾶς, ἐν τῇ κατ' αὐτῶν νίκῃ τὸ βραβεῖον ὑμῖν τῆς ὑπομονῆς ηὐτρέπισεν. Ἀλλ' ὁ κοινὸς ἐχθρὸς τῆς ζωῆς ἡμῶν, ὁ ταῖς ἑαυτοῦ μεθοδείαις ἀντιμαχόμενος τῇ χρηστότητι τοῦ Θεοῦ, ἐπειδὴ εἶδεν ὑμᾶς ὡς τεῖχος κραταιὸν τῆς ἔξωθεν προσβολῆς καταφρονοῦντας, ἐν ὑμῖν αὐτοῖς, ὡς ἀκούω, ἐπε-

---

Ἐπιστολὴ 219. Ἐγράφη τὸ 375. Ἐνισχυτικὴ πρὸς τοὺς κληρικοὺς τῶν

συναντηθῶ μαζί σου, παρηγορῶ τὴν ἀπουσίαν μὲ τὸ γράμμα. Καὶ σᾶς παρακαλοῦμεν νὰ μὴ παραλείψετε νὰ μᾶς ἐνθυμῆσθε εἰς τὰς προσευχάς, οὕτως ὥστε, ἐὰν ζῶμεν, νὰ ἀξιωθῶμεν νὰ σᾶς ἀπολαύσωμεν, εἰδεμή, νὰ ἐξέλθωμεν ἀπὸ τὸν κόσμον τοῦτον διὰ τὰς βοηθείας τῶν προσευχῶν σας μὲ ἀγαθὴν ἐλπίδα. Τὸν δὲ ἀδελφὸν τὸν ἐμπεπιστευμένον τὰς καμήλους ἀναθέτομεν εἰς σᾶς.

194

ΕΠΙΣΤΟΛΗ 219
ΠΡΟΣ ΤΟΝ ΚΛΗΡΟΝ ΤΩΝ ΣΑΜΟΣΑΤΩΝ

1. Ὁ Κύριος, ὁ ὁποῖος μᾶς ὁρίζει τὰ πάντα μὲ μέτρα καὶ σταθμὰ καὶ μᾶς στέλλει πειρασμοὺς ποὺ δὲν ὑπερβαίνουν τὴν δύναμίν μας, ὁ ὁποῖος δοκιμάζει τοὺς ἀγωνιστὰς τῆς εὐσεβείας μὲ τὰς ἀντιξοότητας, δὲν ἀφήνει δὲ νὰ πειρασθοῦν περισσότερον ἀπὸ ὅσον ἠμποροῦν νὰ βαστάσουν, ὁ ὁποῖος ποτίζει μὲ δάκρυα ἐν μέτρῳ αὐτοὺς ποὺ πρέπει νὰ δείξουν ἐὰν εἰς τὰς θλίψεις διατηροῦν τὴν εὐχαριστίαν πρὸς τὸν Θεόν, αὐτὸς ἐφανέρωσε τὴν φιλανθρωπίαν του ἰδίως εἰς τὴν ρύθμισιν τῶν ἰδικῶν σας ὑποθέσεων. Τὴν ἐφανέρωσε δὲ μὲ τὸ νὰ μὴ ἐπιτρέψῃ νὰ σᾶς ἐπιβληθῇ ἀπὸ τοὺς ἐχθροὺς τοιοῦτος διωγμός, ὥστε νὰ δυνηθῇ νὰ συντρίψῃ ἢ διασαλεύσῃ μερικοὺς ἀπὸ τὴν εἰς Χριστὸν πίστιν. Διότι σᾶς παρέταξε ἔναντι ἐλαφρῶν καὶ εὐκόλων ἀντιπάλων, οὕτω δὲ μὲ τὴν ἐναντίον των νίκην σᾶς ἡτοίμασε τὸ βραβεῖον τῆς ὑπομονῆς. Ἀλλ' ὁ κοινὸς ἐχθρὸς τῆς ζωῆς μας, ποὺ μὲ τὰ μηχανεύματά του ἀντιμάχεται εἰς τὴν χρηστότητα τοῦ Θεοῦ, μόλις σᾶς εἶδε νὰ περιφρονῆτε τὴν ἐξωτερικὴν προσβολὴν ὡς κραταιὸν τεῖχος, ὅπως ἀκούω, ἐπενόησε νὰ προκληθοῦν μεταξύ σας μερικαὶ στενοχωρίαι καὶ μικροψυχίαι, αἱ ὁποῖαι

Σαμοσάτων, οἱ ὁποῖοι ἐστεροῦντο τοῦ ἡγέτου των ἐπισκόπου Εὐσεβίου, ἐξορίστου ἀπὸ τοῦ προηγουμένου ἔτους εἰς τὴν Θράκην.

νόησε γενέσθαι τινὰς λύπας πρὸς ἀλλήλους καὶ μικροψυχίας, αἳ παρὰ μὲν τὴν πρώτην μικραί εἰσι καὶ εὐθεράπευτοι, προϊόντος δὲ τοῦ χρόνου ὑπὸ φιλονικίας αὐξανόμεναι εἰς ἀνίατον παντελῶς ἐκπίπτειν πεφύκασι. Διὸ ὥρμησα πρὸς τὴν διὰ τοῦ γράμματος τοῦδε παράκλησιν. Εἰ μὲν οὖν ἦν δυνατόν, αὐτὸς ἂν παραγενόμενος δι' ἐμαυτοῦ ἱκέτευσα ὑμᾶς. Ἐπειδὴ δὲ τοῦτο οἱ καιροὶ οὐκ ἐπιτρέπουσι, τὴν ἐπιστολὴν ταύτην ἀνθ' ἱκετηρίας ὑμῖν προτείνομεν, ἵνα αἰδεσθέντες ἡμῶν τὰς παρακλήσεις καταλύσητε πᾶσαν τὴν πρὸς ἀλλήλους φιλονικίαν καὶ ταχέως μοι διαπέμψησθε τὴν ἀγαθὴν ἀγγελίαν, ὅτι ἀφήκατε ἀλλήλοις τὰς μέμψεις.

2. Ἐκεῖνο γὰρ εἰδέναι βούλομαι τὴν σύνεσιν ὑμῶν, ὅτι ἐκεῖνος μέγας παρὰ Θεῷ ὁ ταπεινοφρόνως ὑποκατακλιθεὶς τῷ πλησίον, καὶ ἀνεπαισχύντως ἐφ' ἑαυτὸν δεξάμενος τὰ ἐγκλήματα, κἂν μὴ ἀληθῆ ᾖ, ὑπὲρ τοῦ τὸ μέγα ὄφελος τὴν εἰρήνην χαρίσασθαι τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ. Γενέσθω οὖν ἐν ὑμῖν ἄμιλλα ἀγαθή, τίς πρῶτος καταξιωθῇ υἱὸς Θεοῦ κληθῆναι, διὰ τῆς εἰρηνοποιίας ἑαυτῷ τὸ ἀξίωμα τοῦτο περιποιησάμενος. Ἐπέστειλε δὲ καὶ ὁ θεοφιλέστατος ἐπίσκοπος ὑμῖν τὰ πρέποντα, καὶ ἐπιστέλλει πάλιν τὰ ἐπιβάλλοντα αὐτῷ. Πλὴν ἀλλὰ καὶ ἡμεῖς διὰ τὸ ἔτι συγκεχωρῆσθαι ἐγγύτεροι ὑμῶν εἶναι ἀμελεῖν τῶν καθ' ὑμᾶς οὐ δυνάμεθα. Ὅθεν καὶ παραγενομένου τοῦ εὐλαβεστάτου ἀδελφοῦ Θεοδώρου τοῦ ὑποδιακόνου καὶ εἰπόντος τὴν Ἐκκλησίαν ἐν λύπῃ εἶναι καὶ ταραχῇ, σφοδρῶς συντριβέντες καὶ βαθείᾳ ὀδύνῃ τὴν καρδίαν πληγέντες ἡσυχάσαι οὐκ ἠνεσχόμεθα, ἀλλὰ παρεκαλέσαμεν ὑμᾶς πᾶσαν δικαιολογίαν τὴν πρὸς ἀλλήλους ῥίψαντας καταπράξασθαι τὴν εἰρήνην, ἵνα μήτε ἡδονὴν τοῖς ἐναντίοις παράσχησθε, μήτε τὸ καύχημα

---

1. Ὁ Εὐσέβιος.

εἰς τὴν ἀρχὴν μὲν εἶναι μικραὶ καὶ εὐθεράπευτοι, μὲ τὸ πέρασμα τοῦ χρόνου ὅμως, αὐξανόμεναι ὑπὸ τῆς φιλονικίας, συνηθίζουν νὰ καθίστανται ἐντελῶς ἀνίατοι.

Διὰ τοῦτο ὥρμησα πρὸς τὴν διὰ τοῦ παρόντος γράμματος παρηγορίαν. Ἐὰν βέβαια ἦτο δυνατόν, θὰ ἠρχόμην ἐγὼ ὁ ἴδιος, διὰ νὰ σᾶς ἱκετεύσω μόνος μου. Ἐπειδὴ ὅμως αὐτὸ δὲν τὸ ἐπιτρέπουν αἱ περιστάσεις, σᾶς ἀπευθύνομεν αὐτὴν τὴν ἐπιστολήν, ὥστε ἀπὸ σεβασμὸν πρὸς τὰς παρακλήσεις ἡμῶν νὰ καταπαύσετε κάθε φιλονικίαν μεταξύ σας καὶ ταχέως νὰ μοῦ στείλετε τὴν καλὴν ἀγγελίαν, ὅτι ἀφήσατε τὰς ἀμοιβαίας κατηγορίας.

2. Θέλω δὲ νὰ γνωρίζῃ ἡ σύνεσίς σας τοῦτο, ὅτι μέγας πλησίον τοῦ Θεοῦ εἶναι ἐκεῖνος ποὺ ὑποκλίνεται ταπεινοφρόνως εἰς τὸν πλησίον καὶ δέχεται, χωρὶς νὰ προσβάλλεται, τὰς κατηγορίας, ἀκόμη καὶ ἂν δὲν εἶναι ἀληθεῖς, διὰ νὰ χαρίσῃ εἰς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ τὸ μέγα ὄφελος, τὴν εἰρήνην. Ἂς ἐπικρατήσῃ λοιπὸν ἀνάμεσά σας εὐγενὴς ἅμιλλα, ποῖος πρῶτος θὰ καταξιωθῇ νὰ ὀνομασθῇ υἱὸς τοῦ Θεοῦ, κερδίζων δι' ἑαυτὸν τὸ ἀξίωμα τοῦτο μὲ τὴν εἰρηνοποιίαν.

Σᾶς ἔγραψε δὲ καὶ ὁ θεοφιλέστατος ἐπίσκοπος [1] τὰ πρέποντα καὶ πάλιν θὰ σᾶς ξαναγράψῃ ὅ,τι ἐπιβάλλεται. Παρὰ ταῦτα ὅμως δὲν δυνάμεθα καὶ ἡμεῖς νὰ ἀδιαφορῶμεν διὰ τὴν κατάστασίν σας, ἀφοῦ ἀκόμη μᾶς ἐπιτρέπεται νὰ εἴμεθα πλησιέστεροι εἰς σᾶς [2]. Διὰ τοῦτο, ὅταν ἔφθασεν ἐδῶ ὁ εὐλαβέστατος ἀδελφὸς Θεόδωρος, ὁ ὑποδιάκονος, καὶ εἶπεν ὅτι ἡ Ἐκκλησία εἶναι εἰς λύπην καὶ ταραχήν, ἐκτυπήθημεν εἰς τὴν καρδίαν ἀπὸ συντριβὴν καὶ βαθεῖαν ὀδύνην καὶ δὲν κατωρθώσαμεν νὰ ἡσυχάσωμεν, ἀλλὰ σᾶς παρεκαλέσαμεν νὰ ἀποκαταστήσετε τὴν εἰρήνην ἀπορρίπτοντες ἀπὸ τὸ μέσον σας κάθε διένεξιν, οὕτως ὥστε οὔτε εὐχαρίστησιν νὰ προσφέρετε εἰς τοὺς ἀντιθέτους, οὔτε τῆς Ἐκκλησίας τὸ καύχημα νὰ προδώσετε, τὸ

2. Ἐννοεῖ ὅτι δὲν ἔχει ὁ ἴδιος ἐξορισθῆ ἀκόμη καὶ εἶναι πλησιέστερα εἰς τὰ Σαμόσατα ἀπὸ ὅσον ὁ Εὐσέβιος.

τῆς Ἐκκλησίας προδῶτε ὃ νῦν εἰς πᾶσαν τὴν οἰκουμένην διαβεβόηται, ὅτι οἱ πάντες ὡς ὑπὸ μιᾶς ψυχῆς καὶ καρδίας οἰκονομούμενοι ἐν ἑνὶ σώματι οὕτω διάγετε. Πάντα τὸν λαὸν τοῦ Θεοῦ, τούς τε ἐν ἀξιώμασι καὶ δυναστείαις πολιτικαῖς καὶ τοῦ παντὸς κλήρου τὸ πλήρωμα διὰ τῆς ὑμετέρας εὐλαβείας κατασπαζόμεθα καὶ παρακαλοῦμεν ὁμοίους ἑαυτοῖς διαμεῖναι. Οὐδεμίαν γὰρ προσθήκην ἐπιζητοῦμεν, διὰ τὸ πᾶσαν ὑπερβολὴν προλαβόντας αὐτοὺς διὰ τῆς τῶν ἀγαθῶν ἔργων ἐπιδείξεως ἀποκλεῖσαι.

195

241. ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ ΣΑΜΟΣΑΤΩΝ

Οὐχ ὥστε πλείους ποιῆσαι τὰς ἀθυμίας, τῶν δυσχερῶν πολλάκις ἐν τοῖς πρὸς τὴν τιμιότητά σου γράμμασιν οὐ φειδόμεθα, ἀλλ' ὥστε ἑαυτοῖς τέ τινα παραμυθίαν δοῦναι διὰ τῶν στεναγμῶν, οἳ πεφύκασί πως τὸ ἐν τῷ βάθει ἀλγεινὸν διαφορεῖν, ὅταν γίνωνται, καὶ τὴν σὴν μεγαλόνοιαν πρὸς ἐκτενεστέραν τὴν ὑπὲρ τῶν Ἐκκλησιῶν εὐχὴν παρορμῆσαι. Ἐπεὶ καὶ Μωσῆς ηὔχετο μὲν ἀεὶ ὑπὲρ τοῦ λαοῦ δηλονότι, ὅτε μέντοι πρὸς τὸν Ἀμαλὴκ ἀγὼν αὐτῷ συνειστήκει, οὐ καθῆκε τὰς χεῖρας ἐξ ἕω μέχρις ἑσπέρας, ἀλλ' ἡ ἔκτασις τῶν χειρῶν τοῦ ἁγίου τῷ τέλει τῆς μάχης συναπηρτίζετο.

Ἐπιστολὴ 241. Ἐγράφη τὸ 376, ὅτε ὁ Εὐσέβιος ἦτο ἀκόμη ἐξόριστος εἰς τὴν Θράκην.

ὁποῖον ἔχει γίνει ἐξακουστὸν εἰς ὅλην τὴν οἰκουμένην, ὅτι δηλαδὴ οἱ πάντες ζῆτε εἰς ἕνα σῶμα ὡσὰν νὰ κυβερνᾶσθε ἀπὸ μίαν ψυχὴν καὶ καρδίαν.

Ἀσπαζόμεθα διὰ μέσου τῆς εὐλαβείας σας ὅλον τὸν λαὸν τοῦ Θεοῦ, τοὺς ἀξιωματούχους καὶ πολιτικοὺς ἄρχοντας, καὶ ὁλόκληρον τὸ πλήρωμα τοῦ κλήρου, καὶ τοὺς παρακαλοῦμεν νὰ διαμείνουν ὅμοιοι μὲ τοὺς ἑαυτούς των. Δὲν ζητοῦμεν δηλαδὴ καμμίαν αὔξησιν, ἐφ' ὅσον σεῖς οἱ ἴδιοι μὲ τὴν ἐπίδειξιν τῶν ἀγαθῶν ἔργων ἀπεκλείσατε προκαταβολικῶς τὴν αὔξησιν.

195

ΕΠΙΣΤΟΛΗ 241
ΠΡΟΣ ΕΥΣΕΒΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΑΜΟΣΑΤΩΝ

Πολλάκις χωρὶς φειδὼ ἀνακοινώνομεν τὰς δυσχερείας εἰς τὴν τιμιότητά σου μὲ τὰ γράμματα· πράττομεν δὲ τοῦτο ὄχι διὰ νὰ πολλαπλασιάσωμεν τὰς στενοχωρίας σου, ἀλλὰ διὰ νὰ δώσωμεν εἰς τοὺς ἑαυτούς μας κάποιαν παρηγορίαν μὲ τοὺς στεναγμούς, οἱ ὁποῖοι συνηθίζουν νὰ ἀνακουφίζουν τὸν πόνον ποὺ ἐμφωλεύει εἰς τὰ βάθη τῆς ψυχῆς, ὅταν ἐκδηλώνωνται, καὶ διὰ νὰ παρακινήσωμεν τὴν μεγαλοψυχίαν σου πρὸς ἐκτενεστέραν προσευχὴν ὑπὲρ τῶν Ἐκκλησιῶν. Διότι καὶ ὁ Μωυσῆς ηὔχετο πάντοτε μὲν ὑπὲρ τοῦ λαοῦ ἀσφαλῶς, ὅταν ὅμως διεξήγετο ὁ ἀγὼν αὐτοῦ πρὸς τὸν Ἀμαλὴκ δὲν κατεβίβασε τὰς χεῖράς του ἀπὸ τὸ πρωὶ ἕως τὴν ἑσπέραν, καὶ ἡ ὕψωσις τῶν χειρῶν τοῦ ἁγίου ἐσταμάτησε μαζὶ μὲ τὸ τέλος τῆς μάχης.

196

120. ΜΕΛΕΤΙΩ ΕΠΙΣΚΟΠΩ ΑΝΤΙΟΧΕΙΑΣ

Γράμματα ἐδεξάμην παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου προστάσσοντα πάλιν γραφῆναι τοῖς Δυτικοῖς περί τινων ἐκκλησιαστικῶν. Καὶ ἐβουλήθη παρ' ἡμῶν τυπωθῆναι τὴν ἐπιστολήν, ὑπογραφῆναι δὲ παρὰ πάντων τῶν κοινωνικῶν. Ἐπεὶ οὖν οὐχ εὗρον ὅπως ἐπιστείλω περὶ ὧν ἐπέταξε, παρέπεμψα τὸ ὑπομνηστικὸν τῇ θεοσεβείᾳ σου, ἵνα καὶ αὐτῷ ἐντυχὼν καὶ τοῖς ἀναφερομένοις παρὰ τοῦ ποθεινοτάτου ἀδελφοῦ Σαγκτισσίμου τοῦ συμπρεσβυτέρου προσσχὼν αὐτὸς καταξιώσῃς, ὡς παρίσταταί σοι, περὶ τούτων τυπῶσαι, ἡμῶν ἑτοίμως ἐχόντων καὶ αὐτῷ συνθέσθαι καὶ ταχέως ποιῆσαι περικομισθῆναι τοῖς κοινωνικοῖς, ὥστε τὰς πάντων ὑπογραφὰς ἔχοντα ἀπελθεῖν τὸν μέλλοντα ὁρμᾶν πρὸς τοὺς κατὰ τὴν Δύσιν ἐπισκόπους. Ταχέως ἡμῖν τὸ παριστάμενον τῇ ὁσιότητί σου γνωρισθῆναι κέλευσον, ἵνα μὴ ἀγνοῶμεν τὰ δό-

---

Ἐπιστολὴ 120. Ἐγράφη τὸ 373. Κύριον θέμα της εἶναι ἡ ἀνάγκη συντάξεως νέας ἐπιστολῆς πρὸς τοὺς δυτικοὺς ἐπισκόπους καὶ ὑπογραφῆς της ἀπὸ ὅλους τοὺς κοινωνικοὺς τῶν Ὀρθοδόξων. Ἡ νέα αὐτὴ ἐπιστολὴ εἶναι διάφορος τῆς ὑπ' ἀριθμὸν 92 καὶ δὲν φαίνεται νὰ ἐστάλη πρὶν ἀπὸ τὸ 376, λόγῳ τῶν ποικίλων γεγονότων, ἤτοι τῆς ἐπισήμου ἀναγνωρίσεως ὑπὸ τῶν Δυτικῶν τοῦ Παυλίνου Ἀντιοχείας ἀντὶ τοῦ Μελετίου καὶ τῶν πιέσεων ἐκ μέρους τοῦ αὐτοκράτορος Οὐάλεντος. Τὴν ἐπιστολὴν μετέφερεν ὁ πρε-

196

ΕΠΙΣΤΟΛΗ 120
ΠΡΟΣ ΜΕΛΕΤΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΑΝΤΙΟΧΕΙΑΣ

Ἐδέχθην γράμμα ἀπὸ τὸν θεοφιλέστατον ἐπίσκοπον Εὐσέβιον [1], παραγγέλλοντα νὰ γραφοῦν πάλιν ἐπιστολαὶ πρὸς τοὺς δυτικοὺς ἐπισκόπους δι' ὡρισμένα ἐκκλησιαστικὰ ζητήματα. Καὶ ἠθέλησε νὰ συνταχθῇ ἀπὸ ἡμᾶς ἡ ἐπιστολή, νὰ ὑπογραφῇ δὲ ἀπὸ ὅλους τοὺς ἔχοντας κοινωνίαν μὲ ἡμᾶς. Ἐπειδὴ λοιπὸν δὲν ἠῦρα τὸν τρόπον νὰ συνθέσω τὰ θέματα ποὺ προέτεινε, παραπέμπω τὸ μνημόνιον [2] εἰς τὴν θεοσέβειάν σου, οὕτως ὥστε σύ, ἀναγινώσκων αὐτὸ καὶ λαμβάνων ὑπ' ὄψιν ὅσα ἀναφέρονται ἀπὸ τὸν ποθεινότατον ἀδελφὸν Σαγκτίσσιμον τὸν συμπρεσβύτερον, ν' ἀξιωθῇς νὰ διατυπώσῃς τὰ θέματα κατὰ τὴν κρίσιν σου· ἡμεῖς δὲ εἴμεθα πρόθυμοι καὶ νὰ συμφωνήσωμεν μὲ αὐτὸ τὸ κείμενον καὶ νὰ τὸ περιφέρωμεν εἰς τοὺς κοινωνικούς μας γρήγορα, ὥστε ὁ μέλλων νὰ ταξιδεύσῃ πρὸς τοὺς ἐπισκόπους τῆς Δύσεως ν' ἀπέλθῃ ἔχων τὰς ὑπογραφὰς ὅλων. Διάταξε λοιπὸν νὰ καταστῇ εἰς ἡμᾶς γνωστὸν ὅ,τι κρίνεται ὀρθὸν ἀπὸ τὴν ὁσιότητά σου, διὰ νὰ μὴ ἀγνοῶμεν ὅσα ἀπεφάσισες.

σβύτερος Σαγκτίσσιμος, ὁ ὁποῖος ἔπαιξε σπουδαῖον ρόλον εἰς τὰς διαπραγματεύσεις μεταξὺ Βασιλείου καὶ Δυτικῶν.

1. Τὸν Εὐσέβιον Σαμοσάτων.
2. Τὸ μνημόνιον ποὺ τοῦ εἶχε στείλει ὁ Εὐσέβιος.

ξαντά σοι. Περὶ δὲ τῶν τυρευομένων ἢ καὶ ἤδη ἐσκευωρημένων καθ' ἡμῶν ἐν τῇ Ἀντιοχείᾳ ἀνοίσει ὁ αὐτὸς ἀδελφὸς τῇ τιμιότητί σου, ἐάν περ μὴ προλαβοῦσα ἡ φήμη τῶν γενομένων φανερὰ ποιήσῃ τὰ πεπραγμένα. Καὶ γὰρ ἐγγύς ἐστιν ἡ ἐλπὶς τῆς ἐκβάσεως τῶν ἀπειλουμένων. Γινώσκειν δὲ βούλομαι τὴν εὐλάβειάν σου ὅτι ὁ ἀδελφὸς Ἄνθιμος Φαῦστον, τὸν συνόντα τῷ πάπᾳ, ἐπίσκοπον ἐχειροτόνησε μηδὲ ψήφους δεξάμενος καὶ τῷ τόπῳ χειροτονήσας τοῦ αἰδεσιμωτάτου ἀδελφοῦ Κυρίλλου, ὥστε στάσεων ἐμπλῆσαι τὴν Ἀρμενίαν. Ἵνα τοίνυν μὴ καταψεύσωνται ἡμῶν, μηδὲ αὐτοὶ τὴν αἰτίαν σχῶμεν τῆς ἀταξίας τῶν γενομένων, ἐγνώρισα ταῦτα τῇ σεμνότητί σου. Δῆλον δὲ ὡς καὶ αὐτὸς καταξιώσεις γνώριμα ποιῆσαι τοῖς λοιποῖς. Ἡγοῦμαι γὰρ πολλοὺς λυπήσειν τὴν ἀταξίαν ταύτην.

197

129. ΜΕΛΕΤΙΩ ΕΠΙΣΚΟΠΩ ΑΝΤΙΟΧΕΙΑΣ

1. Ἤδειν ὅτι ξενίσει τὴν ἀκοὴν τῆς τελειότητός σου τὸ νῦν ἐπιφυὲν ἔγκλημα τῷ πάντα εἰπεῖν εὐκόλῳ Ἀπολιναρίῳ. Καὶ γὰρ οὐδὲ αὐτὸς τὸν πρὸ τούτου χρόνον ἤμην ἐπιστάμενος ἔχειν, ἀλλὰ νῦν οἱ Σεβαστηνοὶ διερευνησάμενοι πόθεν αὐτὰ ἤνεγκαν εἰς τὸ μέσον καὶ περιφέρουσι σύνταγμα ἐξ οὗ μάλιστα καὶ ἡμᾶς καταδικάζουσιν, ὡς τὰ αὐτὰ φρονοῦντας, ἔχον ῥήσεις τοιαύτας· «ὥστε παν-

---

3. Πρόκειται περὶ τῆς χειροτονίας τοῦ Φαύστου ὡς ἐπισκόπου Ἀρμενίας ὑπὸ τοῦ Ἀνθίμου Τυάνων χωρὶς ψῆφον ἐκ τῆς περιοχῆς. Βλ. ἐπιστολὰς 121 Β' τ. καὶ 122.

4. Πάπας λέγεται ἐδῶ πιθανῶς ὁ Εὐστάθιος Σεβαστείας, ὡς μοναχικὸς ἡγέτης.

Ἐπιστολὴ 129. Ἐγράφη τὸ τέλος τοῦ 373 ἢ τὰς ἀρχὰς τοῦ 374, ὅπως

Περὶ δὲ τῶν συνωμοσιῶν ποὺ πλέκονται καὶ τῶν σκευωριῶν ποὺ ἔγιναν ἤδη ἐναντίον μας εἰς τὴν Ἀντιόχειαν θὰ ἀναφέρῃ εἰς τὴν τιμιότητά σου ὁ ἴδιος ἀδελφός, ἐὰν δὲν προλάβῃ νὰ σοῦ φανερώσῃ τὰ διαπραχθέντα ἡ φήμη τῶν γενομένων. Πράγματι ἡ ἐλπιζομένη ἔκβασις τῶν ἀπειλουμένων πλησιάζει.

Θέλω δὲ νὰ γνωρίζῃ ἡ εὐλάβειά σου ὅτι ὁ ἀδελφὸς Ἄνθιμος ἐχειροτόνησε τὸν Φαῦστον[3], τὸν σύντροφον τοῦ πάπα[4], ἐπίσκοπον χωρὶς νὰ λάβῃ ψήφους· τὸν ἐχειροτόνησε δὲ εἰς τὴν θέσιν τοῦ ἀδελφοῦ Κυρίλλου, διὰ νὰ γεμίσῃ τὴν Ἀρμενίαν μὲ σχίσματα. Ἐγνώρισα δὲ αὐτὰ εἰς τὴν σεμνότητά σου διὰ νὰ μὴ ψευδολογοῦν εἰς βάρος μας καὶ ἐπισύρωμεν ἡμεῖς τὴν αἰτίαν τῆς ἀταξίας αὐτῶν ποὺ ἔγιναν. Εἶναι δὲ φανερὸν ὅτι καὶ σὺ θ' ἀξιώσῃς νὰ τὰ γνωστοποιήσῃς εἰς τοὺς λοιπούς. Νομίζω δὲ ὅτι πολλοὺς θὰ λυπήσῃ ἡ ἀταξία αὐτή.

197

ΕΠΙΣΤΟΛΗ 129
ΠΡΟΣ ΜΕΛΕΤΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΑΝΤΙΟΧΕΙΑΣ

1. Ἐγνώριζα ὅτι θὰ ξενίσῃ τὴν ἀκοὴν τῆς τελειότητός σου ἡ ἐγερθεῖσα κατηγορία ἐναντίον τοῦ δι' ὅλα εὐκόλου Ἀπολιναρίου. Ἕως τώρα οὔτε ἐγὼ ἐγνώριζα ὅτι ὑπάρχουν σχετικαὶ μαρτυρίαι, ἀλλὰ τώρα οἱ Σεβαστηνοὶ κατόπιν ἐρεύνης κάπου τὰς ἀνεκάλυψαν καὶ τὰς προσεκόμισαν εἰς τὸ μέσον, περιφέρουν δὲ ἕνα κείμενον ἐπὶ τῷ βάσει τοῦ ὁποίου καταδικάζουν καὶ ἡμᾶς ὡς δῆθεν ἔχοντας τὰ ἴδια φρονήματα, ἔχον

καὶ ἡ ἐπιστολὴ ὑπ' ἀριθμὸν 130 Β'τ. Οἱ ἄνθρωποι τοῦ Εὐσταθίου Σεβαστείας ἐκυκλοφοροῦσαν κείμενα τοῦ Ἀπολιναρίου Λαοδικείας, ἀλλ' ἐνδιεφέροντο κυρίως νὰ δείξουν ὅτι καὶ ὁ Βασίλειος ἐσυμφωνοῦσε μὲ αὐτά. Ὁ Βασίλειος καταδικάζει τὰ κείμενα τοῦ Ἀπολιναρίου, ἔπειτα δὲ δίδει πληροφορίας εἰς τὸν Μελέτιον περὶ τῆς ἀπέναντί του στάσεως τοῦ αὐτοκράτορος καὶ ὁδηγίας περὶ τῆς συντάξεως τῆς ἐπιστολῆς πρὸς τοὺς Δυτικούς.

ταχῆ συνεζευγμένως, μᾶλλον δὲ ἡνωμένως τῇ ἑτερότητι νοεῖν ἀναγκαῖον τὴν πρώτην ταυτότητα, καὶ δευτέραν καὶ τρίτην λέγοντας τὴν αὐτήν. Ὅπερ γάρ ἐστι πρώτως ὁ Πατήρ, τοῦτό ἐστι δευτέρως ὁ Υἱὸς καὶ τρίτως τὸ Πνεῦμα. Αὖθις δὲ ὅπερ ἐστὶ πρώτως τὸ Πνεῦμα, τοῦτο δευτέρως τὸν Υἱόν, καθὸ δὴ καὶ ὁ Κύριός ἐστι τὸ Πνεῦμα· καὶ τρίτως τὸν Πατέρα, καθὸ δὴ Πνεῦμα ὁ Θεός. Καί, ὡς βιαιότερον σημαίνει τὸ ἄρρητον, τὸν Πατέρα πατρικῶς Υἱὸν εἶναι, τὸν δὲ Υἱὸν υἱικῶς Πατέρα. Καὶ ὡσαύτως ἐπὶ τοῦ Πνεύματος, καθὸ δὴ εἷς Θεὸς ἡ Τριάς». Ταῦτά ἐστι τὰ θρυλούμενα, ἃ οὐδέποτε δύναμαι πιστεῦσαι πλάσματα εἶναι τῶν περιφερόντων, εἰ καὶ ὅτι ἐκ τῆς καθ' ἡμᾶς συκοφαντίας οὐδὲν λογίζομαι αὐτοῖς ἀτόλμητον εἶναι. Γράφοντες γάρ τισι τῶν καθ' ἑαυτοὺς καὶ προσθέντες τὴν καθ' ἡμῶν διαβολὴν ἐπήγαγον ταῦτα, ῥήματα μὲν αἱρετικῶν ὀνομάσαντες, τὸν δὲ πατέρα τῆς συγγραφῆς ἀποκρυψάμενοι, ἵνα τοῖς πολλοῖς ἡμεῖς νομισθῶμεν εἶναι οἱ λογογράφοι. Πλὴν ἀλλ' οὐκ ἂν τοῦ μέχρι ῥήματα συνθεῖναι προῆλθεν αὐτῶν ἡ ἐπίνοια, ὥς γε ἐμαυτὸν πείθω. Ὅθεν, ὑπὲρ τοῦ καὶ τὴν καθ' ἡμῶν κρατοῦσαν βλασφημίαν ἀπώσασθαι καὶ δεῖξαι πᾶσιν ὡς οὐδὲν ἡμῖν ἐστι κοινὸν πρὸς τοὺς ἐκεῖνο λέγοντας, ἠναγκάσθημεν μνησθῆναι τοῦ ἀνδρὸς ὡς προσεγγίζοντος τῇ ἀσεβείᾳ τοῦ Σαβελλίου. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον.

2. Ἀπὸ δὲ τοῦ στρατοπέδου ἦκέ τις ἀγγέλλων, ἐπὶ τῇ πρώτῃ κινήσει τοῦ κρατοῦντος, ἣν ἐκίνησαν αὐτὸν οἱ τὰς διαβολὰς ἡμῶν

---

1. Β' Κορ. 3, 17.
2. Ἰω. 4, 24.
3. Τῶν ἀνθρώπων τοῦ Εὐσταθίου Σεβαστείας δηλαδή, ποὺ ἐσυκοφαντοῦσαν καὶ τὸν Βασίλειον.
4. Τὸν Ἀπολινάριον.

τοιαύτας προτάσεις· «Ὥστε εἶναι ἀναγκαῖον τὴν πρώτην ταυτότητα νὰ νοῶμεν παντοῦ συζευγμένην, μᾶλλον δὲ ἡνωμένην μὲ τὴν ἑτερότητα, καὶ νὰ λέγωμεν τὴν ἰδίαν καὶ δευτέραν καὶ τρίτην. Διότι ὅ,τι εἶναι κατὰ πρῶτον ὁ Πατήρ, τοῦτο εἶναι κατὰ δεύτερον ὁ Υἱὸς καὶ κατὰ τρίτον τὸ Πνεῦμα. Ἐπίσης δὲ ὅ,τι εἶναι κατὰ πρῶτον τὸ Πνεῦμα, τοῦτο εἶναι κατὰ δεύτερον ὁ Υἱός, καθ' ὅσον καὶ 'ὁ Κύριός ἐστι τὸ Πνεῦμα' [1], καὶ κατὰ τρίτον ὁ Πατήρ, καθ' ὅσον βεβαίως 'Πνεῦμα ὁ Θεός' [2]. Καὶ ὅσον δύναται νὰ ἐκφρασθῇ τὸ ἄρρητον μὲ κάποιαν βίαν, ὁ Πατὴρ εἶναι πατρικῶς Υἱὸς καὶ ὁ Υἱὸς υἱικῶς Πατήρ. Τὸ ἴδιον δὲ καὶ ὡς πρὸς τὸ Πνεῦμα, καθ' ὅσον ἡ Τριὰς εἶναι εἷς Θεός».

Αὐτὰ εἶναι τὰ θρυλούμενα τὰ ὁποῖα δὲν ἠμπορῶ νὰ πιστεύσω ποτὲ ὅτι εἶναι πλάσματα αὐτῶν ποὺ τὰ περιφέρουν [3], μολονότι, κρίνων ἀπὸ τὴν συκοφαντίαν των ἐναντίον μας, δὲν νομίζω ὅτι ὑπάρχει τίποτε ποὺ νὰ μὴ τὸ τολμοῦν.

Πράγματι γράφοντες πρὸς μερικοὺς ὁμόφρονάς των, ἀφοῦ ἐξέθεσαν τὴν ἐναντίον μας διαβολήν, προσέθεσαν τὰ ὡς ἄνω. Ὠνόμασαν δὲ αὐτὰ λόγους αἱρετικῶν, ἀλλ' ἀπέκρυψαν τὸν πατέρα τῆς συγγραφῆς, διὰ νὰ νομισθῶμεν ἀπὸ τοὺς πολλοὺς ὅτι ἡμεῖς εἴμεθα οἱ συντάκται. Ἡ δὲ ἐφευρετικότης των δὲν ἔφθασε μόνον μέχρι τῆς συνθέσεως λόγων, ὅπως εἶμαι πεπεισμένος. Διὰ τοῦτο, ἐπιθυμοῦντες νὰ ἀποκρούσωμεν τὴν ἐναντίον μας διαδοθεῖσαν συκοφαντίαν καὶ νὰ δείξωμεν εἰς ὅλους ὅτι δὲν ὑπάρχει τίποτε κοινὸν πρὸς τοὺς λέγοντας ἐκεῖνα, ἠναγκάσθημεν νὰ μνημονεύσωμεν τὸν ἄνδρα [4] ὡς προσεγγίζοντα εἰς τὴν ἀσέβειαν τοῦ Σαβελλίου [5]. Ἀρκετὰ εἶναι αὐτὰ διὰ τὸ θέμα τοῦτο.

2. Ἦλθε δὲ κάποιος ἀπὸ τὴν αὐλὴν ἀναγγέλλων ὅτι μετὰ τὴν πρώτην κίνησιν τοῦ κρατοῦντος [6], πρὸς τὴν ὁποίαν τὸν

---

5. Πράγματι αἱ ἀπόψεις ποὺ περιέχονται εἰς τὸ παρατεθὲν ὑπὸ τοῦ Βασιλείου κείμενον εἶναι παρόμοιαι μὲ τὰς τοῦ Σαβελλίου, ἀλλὰ δὲν εἶναι βέβαιον ὅτι τοῦτο προέρχεται ἀπὸ ἔργον τοῦ Ἀπολιναρίου.

6. Τοῦ αὐτοκράτορος Οὐάλεντος.

καταχέοντες, γεγενῆσθαί τινα καὶ δευτέραν γνώμην, ὥστε μὴ δοθῆναι ἡμᾶς ἐκδότους τοῖς κατηγόροις μήτε παραδοθῆναι ἡμᾶς τῷ ἐκείνων θελήματι, ὅπερ ἦν ἐξ ἀρχῆς ὁρισθέν, ἀλλά τινα γενέσθαι τέως ἀναβολήν. Ἐὰν οὖν ἢ ταῦτα μένῃ ἢ τούτων τι δόξῃ φιλανθρωπότερον, σημανοῦμέν σου τῇ θεοσεβείᾳ. Ἐὰν δὲ κρατῇ τὰ πρότερα, οὐδὲ τοῦτό σε λήσεται.

3. Ὁ μέντοι ἀδελφὸς Σαγκτίσσιμος πάντως ἐστὶ παρ' ὑμῖν πάλαι καὶ ἃ ἐπιζητεῖ δῆλα γέγονε τῇ τελειότητί σου. Εἰ οὖν φαίνεται ἀναγκαῖόν τι ἔχειν ἡ πρὸς τοὺς Δυτικοὺς ἐπιστολή, καταξίωσον τυπώσας αὐτὴν διαπέμψασθαι ἡμῖν, ὥστε ποιῆσαι ὑπογραφῆναι παρὰ τῶν ὁμοψύχων, καὶ ἑτοίμην ἔχειν τὴν ὑπογραφὴν ἐν χάρτῃ κεχωρισμένῳ ὃν δυνάμεθα συνάψαι τῷ παρὰ τοῦ ἀδελφοῦ ἡμῶν τοῦ συμπρεσβυτέρου περικομιζομένῳ. Ἐγὼ μὲν γὰρ οὐδὲν εὑρὼν συνεκτικὸν ἐν τῷ ὑπομνηστικῷ οὐκ ἔσχον ὑπὲρ οὗ ἐπιστείλω τοῖς ἐν τῇ Δύσει. Τὰ μὲν γὰρ ἀναγκαῖα προείληπται, τὰ δὲ περιττὰ γράφειν παντελῶς μάταιον. Περὶ δὲ τῶν αὐτῶν ἐνοχλεῖν μὴ καὶ γελοῖον εἴῃ; Ἐκείνη δέ μοι ἔδοξεν ὥσπερ ἀγύμναστος εἶναι ἡ ὑπόθεσις καὶ χώραν παρέχειν γράμμασι, τὸ παρακαλέσαι αὐτοὺς μὴ ἀκρίτως δέχεσθαι τὰς κοινωνίας τῶν ἐκ τῆς Ἀνατολῆς ἀφικνουμένων, ἀλλ' ἅπαξ μίαν μερίδα ἐκλεξαμένους, τοὺς λοιποὺς ἐκ τῆς μαρτυρίας τῶν κοινωνικῶν προσλαμβάνεσθαι καὶ μὴ παντὶ τῷ πίστιν γράφοντι ἐπὶ προφάσει δὴ τῆς ὀρθοδοξίας προστίθεσθαι — οὕτω γὰρ εὑρεθήσονται τοῖς μαχομένοις κοινω-

---

7. Ἡ ἐξασφάλισις ὑπογραφῶν εἰς ἕνα κείμενον 40 ἢ 50 προσώπων ποὺ ἐζοῦσαν εἰς πόλεις ποὺ ἐχωρίζοντο ἀπὸ τεραστίας ἀποστάσεις καὶ δὲν ἐπετρέπετο νὰ συνέλθουν εἰς σύσκεψιν, λόγῳ ἀπαγορεύσεων τῆς φιλαρειανικῆς πολιτικῆς ἐξουσίας, ἦτο μέγα πρόβλημα. Διὰ τοῦτο θὰ συνεκεντρώνοντο αἱ ὑπογραφαὶ εἰς ἰδιαίτερον χάρτην, ἢ εἰς ἰδιαίτερα φύλλα χάρτου, ἀπὸ τὸν Σαγκτίσσιμον καὶ ἀπὸ ἄλλα πρόσωπα ταυτοχρόνως. Βλ. ἐπιστολὴν 120.

ἐξηρέθισαν οἱ διαδίδοντες τὰς διαβολάς ἐναντίον μας, ἔγινε καὶ δευτέρα σκέψις, νὰ μὴ δοθῶμεν ὡς λεία εἰς τοὺς κατηγόρους καὶ νὰ μὴ παραδοθῶμεν εἰς τὸ θέλημα ἐκείνων, ὅπως εἶχε καθορισθῆ ἀρχικῶς, ἀλλὰ νὰ ἀναβληθῆ ἡ ὑπόθεσις πρὸς τὸ παρόν. Ἐὰν λοιπὸν διατηρηθοῦν αὐτὰ τὰ μέτρα ἢ ἀποφασισθοῦν ἄλλα φιλανθρωπότερα, θὰ τὸ γνωστοποιήσωμεν εἰς τὴν θεοσέβειάν σου. Ἐὰν δὲ ἐπικρατήσουν αἱ πρῶται ἀποφάσεις καὶ αὐτὸ δὲν θὰ σοῦ ἀποκρυβῆ.

3. Ὁ ἀδελφὸς Σαγκτίσσιμος ὅμως εἶναι ὁπωσδήποτε πλησίον σας ἀπὸ καιρὸν καὶ ὅσα ζητεῖ ἔγιναν γνωστὰ ἀπὸ τὴν τελειότητά σου. Ἐὰν λοιπὸν φαίνεται ὅτι εἶναι κατὰ κάποιον τρόπον ἀναγκαία ἡ πρὸς τοὺς Δυτικοὺς ἐπιστολή, ἀξίωσε νὰ τὴν συντάξῃς καὶ νὰ μᾶς τὴν ἀποστείλῃς, ὥστε νὰ ἐνεργήσωμεν νὰ ὑπογραφῆ ἀπὸ τοὺς ὁμόφρονας, καὶ νὰ ἔχωμεν ἑτοίμην τὴν ὑπογραφὴν εἰς χωριστὸν χάρτην, τὸν ὁποῖον ἠμποροῦμεν νὰ συνάψωμεν πρὸς ἐκεῖνον ποὺ περιφέρεται ἀπὸ τὸν ἀδελφὸν συμπρεσβύτερον ἡμῶν [7]. Ἐγὼ βέβαια, ἐπειδὴ δὲν ἠῦρα τίποτε σπουδαῖον εἰς τὸ μνημόνιον, δὲν εἶχα ἀντικείμενον νὰ γράψω πρὸς τοὺς Δυτικούς. Πράγματι τὰ μὲν ἀναγκαῖα ἔχουν γραφῆ πρὸς αὐτοὺς παλαιότερα, τὰ δὲ περιττὰ εἶναι μάταιον νὰ τὰ γράφωμεν. Μήπως δὲν εἶναι ἄλλωστε γελοῖον νὰ τοὺς ἐνοχλῶμεν διὰ τὰ ἴδια πράγματα;

Μοῦ ἐφάνη δὲ ὅτι ὑπάρχει ἕνα θέμα ἀχρησιμοποίητον καὶ κατάλληλον διὰ νέον γράμμα, τὸ ἑξῆς· νὰ τοὺς παρακαλέσωμεν νὰ μὴ δέχωνται ἀκρίτως εἰς κοινωνίαν τοὺς ἐρχομένους ἐκεῖ ἀπὸ τὴν Ἀνατολήν, ἀλλὰ ἀφοῦ ἐκλέξουν καὶ ἀναγνωρίσουν ἐφ' ἅπαξ μίαν μερίδα [8], τοὺς ἄλλους νὰ προσλαμβάνουν ἐπὶ τῇ βάσει μαρτυρίας τῶν κοινωνικῶν καὶ νὰ μὴ συντάσσωνται μὲ καθένα ποὺ ὑπογράφει τὴν ὁμολογίαν πίστεως ὡς πειστήριον τῆς ὀρθοδοξίας του — διότι τότε θὰ εὑρεθοῦν νὰ εἶναι

---

8. Ἀπὸ τὰς δύο βασικῶς ὀρθοδόξους μερίδας καὶ τὰς ἄλλας δύο ἢ τρεῖς παραορθοδόξους.

νοῦντες, οἳ τὰ μὲν ῥήματα πολλάκις τὰ αὐτὰ προβάλλονται, μάχονται δὲ ἀλλήλοις ὅσον οἱ πλεῖστον διεστηκότες — ἵν' οὖν μὴ ἐπὶ πλεῖον ἡ αἵρεσις ἐξάπτηται, τῶν πρὸς ἀλλήλους διαστασιαζόντων ἀντιπροβαλλομένων τὰ παρ' αὐτῶν γράμματα, παρακληθῆναι αὐτοὺς ἔδει κεκριμένας ποιεῖσθαι καὶ τὰς τῶν ἐντυγχανόντων αὐτοῖς κοινωνίας καὶ τὰς ἐγγράφως γινομένας κατὰ τὸν τύπον τῆς Ἐκκλησίας.

198

156. ΕΥΑΓΡΙΩ ΠΡΕΣΒΥΤΕΡΩ

1. Τοσοῦτον ἀπέσχον τοῦ δυσχεραῖναι πρὸς τὸ μῆκος τῶν γραμμάτων, ὥστε καὶ μικρά μοι ἔδοξεν εἶναι ἡ ἐπιστολὴ ὑπὸ τῆς κατὰ τὴν ἀνάγνωσιν ἡδονῆς. Τί γὰρ ἥδιον ἄκουσμα τοῦ τῆς εἰρήνης ὀνόματος, ἢ τί τοῦ ὑπὲρ τῶν τοιούτων βουλεύεσθαι ἱεροπρεπέστερον καὶ μᾶλλον τῷ Κυρίῳ κεχαρισμένον; Σοὶ μὲν οὖν παράσχοι ὁ Κύριος τὸν μισθὸν τῆς εἰρηνοποιίας, οὕτω καλῶς προαιρουμένῳ καὶ σπουδαίως ἐγκειμένῳ πράγματι μακαριστῷ. Ἡμᾶς δὲ νόμιζε, τιμία κεφαλή, ἕνεκα μὲν τοῦ προηρῆσθαι καὶ εὔχεσθαι ἰδεῖν ποτε τὴν ἡμέραν ἐν ᾗ πάντες τὸν αὐτὸν πληροῦσι σύλλογον οἱ ταῖς διανοίαις ἀλλήλων μὴ ἀπεσχισμένοι, μηδενὶ παραχωρεῖν τῶν εἰς τὴν σπουδὴν ταύτην πρωτείων. Καὶ γὰρ ἂν εἴημεν ὡς ἀληθῶς πάντων ἀνθρώπων ἀτοπώτατοι, σχίσμασι καὶ κατατομαῖς Ἐκκλησιῶν ἐφηδόμενοι καὶ μὴ τὴν συνάφειαν τῶν μελῶν τοῦ σώ-

Ἐπιστολὴ 156. Ἐγράφη τὸ 373 ἢ 374. Ὁ πρεσβύτερος Εὐάγριος, υἱὸς τοῦ Πομπηιανοῦ, ἦτο Ἀντιοχεύς. Εἶχεν ἀκολουθήσει παλαιότερα τὸν ἐπίσκοπον Βερκέλλης Εὐσέβιον εἰς τὴν Δύσιν, τώρα δέ, τὸ 373, ἐπέστρεψεν εἰς τὴν Ἀνατολήν, διὰ νὰ μετάσχῃ εἰς τὴν προσπάθειαν ρυθμίσεως τοῦ σχίσματος Ἀντιοχείας. Ἀλλ' αἱ ἐλπίδες ποὺ ἐστήριζεν ὁ Βασίλειος εἰς αὐ-

κοινωνοὶ μὲ τοὺς μαχομένους, οἱ ὁποῖοι λόγια μὲν πολλάκις προβάλλουν τὰ ἴδια, μάχονται δὲ πρὸς ἀλλήλους σὰν οἱ μεγαλύτεροι ἀνταγωνισταί —. Διὰ νὰ μὴν ἐξάπτεται λοιπὸν περισσότερον ἡ αἵρεσις μὲ τὸ νὰ ἀντιπροβάλλουν τὰ γράμματά των οἱ πρὸς ἀλλήλους ἀντιτιθέμενοι ὀρθόδοξοι, πρέπει νὰ παρακληθοῦν νὰ δέχωνται μὲ διάκρισιν τὴν κοινωνίαν καὶ τῶν προσωπικῶς παρουσιαζομένων καὶ τῶν ἐγγράφως ἀπευθυνομένων πρὸς αὐτούς, κατὰ τὸν τύπον τῆς Ἐκκλησίας.

198

ΕΠΙΣΤΟΛΗ 156
ΠΡΟΣ ΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ ΕΥΑΓΡΙΟΝ

1. Τόσον ὀλίγον ἐστενοχωρήθην ἀπὸ τὸ μῆκος τῆς ἐπιστολῆς σου, ὥστε μοῦ ἐφάνη ὅτι ἦτο μικρὰ λόγῳ τῆς εὐχαριστήσεως ἀπὸ τὴν ἀνάγνωσιν. Ποῖον ἄκουσμα εἶναι γλυκύτερον ἀπὸ τὴν λέξιν εἰρήνη καὶ ποία ἐνέργεια εἶναι ἱεροπρεπεστέρα καὶ εὐαρεστοτέρα εἰς τὸν Κύριον ἀπὸ τὸ νὰ σκέπτεται κανεὶς παρόμοια πράγματα; Λοιπόν, εἰς σὲ μὲν ἄς παράσχῃ ὁ Κύριος τὸν μισθὸν τῆς εἰρηνοποιίας, ἐφ' ὅσον μὲ τόσην εὐγένειαν ἀναλαμβάνεις καὶ μὲ τόσον ζῆλον ἐπιδιώκεις ἕνα εὐλογημένον πρᾶγμα. Γνώριζε δέ, τιμία κεφαλή, ὅτι ἡμεῖς, διὰ τὸν λόγον ὅτι ἔχομεν ἐκλέξει καὶ εὐχόμεθα νὰ ἴδωμεν κάποτε τὴν ἡμέραν κατὰ τὴν ὁποίαν ὅλοι οἱ κατὰ τὸ φρόνημα μὴ διῃρημένοι θ' ἀποτελοῦν ἑνιαῖον σύλλογον, δὲν παραχωροῦμεν εἰς κανένα τὰ πρωτεῖα εἰς τὴν ζηλευτὴν ταύτην προσπάθειαν. Θὰ ἤμεθα δὲ πράγματι οἱ παραλογώτεροι ὅλων τῶν ἀνθρώπων, ἐὰν ηὐχαριστούμεθα εἰς τὰ σχίματα καὶ τὰς διασπάσεις τῶν Ἐκκλησιῶν καὶ δὲν ἐθεωρούσαμεν τὴν ἕνωσιν τῶν μελῶν τοῦ σώματος τοῦ Χριστοῦ ὡς τὸ μέγιστον τῶν ἀγαθῶν.

τὸν διεψεύσθησαν, διότι οὗτος ἐτάχθη τελικῶς μὲ τὴν μερίδα τοῦ Παυλίνου, τὸν ὁποῖον διεδέχθη τὸ 388, διὰ νὰ συνεχισθῇ τὸ σχίσμα. Βλ. ἐπιστολὴν 138 Α' τ.

ματος τοῦ Χριστοῦ τὸ μέγιστον τῶν ἀγαθῶν τιθέμενοι. Ὅσον μέντοι τῆς ἐπιθυμίας ἡμῖν περίεστι, τοσοῦτον γίνωσκε τῆς δυνάμεως ἐνδεῖν. Οὐ γὰρ ἀγνοεῖ σου ἡ τελεία φρόνησις ὅτι τὰ χρόνῳ κρατυνθέντα πάθη πρῶτον μὲν χρόνου δεῖται πρὸς τὴν διόρθωσιν, ἔπειτα δὲ ἰσχυρᾶς καὶ εὐτονωτέρας ἀγωγῆς, εἰ μέλλοι τις τοῦ βάθους αὐτοῦ καθικνεῖσθαι, ὥστε πρόρριζα ἐξελεῖν τῶν καμνόντων τὰ ἀρρωστήματα. Οἶδας δὲ ὃ λέγω, καί, εἰ δεῖ τρανότερον εἰπεῖν, οὐδεὶς ὁ φόβος.

2. Τὴν φιλαυτίαν ἔθει μακρῷ ταῖς ψυχαῖς ἐρριζωθεῖσαν εἰς ἀνὴρ ἀνελεῖν οὐχ οἷός τε οὐδ' ἐπιστολὴ μία οὐδὲ χρόνος βραχύς. Τὰς γὰρ ὑπονοίας καὶ τὰς ἐξ ἀντιλογιῶν παρατριβὰς παντελῶς ἀναιρεθῆναι, μὴ ἀξιοπίστου τινὸς μεσιτεύοντος τῇ εἰρήνῃ, ἀμήχανον. Καὶ εἰ μὲν ἐπέρρει ἡμῖν τὰ παρὰ τῆς χάριτος καὶ ἦμεν δυνατοὶ καὶ λόγῳ καὶ ἔργῳ καὶ τοῖς πνευματικοῖς χαρίσμασι δυσωπῆσαι τοὺς ἀντιδιατιθεμένους, ἔδει κατατολμῆσαι τοῦ τοσούτου πράγματος. Τάχα δὲ οὐδ' ἂν τότε συνεβούλευσας ἡμῖν μόνοις ἐλθεῖν ἐπὶ τὴν ἐπανόρθωσιν, ὄντος τοῦ ἐπισκόπου τῇ τοῦ Θεοῦ χάριτι, ᾧ ἡ φροντὶς ἀνήκει προηγουμένως τῆς Ἐκκλησίας· ὃν οὔτε αὐτὸν ἐλθεῖν πρὸς ἡμᾶς οἷόν τε, καὶ ἡμῖν ἀποδημεῖν τέως ὑπὸ τοῦ χειμῶνος οὐ ῥᾴδιον, μᾶλλον δὲ παντελῶς ἀδύνατον, οὐ μόνον καθότι τὸ σῶμά μοι ὑπὸ μακρᾶς ἀρρωστίας ἀπείρηκεν, ἀλλ' ὅτι καὶ τῶν ἀρμενιακῶν ὀρῶν αἱ ὑπερβάσεις μικρὸν ὕστερον ἀδύνατοι γίνονται καὶ τοῖς πάνυ σφριγῶσι καθ' ἡλικίαν. Γράμματι δὲ αὐτῷ σημῆναι ταῦτα οὐ παραιτήσομαι. Οὐ μέντοι προσδοκῶ τι ἐκ τῶν γραμμάτων ἀξιόλογον ἀποβήσεσθαι, τῆς τε τοῦ ἀνδρὸς ἀκριβείας στοχαζόμενος καὶ αὐτῆς τῆς φύσεως τῶν γραμμάτων, ὅτι οὐ πέφυκεν ἐναργῶς δύνασθαι δυσωπεῖν ὁ διαπεμπόμενος λό-

1. Ὁ κανονικὸς ἐπίσκοπος Μελέτιος, τοῦ ὁποίου τὴν θέσιν ὑπεστήριζε μὲ ζῆλον ὁ Βασίλειος.

Ὅμως γνώριζε ὅτι ὅση ἐπιθυμία μᾶς περισσεύει ἐπὶ τοῦ θέματος τούτου, τόση δύναμις μᾶς λείπει. Διότι δὲν ἀγνοεῖ ἡ τελεία φρόνησίς σου ὅτι τὰ πάθη ποὺ ἐδυνάμωσαν μὲ τὸν χρόνον πρῶτον μὲν χρειάζονται χρόνον διὰ νὰ διορθωθοῦν, ἔπειτα δὲ ἰσχυρὰν καὶ ζωηρὰν ἀγωγήν, ἐὰν θέλῃ κανεὶς νὰ φθάσῃ ἕως τὰ βάθη, ὥστε νὰ ξερριζώσῃ τελείως τὰ ἀρρωστήματα τῶν ἀσθενῶν. Γνωρίζεις δὲ τί θέλω νὰ εἴπω καί, διὰ νὰ ὁμιλήσω σαφέστερα, οὐδεὶς φόβος μὲ κατέχει.

2. Τὴν φιλαυτίαν ποὺ ἐρριζώθη ἀπὸ μακρὰν συνήθειαν εἰς τὰς ψυχὰς δὲν ἠμπορεῖ νὰ ἀφαιρέσῃ οὔτε ἕνας ἄνδρας οὔτε μία ἐπιστολὴ οὔτε βραχὺς χρόνος. Εἶναι ἀληθῶς ἀδύνατον νὰ ἀναιρεθοῦν τελείως αἱ ὑποψίαι καὶ αἱ ἐκ τῶν προστριβῶν ἀντιλογίαι, ἐὰν δὲν μεσιτεύῃ ὑπὲρ τῆς εἰρήνης κάποιον ἀξιόπιστον πρόσωπον. Καὶ ἐὰν μὲν ἔτρεχαν ἐπάνω μας αἱ πηγαὶ τῆς χάριτος καὶ ἤμεθα ἱκανοὶ νὰ ἐπηρεάσωμεν τοὺς ἀντιτιθεμένους καὶ μὲ τὸν λόγον καὶ μὲ τὰ ἔργα καὶ μὲ τὰ πνευματικὰ χαρίσματα, ἔπρεπε νὰ τολμήσωμεν τὴν ἀνάληψιν τοῦ μεγάλου αὐτοῦ ἐγχειρήματος. Ἴσως δὲ οὔτε τότε δὲν θὰ μᾶς συνεβούλευες νὰ ἐπιχειρήσωμεν μόνοι τὴν ἐπανόρθωσιν, ἐφ' ὅσον μὲ τὴν χάριν τοῦ Θεοῦ ὑπάρχει ὁ ἐπίσκοπος [1], εἰς τὸν ὁποῖον ἀνήκει πρωτίστως ἡ φροντὶς τῆς Ἐκκλησίας. Ἀλλ' οὔτε αὐτὸς ἐπιτρέπεται νὰ ἔλθῃ πρὸς ἡμᾶς οὔτε ἡμεῖς εἶναι εὔκολον ν' ἀποδημήσωμεν ἐπὶ τοῦ παρόντος λόγῳ τοῦ χειμῶνος, μᾶλλον δὲ εἶναι ἐντελῶς ἀδύνατον, ὄχι μόνον διότι τὸ σῶμά μου ἔχει ἐξαντληθῆ ἀπὸ τὴν μακροχρόνιον ἀρρώστειαν, ἀλλὰ καὶ διότι αἱ διαβάσεις τῶν ἀρμενικῶν ὀρέων μετ' ὀλίγον θὰ γίνουν ἀδιάβατοι καὶ ἀπὸ ἐκείνους ποὺ ἔχουν πολὺ σφρῖγος ἐκ τῆς ἡλικίας των. Δὲν θὰ παραλείψω δὲ νὰ τοῦ ἐπισημάνω αὐτὰ τὰ πράγματα μὲ γράμμα.

Βεβαίως δὲν περιμένω τίποτε ἀξιόλογον ἀπὸ τὰ γράμματα, κρίνων ἀπὸ τὴν ἀκριβολογίαν τοῦ ἀνδρὸς αὐτοῦ καὶ ἀπὸ αὐτὴν τὴν φύσιν τῶν γραμμάτων, καθ' ὅσον ὁ ἐνδιάμεσος λόγος δὲν εἶναι ἱκανὸς νὰ πείσῃ. Διότι πολλὰ πρέπει νὰ εἴπῃ κανείς, πολλὰ νὰ ἀκούσῃ ἔναντι αὐτῶν, νὰ ἀναιρέσῃ

γος. Πολλὰ γὰρ δεῖ εἰπεῖν, πολλὰ καὶ ἀντακοῦσαι, καὶ λῦσαι τὰ ὑποπίπτοντα καὶ ἀνθυπενεγκεῖν τὰ ὑφορμῶντα, ὧν οὐδὲν δύναται ὁ ἐν τοῖς γράμμασι λόγος, ἀργὸς καὶ ἄψυχος ἐν τῷ χάρτῃ διερριμμένος. Πλὴν ἀλλ', ὅπερ ἔφην, οὐκ ἀποκνήσω γράψαι. Γίνωσκε μέντοι, ὡς ἀληθῶς εὐλαβέστατε καὶ πολυπόθητε ἡμῖν ἀδελφέ, ὅτι οὐδεμία μοι πρὸς οὐδένα, τῇ τοῦ Θεοῦ χάριτι, ἰδιάζουσά ἐστι φιλονικία. Οὐδὲ γὰρ πολυπραγμονήσας οἶδα τὰ ἐγκλήματα, οἷς ἕκαστος ὑπεύθυνος ἢ ἐστιν ἢ ὀνομάζεται. Ὥστε οὕτως ὑμᾶς προσέχειν τῇ ἡμετέρᾳ διανοίᾳ προσήκει, ὡς μηδὲν ἡμῶν δυναμένων ποιῆσαι κατὰ πρόσκλισιν μηδὲ προειλημμένων εἰς τὴν κατά τινων διαβολήν. Μόνον εἰ εὐδοκία γίγνοιτο τοῦ Κυρίου ἐκκλησιαστικῶς πάντα καὶ ἀκολούθως πραχθῆναι.

3. Ἐλύπησε δὲ ἡμᾶς ὁ ποθεινότατος υἱὸς Δωρόθεος ὁ συνδιάκονος ἀπαγγείλας περὶ τῆς εὐλαβείας σου ὅτι ὤκνησας μετασχεῖν αὐτῶν τῆς συνάξεως. Καίτοι οὐ τοιαῦτα ἡμῖν ἦν τὰ ὡμιλημένα, εἴ τι ἐγὼ μέμνημαι. Ἀποστεῖλαι μέντοι πρὸς τὴν Δύσιν ἐμοὶ μὲν παντελῶς ἐστιν ἀδύνατον οὐδένα ἔχοντι τῶν εἰς τὴν διακονίαν ταύτην ἐπιτηδείων. Τῶν δὲ αὐτόθεν ἀδελφῶν, ἐάν τις αἱρῆται τὸν ὑπὲρ τῶν Ἐκκλησιῶν κόπον ἀναδέξασθαι, οἶδε δηλονότι καὶ πρὸς τίνας ὁρμήσει καὶ ἐπὶ ποίῳ σκοπῷ καὶ παρὰ τίνων ἐφοδιασθῇ τοῖς γράμμασι καὶ ποταποῖς τούτοις. Ἐγὼ μὲν γὰρ ἐν κύκλῳ περισκεψάμενος ὁρῶ μεθ' ἑαυτοῦ οὐδένα. Καὶ εὔχομαι μὲν τοῖς ἑπτακισχιλίοις ἐναριθμηθῆναι τοῖς μὴ κάμψασι γόνυ τῇ Βάαλ. Πλὴν ὅτι ζητοῦσι καὶ ἡμῶν τὴν ψυχὴν οἱ πᾶσι τὰς ἑαυτῶν ἐπιβάλλοντες χεῖρας. Οὐ μέντοι τούτου γε ἕνεκεν ἐλλείψομέν τι τῆς ὀφειλομένης σπουδῆς ταῖς τοῦ Θεοῦ Ἐκκλησίαις.

---

2. Τῆς συνάξεως τῶν μελῶν τῆς μερίδος τοῦ Μελετίου.

τὰς ἀντιρρήσεις καὶ νὰ διατυπώσῃ τὰς ζωηρὰς ἀπαντήσεις· κανένα ἀπὸ αὐτὰ δὲν δύναται νὰ ἐπιτύχῃ ὁ ἐπιστολικὸς λόγος, καταστρωμένος εἰς τὸν χάρτην ξηρὸς καὶ ἄψυχος. Ἀλλ' ἐν πάσῃ περιπτώσει, ὅπως εἶπα, δὲν θὰ διστάσω νὰ γράψω. Γνωρίζε ὅμως, ἀληθῶς εὐλαβέστατε καὶ πολυπόθητέ μας ἀδελφέ, ὅτι μὲ τὴν χάριν τοῦ Θεοῦ δὲν ἔχω καμμίαν προσωπικὴν ἔριδα μὲ κανένα. Οὔτε κἂν εἶχα τὴν περιέργειαν νὰ γνωρίσω ποῖαι εἶναι αἱ κατηγορίαι τῶν ὁποίων ὁ καθένας εἶναι ἢ ὀνομάζεται ὑπεύθυνος. Ἑπομένως πρέπει νὰ προσέχετε τὰς σκέψεις μας μὲ τὴν βεβαιότητα ὅτι δὲν ἠμποροῦμεν νὰ πράξωμεν τίποτε ἀπὸ μεροληψίαν καὶ ὅτι δὲν εἴμεθα προκατειλημμένοι ἀπὸ τὰς διαβολὰς ἐναντίον ὁποιασδήποτε μερίδος. Μόνον νὰ εὐδοκήσῃ ὁ Κύριος νὰ ἐνεργηθοῦν ὅλα κατὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας.

3. Μᾶς ἐλύπησε δὲ ὁ ποθεινότατος υἱὸς Δωρόθεος ὁ συνδιακόνος ποὺ μᾶς ἀνήγγειλε ὅτι ἡ εὐλάβειά σου ἐδίστασε νὰ μετάσχῃ τῆς συνάξεώς των [2], μολονότι, ἂν ἐνθυμοῦμαι καλῶς, αἱ συμφωνίαι μας δὲν ἦσαν τοιαῦται.

Ν' ἀποστείλω ὅμως ἀνθρώπους εἰς τὴν Δύσιν μοῦ εἶναι ἐντελῶς ἀδύνατον, ἐπειδὴ δὲν ἔχω κανένα κατάλληλον διὰ τὴν ὑπηρεσίαν ταύτην. Ἐὰν δὲ ἐπιθυμῇ κανεὶς ἀπὸ τοὺς αὐτοῦ ἀδελφοὺς ν' ἀναλάβῃ τὸν ὑπὲρ τῶν Ἐκκλησιῶν κόπον, γνωρίζει ὁπωσδήποτε πρὸς ποίους θὰ μεταβῇ καὶ μὲ ποῖον σκοπὸν καὶ ἀπὸ ποίους θὰ ἐφοδιασθῇ μὲ γράμμα καὶ ποίου εἴδους θὰ εἶναι τὸ γράμμα. Ἐγώ, στρέφων τὰ βλέμματα μου γύρω, δὲν βλέπω κοντά μου κανένα. Εὔχομαι νὰ συναριθμηθῶ μὲ τοὺς ἑπτακισχιλίους ποὺ δὲν ἐγονάτισαν ἐμπρὸς εἰς τὸν Βάαλ [3]. Ἀλλὰ πάντως ζητοῦν καὶ τὴν ἰδικήν μας ψυχὴν ἐκεῖνοι ποὺ ἐπιβάλλουν χεῖρας εἰς ὅλους. Ἐν τούτοις δὲν θὰ παραλείψωμεν διὰ τὸν λόγον αὐτὸν τὸν ὀφειλόμενον ζῆλον εἰς τὰς Ἐκκλησίας τοῦ Θεοῦ.

---

3. Γ' Βασ. 19,18.

199

221. ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΒΕΡΟΙΑ

Ἔγνωμεν ὑμᾶς προλαβόντες, ποθεινότατοι, ἐκ τῆς ἐκβεβοημένης ὑμῶν εὐλαβείας καὶ τοῦ στεφάνου τῆς κατὰ Χριστὸν ὁμολογίας. Καὶ ἴσως ἄν τις ὑμῶν φαίη· «καὶ τίς ὁ εἰς τὴν μακρὰν ταύτην διαπορθμεύσας;». Κύριος αὐτός, ὃς τοὺς εὐσεβοῦντας εἰς αὐτὸν τρόπῳ λύχνου τιθεὶς ἐπὶ τὴν λυχνίαν φαίνειν ποιεῖ καθ' ὅλης τῆς οἰκουμένης. Ἢ οὐχὶ τοὺς ἀριστέας τῶν ἀγωνιστῶν ἀνακηρύττειν εἴωθε τὸ τῆς νίκης βραβεῖον, καὶ τοὺς μηχανικοὺς ἡ τοῦ ἔργου ἐπίνοια; Εἰ δὲ ἐπὶ τούτοις καὶ τοῖς τοιούτοις ἄληστος ἡ μνήμη διαμένει, τοὺς κατὰ Χριστὸν εὐσεβοῦντας περὶ ὧν αὐτός φησιν ὁ Κύριος· «Τοὺς δοξάζοντάς με δοξάσω», πῶς οὐχὶ γνωρίμους καὶ διαφανεῖς τοῖς πᾶσι καταστήσει, ταῖς ἀκτῖσι τοῦ ἡλίου συνεφαπλῶν τῆς ἐξαστραπτούσης αὐτῶν λαμπηδόνος τὸ φαιδρόν; Μείζονα δὲ αὖθις ἡμῖν τὸν περὶ ὑμᾶς πόθον ἐνεθήκατε γραμμάτων ἡμᾶς ἀξιώσαντες, καὶ γραμμάτων τοιούτων, ἐν οἷς πρὸς τοῖς προλαβοῦσιν ὑπὲρ τῆς εὐσεβείας παλαίσμασι πλουσίαν καὶ ἀκμαιοτέραν τὴν ὑπὲρ τῆς ἀληθοῦς πίστεως καρτεροψυχίαν ἐπεδαψιλεύεσθε. Ἐφ' οἷς συνηδόμεθα ὑμῖν καὶ συνευχόμεθα ὅπως ὁ τῶν ὅλων Θεός, οὗ ὁ ἀγὼν καὶ οὗ τὸ σκάμμα καὶ δι' οὗ οἱ στέφανοι, προθυμίαν ἐμποιήσῃ, ῥῶσιν ψυχῆς παράσχῃ, καὶ εἰς τελείαν διευδοκίμησιν τὴν παρ' αὐτῷ τὸ ἔργον ὑμῶν ἀγάγῃ.

Ἐπιστολὴ 221. Ἐγράφη τὸ 375. Σώζεται καὶ ἄλλη ἐπιστολὴ τοῦ Βασιλείου πρὸς τὸν λαὸν τῆς Βεροίας (ὑπ' ἀριθμὸν 220 Α΄τ.), καθὼς καὶ μία πρὸς τὸν ἐπίσκοπόν της Θεόδοτον (185), γραφεῖσα τὸ προηγούμενον ἔτος. Τώρα, εἰς ἐποχὴν διωγμοῦ, ὁ ἐπίσκοπος ἀπουσιάζει. Ἀρχίζει τὴν ἐπιστο-

199

ΕΠΙΣΤΟΛΗ 221
ΠΡΟΣ ΤΟΝ ΛΑΟΝ ΤΗΣ ΒΕΡΟΙΑΣ

Σᾶς ἐγνωρίσαμεν ἀπὸ πρίν, ἀγαπητότατοι, ἀπὸ τὴν ἐξακουστὴν εὐλάβειάν σας καὶ ἀπὸ τὸν στέφανον τῆς εἰς Χριστὸν ὁμολογίας σας. Ἴσως εἴπῃ κανεὶς ἀπὸ σᾶς· «καὶ ποῖος εἶναι αὐτὸς ποὺ τὰ διεβίβασε τόσον μακράν;». Ὁ ἴδιος ὁ Κύριος, ὁ ὁποῖος τοὺς εὐσεβεῖς εἰς αὐτὸν ἀνθρώπους τοποθετεῖ ὡσὰν λιχνάρια εἰς τὸν φανοστάτην καὶ ἐπιτρέπει νὰ φέγγουν εἰς ὅλην τὴν οἰκουμένην. Δὲν εἶναι τάχα τὸ βραβεῖον τῆς νίκης αὐτὸ τὸ ὁποῖον εἴθισται νὰ ἀνακηρύττῃ τοὺς πρωταθλητὰς καὶ ἡ ποιότης τοῦ ἔργου τοὺς τεχνίτας; Ἐὰν δὲ εἰς ταῦτα καὶ τὰ τοιαῦτα παραμένει ἀλησμόνητος ἡ μνήμη, τοὺς κατὰ Χριστὸν εὐσεβεῖς, περὶ τῶν ὁποίων ὁ ἴδιος ὁ Κύριος λέγει, «τοὺς δοξάζοντάς με δοξάσω»[1], πῶς δὲν θὰ καταστήσῃ γνωρίμους καὶ φανεροὺς εἰς ὅλους, ἁπλώνων μαζὶ μὲ τὰς ἀκτῖνας τοῦ ἡλίου τὴν φαιδρότητα τῆς λαμπρότητός των ποὺ ἀστράπτει;

Ηὐξήσατε δὲ περισσότερον τὸν διὰ σᾶς πόθον μας μὲ τὸ ὅτι μᾶς ἠξιώσατε γράμματος, καὶ μάλιστα γράμματος τοιούτου, εἰς τὸ ὁποῖον ἐκτὸς ἀπὸ τοὺς προηγουμένους ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας ἐξεικονίσατε ἐπιτυχῶς πλουσίαν καὶ ἀκμαιοτάτην τὴν καρτεροψυχίαν ὑπὲρ τῆς ἀληθοῦς πίστεως. Δι' αὐτὰ χαίρομεν μαζὶ μὲ σᾶς καὶ εὐχόμεθα ὁ Θεὸς τῶν ὅλων, τοῦ ὁποίου εἶναι ὁ ἀγὼν καὶ τὸ στάδιον καὶ οἱ στέφανοι, νὰ ἐνσταλλάξῃ προθυμίαν, νὰ παράσχῃ δύναμιν ψυχῆς καὶ νὰ φέρῃ τὸ ἔργον σας εἰς πλήρη ἐπιδοκιμασίαν ἐκ μέρους του.

λὴν μὲ τὴν δήλωσιν ὅτι τὴν ἐγνώριζεν ἐξ ἀκοῆς. Ἑπομένως αὐτὴ ἡ ἐπιστολὴ μᾶλλον προηγεῖται τῆς ἄλλης (220).

1. Α' Βασ. 2,30

200

256. ΤΟΙΣ ΠΟΘΕΙΝΟΤΑΤΟΙΣ ΚΑΙ ΕΥΛΑΒΕΣΤΑΤΟΙΣ ΑΔΕΛΦΟΙΣ ΣΥΜΠΡΕΣΒΥΤΕΡΟΙΣ ΑΚΑΚΙΩ ΑΕΤΙΩ ΠΑΥΛΩ ΚΑΙ ΣΙΛΟΥΑΝΩ ΚΑΙ ΣΙΛΟΥΙΝΩ ΚΑΙ ΛΟΥΚΙΩ ΔΙΑΚΟΝΟΙΣ ΚΑΙ ΛΟΙΠΟΙΣ ΜΟΝΑΖΟΥΣΙΝ ΑΔΕΛΦΟΙΣ ΒΑΣΙΛΕΙΟΣ ΕΠΙΣΚΟΠΟΣ

Ἐγὼ ἀκούσας τὸν βαρὺν ἐκεῖνον διωγμὸν ἐπαναστάντα ὑμῖν, καὶ ὅτι εὐθέως μετὰ τὸ Πάσχα οἱ εἰς κρίσεις καὶ μάχας νηστεύσαντες ἐπελθόντες ὑμῶν ταῖς σκηναῖς πυρὶ παρέδωκαν τοὺς πόνους ὑμῶν, ὑμῖν μὲν τὴν ἐν οὐρανοῖς οἰκίαν τὴν ἀχειροποίητον εὐτρεπίζοντες, ἑαυτοῖς δὲ τὸ πῦρ θησαυρίζοντες ᾧ εἰς τὴν καθ' ὑμῶν ἐχρήσαντο βλάβην, ἐστέναξα μὲν ἐπὶ τῷ συμβάντι οὐχ ὑμῖν συναλγῶν, ἀδελφοί, μὴ γένοιτο, ἀλλὰ τοῖς οὕτω καταβαπτισθεῖσιν ὑπὸ τῆς κακίας ὥστε μέχρι τοσούτου ἑαυτῶν τὴν πονηρίαν ἐκτεῖναι. Προσεδόκησα δὲ εὐθέως ἐφ' ἑτοίμην καταφυγήν, τὴν ἡμετέραν ταπείνωσιν, πάντας ὑμᾶς δραμεῖσθαι· καὶ ἐν ἐλπίδι εἶχον ὅτι δώσει μοι ὁ Κύριος ἀνάπνευσιν τῶν συνεχῶν ὀδυνῶν ἐν τῷ περιπτύξασθαι ὑμᾶς, καί, τὸν καλὸν ἱδρῶτα ὃν ὑπὲρ τῆς ἀληθείας στάζετε τῷ ἀργῷ τούτῳ ἐμαυτοῦ σώματι ὑποδεξάμενος, ἕξειν τινὰ κοινωνίαν τῶν ἀποκειμένων ὑμῖν ἄθλων παρὰ τοῦ κριτοῦ τῆς ἀληθείας. Ἀλλ' ἐπειδὴ τοῦτο μὲν οὐδ' εἰς ἔννοιαν ὑμῖν ἦλθεν οὐδὲ προσεδοκήσατέ τινα ἀνάπαυσιν ἕξειν παρ' ἡμῶν, ἐπεθύμουν ὑποθέσεις γοῦν εὑρίσκειν συνεχεῖς τῶν πρὸς ὑμᾶς γραμμάτων, ἵν' ὥσπερ οἱ τοῖς ἀγωνιζομένοις ὑποφθεγγόμενοι καὶ αὐτός τινα ὑμῖν

Ἐπιστολὴ 256. Ἐγράφη πιθανῶς τὸ 376. Οἱ αἱρετικοὶ εἶχαν προβῆ εἰς διώξεις κατὰ τῶν ὀρθοδόξων τῆς συριακῆς Βεροίας τὸ 376, καὶ ἰδίως κατὰ μοναχικῶν κοινοτήτων. Ὁ Βασίλειος γράφει παρηγορητικῶς. Ὁ πρῶτος μνημονευόμενος Ἀκάκιος εἶναι πιθανῶς ὁ μετέπειτα ἐπίσκοπος Βεροίας,

200

ΕΠΙΣΤΟΛΗ 256
ΠΡΟΣ ΤΟΥΣ ΠΟΘΕΙΝΟΤΑΤΟΥΣ ΚΑΙ ΕΥΛΑΒΕΣΤΑΤΟΥΣ ΑΔΕΛΦΟΥΣ ΣΥΜΠΡΕΣΒΥΤΕΡΟΥΣ ΑΚΑΚΙΟΝ ΑΕΤΙΟΝ ΠΑΥΛΟΝ ΚΑΙ ΣΙΛΟΥΑΝΟΝ ΚΑΙ ΔΙΑΚΟΝΟΥΣ ΣΙΛΟΥΙΝΟΝ ΚΑΙ ΛΟΥΚΙΟΝ ΚΑΙ ΛΟΙΠΟΥΣ ΜΟΝΑΖΟΝΤΑΣ ΑΔΕΛΦΟΥΣ ΒΑΣΙΛΕΙΟΣ ΕΠΙΣΚΟΠΟΣ

Ἐγώ, ὅταν ἤκουσα ὅτι ἐσηκώθη ὁ βαρὺς ἐκεῖνος διωγμὸς ἐναντίον σας καὶ ὅτι εὐθὺς μετὰ τὸ Πάσχα «οἱ εἰς κρίσεις καὶ μάχας νηστεύσαντες» [1] ἐπιτεθέντες ἐναντίον τῶν σκηνῶν σας παρέδωσαν τοὺς κόπους σας εἰς τὴν φωτιάν, διὰ σᾶς μὲν προετοιμάζοντες τὴν ἀχειροποίητον οἰκίαν εἰς τοὺς οὐρανούς, διὰ τοὺς ἑαυτούς των δὲ θησαυρίζοντες τὸ πῦρ τὸ ὁποῖον ἐχρησιμοποίησαν διὰ νὰ προκαλέσουν τὴν εἰς βάρος σας βλάβην, ἐστέναξα μὲν διὰ τὸ συμβάν, θρηνῶν ὄχι διὰ σᾶς, ἀδελφοί, μὴ γένοιτο, ἀλλὰ διὰ τοὺς τόσον πολὺ πλημμυρισμένους ἀπὸ κακίαν, ὥστε νὰ ἐκτείνουν τὴν πονηρίαν μέχρι τοιούτου σημείου. Ἀνέμενα δὲ ἀμέσως ὅτι θὰ τρέξετε ὅλοι σας εἰς ἕτοιμον καταφύγιον, τὴν ταπείνωσιν ἡμῶν, καὶ ἤλπιζα ὅτι θὰ μοῦ δώσῃ ὁ Κύριος ἀναπνοὴν ἀπὸ τὰς συνεχεῖς ὀδύνας μὲ τὸ νὰ σᾶς ἐναγκαλισθῶ καὶ ὅτι, ὑποδεχόμενος τὸν καλὸν ἱδρῶτα ποὺ στάζετε ὑπὲρ τῆς ἀληθείας εἰς τοῦτο τὸ δυσκίνητον σῶμά μου, θὰ λάβω κάποιο μερίδιον τῶν ἄθλων ποὺ ἀπόκεινται εἰς σᾶς ἀπὸ τὸν Κριτὴν τῆς ἀληθείας.

Ἀλλ' ἐπειδὴ σεῖς οὔτε κἂν ἐσκέφθητε κάτι τέτοιο καὶ δὲν ἀνεμείνατε ὅτι θὰ εἴχατε κάποιαν ἀνάπαυσιν ἀπὸ ἡμᾶς, ἐπιθυμοῦσα νὰ εὑρίσκω συνεχεῖς εὐκαιρίας νὰ σᾶς στέλλω γράμματα, ὥστε, ὅπως οἱ ἐπιφωνοῦντες πρὸς τοὺς ἀγωνιζομένους,

---

ὁ ὁποῖος ἀργότερα ἀνεμείχθη εἰς τὴν πολεμικὴν κατὰ τοῦ Ἰωάννου Χρυσοστόμου.

1. Ἡσ. 58, 4.

διὰ γραμμάτων εἰς προτροπὴν τῆς ἀγαθῆς ὑμῶν ἀθλήσεως ἐνεβόησα. Ἐγένετο δὲ ἡμῖν οὐδὲ τοῦτο ῥᾴδιον διὰ δύο προφάσεις· μίαν μὲν ὅτι οὐκ ἤδειμεν ὅπου διάγετε, ἑτέραν δὲ ὅτι οὐδὲ πολλοί εἰσιν οἱ παρ' ἡμῶν πρὸς ὑμᾶς ἀπαίροντες. Ἀλλὰ νῦν ὁ Κύριος ἤγαγεν ἡμῖν τὸν ποθεινότατον καὶ εὐλαβέστατον ἀδελφὸν Σαγκτίσιμον τὸν συμπρεσβύτερον, δι' οὗ καὶ προσφθεγγόμεθα ὑμῶν τὴν ἀγάπην καὶ παρακαλοῦμεν προσεύχεσθαι ὑμᾶς ὑπὲρ ἡμῶν χαίροντας καὶ ἀγαλλιωμένους ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς, καὶ ὡς ἔχοντας παρρησίαν πρὸς τὸν Κύριον μὴ ἀνεῖναι νυκτὸς καὶ ἡμέρας βοῶντας πρὸς αὐτὸν ὑπὲρ τοῦ παύσασθαι μὲν τὸν σάλον τῶν Ἐκκλησιῶν τοῦτον, ἀποδοθῆναι δὲ τοῖς λαοῖς τοὺς ποιμένας, ἐπανελθεῖν δὲ τὴν Ἐκκλησίαν εἰς τὸ οἰκεῖον αὐτῆς ἀξίωμα. Πέπεισμαι γὰρ ὅτι, ἐὰν εὑρεθῇ φωνὴ δυσωποῦσα τὸν ἀγαθὸν Θεόν, οὐκ εἰς μακρὰν ποιήσει τὰ ἐλέη αὐτοῦ, ἀλλὰ παρέξει ἡμῖν λοιπὸν σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν. Πᾶσαν τὴν ἐν Χριστῷ ἀδελφότητα ἀσπάσασθε ἐξ ἡμῶν.

201

257. ΠΡΟΣ ΤΟΥΣ ΜΟΝΑΖΟΝΤΑΣ ΚΑΤΑΠΟΝΗΘΕΝΤΑΣ ΥΠΟ ΤΩΝ ΑΡΕΙΑΝΩΝ

1. Ἃ κατ' ἐμαυτὸν ἐφθεγξάμην ἀκούσας περὶ τοῦ πειρασμοῦ τοῦ ἐπαχθέντος ὑμῖν παρὰ τῶν ἐχθρῶν τοῦ Θεοῦ, ταῦτα καὶ διὰ γράμματος ἀπαγγεῖλαι πρὸς ὑμᾶς καλῶς ἔχειν ἐνόμισα, ὅτι ἐν καιρῷ νομιζομένῳ εἰρηνεύεσθαι ἐκτήσασθε ἑαυτοῖς μακαρισμὸν

2. Ματθ. 5, 12.
3. Βλ. Λουκ. 18, 7.

νὰ ἀπευθύνω καὶ ἐγὼ εἰς σᾶς λόγους μὲ τὰ γράμματα εἰς ἐνθάρρυνσιν τῆς ἀγαθῆς ἀθλήσεώς σας. Δὲν κατέστη ὅμως οὔτε τοῦτο εὔκολον εἰς ἡμᾶς διὰ δύο αἰτίας· μίαν μέν, ὅτι δὲν ἐγνωρίζαμεν ποῦ διαμένετε, ἄλλην δὲ ὅτι δὲν εἶναι πολλοὶ οἱ ταξιδεύοντες ἀπὸ τὰ μέρη μας πρὸς τὰ ἰδικά σας.

Ἀλλὰ τώρα ὁ Κύριος μᾶς ἔφερε τὸν ἀγαπητότατον καὶ εὐλαβέστατον ἀδελφὸν Σαγκτίσσιμον, τὸν συμπρεσβύτερον, διὰ τοῦ ὁποίου καὶ χαιρετίζομεν τὴν ἀγάπην σας. Παρακαλοῦμεν νὰ προσεύχεσθε ὑπὲρ ἡμῶν χαίροντες καὶ ἀγαλλιώμενοι ποὺ ὁ μισθός σας εἶναι πολὺς εἰς τοὺς οὐρανοὺς [2] καί, ὡς ἔχοντες παρρησίαν πρὸς τὸν Κύριον, νὰ μὴ παραλείπετε ἡμέραν καὶ νύκτα νὰ βοᾶτε πρὸς αὐτὸν [3] νὰ σταματήσῃ αὐτὸς ὁ σάλος τῶν Ἐκκλησιῶν, νὰ ἀποδοθοῦν οἱ ποιμένες εἰς τοὺς λαούς των, νὰ ἐπανέλθῃ δὲ ἡ Ἐκκλησία εἰς τὴν κανονικὴν ὑπόληψιν. Διότι εἶμαι πεπεισμένος ὅτι, ἐὰν εὑρεθῇ φωνὴ νὰ συγκινήσῃ τὸν ἀγαθὸν Θεόν, δὲν θὰ βραδύνῃ νὰ ἐκδηλώσῃ τὸ ἔλεός του, ἀλλὰ θὰ μᾶς παράσχῃ ἀμέσως μαζὶ μὲ τὸν πειρασμὸν καὶ τὴν ἀπαλλαγήν, ὥστε νὰ δυνηθῶμεν νὰ τὸν βαστάσωμεν.

Ἀσπασθῆτε ἐκ μέρους μας ὅλην τὴν ἐν Χριστῷ ἀδελφότητα.

201

ΕΠΙΣΤΟΛΗ 257
ΠΡΟΣ ΤΟΥΣ ΜΟΝΑΧΟΥΣ ΤΟΥΣ ΤΑΛΑΙΠΩΡΗΘΕΝΤΑΣ ΥΠΟ ΤΩΝ ΑΡΕΙΑΝΩΝ

1. Ὅσα εἶπα εἰς τὸν ἑαυτόν μου, μόλις ἤκουσα περὶ τῆς δοκιμασίας εἰς τὴν ὁποίαν σᾶς ὑπέβαλαν οἱ ἐχθροὶ τοῦ Θεοῦ, αὐτὰ ἐνόμισα καλὸν νὰ ἀπαγγείλω καὶ εἰς σᾶς μὲ γράμμα, διότι εἰς ἐποχὴν ποὺ θεωρεῖται ὡς εἰρηνικὴ [1] ἀπεκτήσατε διὰ τοὺς

Ἐπιστολὴ 257. Ἐγράφη τὸ 376. Ἀντικείμενον αὐτῆς εἶναι τὸ ἴδιον μὲ τὸ τῆς ἐπιστολῆς 256. Οἱ Ἀρειανοὶ ἐδίωκον ἰδιαιτέρως τοὺς μοναχούς.

1. Χωρὶς ἐξωτερικοὺς διωγμοὺς δηλαδή, ἐνῷ ὑπῆρχαν ἐσωτερικαὶ διενέξεις, προκαλούμεναι ἀπὸ τοὺς αἱρετικούς.

τὸν ὑπὲρ τῶν διωκομένων ἕνεκεν τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀποκείμενον. Οὐ γὰρ ἐπειδὴ ὄνομα προσηνὲς καὶ ἥπιον περίκειται τοῖς τὰ πονηρὰ ἐργαζομένοις, τούτου ἕνεκεν καὶ τὰ πράγματα νομίζειν χρὴ μὴ πολεμίων εἶναι. Χαλεπώτερον γὰρ κρίνω ἐγὼ τὸν παρὰ τῶν ὁμοφύλων πόλεμον, διότι τοὺς μὲν προκεκηρυγμένους ἐχθροὺς καὶ φυλάξασθαι ῥᾴδιον, τοῖς δὲ ἀναμεμιγμένοις ἡμῖν ἀνάγκη ἐκδότους εἶναι πρὸς πᾶσαν βλάβην· ὃ καὶ ὑμεῖς πεπόνθατε. Ἐδιώχθησαν μὲν γὰρ καὶ οἱ πατέρες ἡμῶν, ἀλλὰ παρὰ τῶν εἰδωλολατρούντων· καὶ διηρπάγη αὐτῶν ὁ βίος καὶ οἶκοι ἀνετράπησαν καὶ αὐτοὶ ἐφυγαδεύθησαν παρὰ τῶν φανερῶς πολεμούντων ἡμῖν διὰ τὸ ὄνομα τοῦ Χριστοῦ. Οἱ δὲ νῦν ἀναφανέντες διῶκται μισοῦσι μὲν ἡμᾶς οὐδὲν ἧττον ἢ ἐκεῖνοι, εἰς δὲ τὴν τῶν πολλῶν ἀπάτην τὸ τοῦ Χριστοῦ προβάλλονται ὄνομα, ἵνα μηδὲ τὴν ἐκ τῆς ὁμολογίας παραμυθίαν ἔχωσιν οἱ διωκόμενοι, τῶν πολλῶν καὶ ἀκεραιοτέρων ἀδικεῖσθαι μὲν ἡμᾶς ὁμολογούντων, εἰς μαρτύριον δὲ ἡμῖν τὸν ὑπὲρ τῆς ἀληθείας θάνατον μὴ λογιζομένων. Διόπερ ἐγὼ πέπεισμαι μείζονα ἡμῖν ἢ τοῖς τότε μαρτυροῦσι παρὰ τοῦ δικαίου κριτοῦ μισθὸν ἀποκεῖσθαι, εἴπερ ἐκεῖνοι καὶ τὴν παρὰ τῶν ἀνθρώπων ἀποδοχὴν ὁμολογουμένην εἶχον καὶ τὸν παρὰ τοῦ Θεοῦ μισθὸν ἐξεδέχοντο, καὶ ἡμῖν δὲ ἐπ' ἴσοις τοῖς κατορθώμασι αἱ παρὰ τῶν λαῶν τιμαὶ οὐχ ὑπάρχουσιν· ὥστε εἰκὸς πολυπλασίονα ἀποκεῖσθαι ἐν τῷ μέλλοντι αἰῶνι τῶν ὑπὲρ τῆς εὐσεβείας πόνων τὴν ἀντιμισθίαν.

2. Διὸ παρακαλοῦμεν ὑμᾶς μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσιν, ἀλλ' ἀνανεοῦσθαι τῇ πρὸς Θεὸν ἀγάπῃ καὶ καθ' ἡμέραν προστιθέναι τῇ σπουδῇ, εἰδότες ὅτι ἐν ὑμῖν ὀφείλει τὸ λείψανον τῆς εὐσεβείας σωθῆναι, ὃ ἐλθὼν ὁ Κύριος εὑρήσει ἐπὶ τῆς γῆς. Καὶ εἴτε ἀπεδιώχθησαν ἐπίσκοποι τῶν Ἐκκλησιῶν, τοῦτο ὑμᾶς μὴ σαλευέτω· εἴτε προδόται ἐξ αὐτῶν ἐφύησαν τῶν κληρικῶν, μηδὲ τοῦτο τὴν πεποίθησιν ὑμῶν τὴν εἰς Θεὸν σαθρούτω. Οὐ γὰρ τὰ ὀνόματά ἐστι

---

2. Οἱ αἱρετικοὶ ποὺ αὐτοχαρακτηρίζονται ὡς Χριστιανοί.

ἑαυτούς σας τὸν μακαρισμὸν ποὺ ἀπόκειται εἰς τοὺς διωκομένους διὰ τὸ ὄνομα τοῦ Χριστοῦ. Ἀλλὰ βέβαια δὲν πρέπει, διὰ τὸν λόγον ὅτι οἱ ἐργαζόμενοι τὰ πονηρὰ ἔχουν ὄνομα εὐχάριστον καὶ εὐγενές, νὰ νομίζωμεν ὅτι ἡ συμπεριφορά των δὲν εἶναι ἐχθρική. Ἐγὼ κρίνω σκληρότερον τὸν ἐκ μέρους τῶν ὁμοφύλων πόλεμον, διότι ἀπὸ μὲν τοὺς κεκηρυγμένους ἐχθροὺς εἶναι εὔκολον νὰ φυλαχθῇ κανείς, ἐνῷ ἐνώπιον ἀνθρώπων ἀναμεμιγμένων μὲ ἡμᾶς κατ' ἀνάγκην εἴμεθα ἐκτεθειμένοι εἰς κάθε βλάβην. Αὐτὸ ἔχετε πάθει καὶ σεῖς. Ἐδιώχθησαν βέβαια καὶ οἱ πατέρες μας, ἀλλὰ ἀπὸ τοὺς εἰδωλολάτρας· καὶ διηρπάγη ἡ περιουσία των καὶ ἀνετράπησαν οἱ οἶκοι καὶ οἱ ἴδιοι ἐξωρίσθησαν ἀπὸ τοὺς φανερῶς πολεμοῦντας ἡμᾶς διὰ τὸ ὄνομα τοῦ Χριστοῦ. Οἱ δὲ ἀναφανέντες τώρα διῶκται μισοῦν μὲν ἡμᾶς ὄχι ὀλιγώτερον ἀπὸ ἐκείνους, πρὸς ἐξαπάτησιν δὲ τῶν πολλῶν προβάλλουν τὸ ὄνομα τοῦ Χριστοῦ [2], ὥστε οἱ διωκόμενοι νὰ μὴ ἔχουν οὔτε τὴν παρηγορίαν ὅτι εἶναι ὁμολογηταί, καθ' ὅσον οἱ πολλοὶ καὶ ἀφελέστεροι παραδέχονται μὲν ὅτι ἀδικούμεθα, ἀλλὰ δὲν θεωροῦν ὡς μαρτύριον τὸν ὑπὲρ τῆς ἀληθείας θάνατον. Διὰ τοῦτο ἐγὼ εἶμαι πεπεισμένος ὅτι περισσότερος μισθὸς ἀπόκειται εἰς ἡμᾶς παρὰ εἰς τοὺς τότε μάρτυρας ἀπὸ τὸν δίκαιον Κριτήν, ἐφ' ὅσον ἐκεῖνοι καὶ τὴν ἀποδοχὴν ἀπὸ τοὺς ἀνθρώπους εἶχαν ἐξησφαλισμένην καὶ τὸν μισθὸν ἀπὸ τὸν Θεὸν ἐπερίμεναν, ἐνῷ εἰς ἡμᾶς δὲν ἀποδίδονται ἀπὸ τοὺς λαοὺς ἴσαι τιμαὶ πρὸς τὰ κατορθώματα· ὥστε εἶναι εὔλογον ὅτι διὰ τοὺς κόπους ὑπὲρ τῆς εὐσεβείας ἀπόκειται πολλαπλασία ἀνταπόδοσις εἰς τὸν μέλλοντα αἰῶνα.

2. Διὰ τοῦτο σᾶς παρακαλοῦμεν νὰ μὴ ἀπογοητεύεσθε ἀπὸ τὰς θλίψεις, ἀλλὰ ν' ἀνανεώνεσθε εἰς τὴν πρὸς τὸν Θεὸν ἀγάπην καὶ καθημερινῶς ν' αὐξάνετε τὸν ζῆλόν σας, γνωρίζοντες ὅτι εἰς σᾶς πρέπει νὰ διασωθῇ τὸ ὑπόλειμμα τῆς εὐσεβείας, τὸ ὁποῖον ἐρχόμενος ὁ Κύριος θὰ εὕρῃ ἐπὶ τῆς γῆς. Ἐὰν ἀπεδιώχθησαν ἐπίσκοποι ἀπὸ τὰς Ἐκκλησίας των, τοῦτο νὰ μὴ σᾶς ταράσσῃ· ἐὰν ἀνεδείχθησαν προδόται ἀπὸ τοὺς κύκλους τῶν κληρικῶν, οὔτε τοῦτο νὰ μὴ κλονίζῃ τὴν εἰς τὸν Θεὸν πε-

τὰ σώζοντα ἡμᾶς, ἀλλ' αἱ προαιρέσεις καὶ ἡ ἀληθινὴ περὶ τὸν κτίσαντα ἡμᾶς ἀγάπη. Ἐνθυμήθητε ὅτι καὶ ἐν τῇ κατὰ τοῦ Κυρίου ἡμῶν ἐπιβουλῇ ἀρχιερεῖς μὲν καὶ γραμματεῖς καὶ πρεσβύτεροι τὸν δόλον συνεσκευάσαντο, ὀλίγοι δὲ τῶν ἐκ τοῦ λαοῦ εὑρίσκοντο οἱ γνησίως τὸν λόγον καταδεχόμενοι, καὶ ὅτι οὐ τὸ πλῆθός ἐστι τὸ σωζόμενον, ἀλλ' οἱ ἐκλεκτοὶ τοῦ Θεοῦ. Ὥστε μηδέποτε ὑμᾶς πτοείτω λαοῦ πολυοχλία, οἱ ὥσπερ ὕδωρ θαλάσσης ὑπὸ πνευμάτων μεταφερόμενοι. Ἐὰν γὰρ καὶ εἷς σωθῇ ὥσπερ Λὼτ ἐν Σοδόμοις, μένειν ὀφείλει ἐπὶ τῆς ὀρθῆς κρίσεως ἀμετακίνητον ἔχων τὴν ἐν Χριστῷ ἐλπίδα, διότι οὐκ ἐγκαταλείψει Κύριος τοὺς ὁσίους αὐτοῦ. Πᾶσαν τὴν ἐν Χριστῷ ἀδελφότητα ἀσπάσασθε ἐξ ἐμοῦ· προσεύχεσθε γνησίως ὑπὲρ τῆς ψυχῆς μου τῆς ἐλεεινῆς.

202

264. ΒΑΡΣΗ ΕΠΙΣΚΟΠΩ ΕΔΕΣΣΗΣ ΕΝ ΕΞΟΡΙΑ ΟΝΤΙ

Τῷ ὡς ἀληθῶς θεοφιλεστάτῳ καὶ πάσης αἰδοῦς καὶ τιμῆς ἀξίῳ ἐπισκόπῳ Βάρσῃ Βασίλειος ἐν Κυρίῳ χαίρειν. Ἐρχομένων τῶν γνησιωτάτων ἀδελφῶν τῶν περὶ Δομνῖνον πρὸς τὴν εὐλάβειάν σου, ἡδέως τὴν ἀφορμὴν τῶν γραμμάτων ἐδεξάμεθα καὶ προσαγορεύομέν σε δι' αὐτῶν εὐχόμενοι τῷ ἁγίῳ Θεῷ μέχρι τοσούτου φυλαχθῆναι τῇ ζωῇ ταύτῃ, μέχρις οὗ καταξιωθῶμεν ἰδεῖν σε καὶ ἀπολαῦσαι τῶν ἐν σοὶ χαρισμάτων. Μόνον εὔχου, παρακαλῶ, ἵνα ὁ

---

3. Γέν. 19 κεφ.

Ἐπιστολὴ 264. Ἐγράφη τὸ 377. Ὁ Βάρσης, ἐπίσκοπος Ἐδέσσης, ἐδιώχθη ὑπὸ ἀρειανῶν ἀρχόντων καὶ κατέφυγεν εἰς τὴν νῆσον Ἄραθον,

ποίθησίν σας. Διότι δὲν εἶναι τὰ ὀνόματα αὐτὰ ποὺ μᾶς σώζουν, ἀλλὰ αἱ προαιρέσεις καὶ ἡ ἀληθινὴ πρὸς τὸν κτίστην ἡμῶν ἀγάπη. Ἐνθυμηθῆτε ὅτι καὶ εἰς τὴν περίπτωσιν τῆς ἐπιβουλῆς κατὰ τοῦ Κυρίου ἡμῶν, ἐνῷ τὸν δόλον ἐσχεδίασαν οἱ ἀρχιερεῖς καὶ γραμματεῖς καὶ πρεσβύτεροι, ὀλίγοι ἀπὸ τὸν λαὸν ἦσαν οἱ παραδεχόμενοι γνησίως τὸν λόγον, καὶ ὅτι δὲν σώζεται τὸ πλῆθος, ἀλλὰ οἱ ἐκλεκτοὶ τοῦ Θεοῦ.

Ὥστε νὰ μὴ σᾶς πτοῇ ποτὲ ὁ πολὺς ὄχλος, τὰ πλήθη ποὺ μεταφέρονται ἀπὸ ἀνέμους ὡσὰν τὸ ὕδωρ τῆς θαλάσσης. Καὶ ἕνας ἀκόμη ἐὰν σωθῇ, ὅπως ὁ Λὼτ εἰς τὰ Σόδομα[3], ὀφείλει νὰ μένῃ ἀμετακίνητος ἐπὶ τῆς ὀρθῆς γνώμης, διατηρῶν τὴν ἐν Χριστῷ ἐλπίδα, διότι ὁ Κύριος δὲν θὰ ἐγκαταλείψῃ τοὺς ὁσίους αὐτοῦ. Ἀσπασθῆτε ἐκ μέρους μου ὅλην τὴν ἐν Χριστῷ ἀδελφότητα· νὰ προσεύχεσθε γνησίως ὑπὲρ τῆς ἐλεεινῆς ψυχῆς μου.

202

ΕΠΙΣΤΟΛΗ 264
ΠΡΟΣ ΒΑΡΣΗΝ ΕΠΙΣΚΟΠΟΝ ΕΔΕΣΣΗΣ ΕΝ ΕΞΟΡΙΑ ΕΥΡΙΣΚΟΜΕΝΟΝ

Πρὸς τὸν ἀληθῶς θεοφιλέστατον καὶ παντὸς σεβασμοῦ καὶ πάσης τιμῆς ἄξιον ἐπίσκοπον Βάρσην, ὁ Βασίλειος ἀποστέλλει χαιρετισμόν.

Ἐπωφελήθημεν εὐχαρίστως τῆς εὐκαιρίας τοῦ ἐρχομοῦ τῶν γνησιωτάτων ἀδελφῶν τῆς συνοδείας τοῦ Δομνίνου πρὸς τὴν εὐλάβειάν σου ὡς ἀφορμῆς ἀποστολῆς γράμματος καὶ σὲ χαιρετίζομεν διὰ μέσου αὐτῶν, εὐχόμενοι εἰς τὸν ἅγιον Θεὸν νὰ διατηρηθῶμεν εἰς τὴν παροῦσαν ζωὴν ἐπὶ τόσον χρόνον, ὅσος χρειάζεται διὰ νὰ καταξιωθῶμεν νὰ σὲ ἴδωμεν καὶ νὰ ἀπολαύσωμεν τῶν χαρισμάτων σου. Μόνον νὰ εὔχεσαι, παρακα-

---

ἔπειτα δὲ εἰς Ὀξύρυγχον. Ὁ Βασίλειος τοῦ ἔγραψε τὴν παροῦσαν ἐπιστολὴν καὶ μετ' ὀλίγον τὴν ὑπ' ἀριθμὸν 267.

Κύριος μὴ παραδῷ ἡμᾶς εἰς τέλος τοῖς ἐχθροῖς τοῦ σταυροῦ τοῦ Χριστοῦ, ἀλλὰ φυλάξῃ τὰς ἑαυτοῦ Ἐκκλησίας μέχρι τοῦ καιροῦ τῆς εἰρήνης ἣν αὐτὸς οἶδεν ὁ δίκαιος κριτὴς πότε ἀποδώσει. Ἀποδώσει γὰρ καὶ οὐκ ἐγκαταλείψει ἡμᾶς εἰς τὸ παντελές. Ἀλλ' ὥσπερ τοῖς Ἰσραηλίταις τὴν ἑβδομηκονταετίαν ὥρισεν ὑπὲρ τῶν ἁμαρτημάτων εἰς τὴν τῆς αἰχμαλωσίας καταδίκην, οὕτω τάχα καὶ ἡμᾶς ὁ Δυνατὸς χρόνῳ τινὶ ὡρισμένῳ παραδοὺς ἀνακαλέσεταί ποτε καὶ ἀποκαταστήσει εἰς τὴν ἐξ ἀρχῆς εἰρήνην, εἰ μὴ ἄρα ἐγγύς πού ἐστιν ἡ ἀποστασία καὶ τὰ νῦν γινόμενα προοίμιά ἐστι τῆς εἰσόδου τοῦ ἀντιχρίστου. Ὅπερ δὲ ἐὰν ᾖ, προσεύχου ἵνα ἢ τὰς θλίψεις παρενέγκῃ ἢ ἡμᾶς ἀπταίστους διὰ τῶν θλίψεων ὁ ἀγαθὸς διασώσηται. Πᾶσαν τὴν συνοδίαν τὴν καταξιωθεῖσαν συνεῖναι τῇ εὐλαβείᾳ σου ἀσπαζόμεθα διὰ σοῦ. Τὴν σὴν εὐλάβειαν οἱ σὺν ἡμῖν πάντες προσαγορεύουσιν. Ἐρρωμένος καὶ εὔθυμος ἐν Κυρίῳ, ὑπερευχόμενός μου, διαφυλαχθείης τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ χάριτι τοῦ Ἁγίου.

203

267. ΒΑΡΣΗ ΕΠΙΣΚΟΠΩ ΕΔΕΣΣΗΣ ΕΝ ΕΞΟΡΙΑ ΟΝΤΙ

Ἐγὼ τῆς διαθέσεως μὲν ἕνεκεν ἧς ἔχω περὶ τὴν σὴν θεοσέβειαν ἐπεθύμουν αὐτὸς παραγενέσθαι καὶ δι' ἐμαυτοῦ περιπτύξασθαί σου τὴν ἀληθινὴν ἀγάπην καὶ δοξάσαι τὸν Κύριον τὸν ἐν σοὶ μεγαλυνθέντα καὶ τὸ τίμιόν σου γῆρας περιφανὲς καταστή-

---

1. Φιλιπ. 3, 18.

λῶ, νὰ μὴ μᾶς παραδώσῃ εἰς τὸ τέλος ὁ Κύριος εἰς τοὺς ἐχθρούς τοῦ σταυροῦ τοῦ Χριστοῦ[1], ἀλλὰ νὰ διαφυλάξῃ τὰς Ἐκκλησίας του μέχρι τῆς ἐποχῆς τῆς εἰρήνης, τὴν ὁποίαν ὁ ἴδιος ὁ δίκαιος Κριτὴς γνωρίζει πότε θὰ ἀποδώσῃ. Πάντως ὁπωσδήποτε θὰ τὴν ἀποδώσῃ καὶ δὲν θὰ μᾶς ἐγκαταλείψῃ διαπαντός. Ἀλλὰ ὅπως εἰς τοὺς Ἰσραηλίτας ὥρισε τὴν ἑβδομηκονταετίαν τῆς τιμωρίας εἰς τὴν αἰχμαλωσίαν διὰ τὰ ἁμαρτήματα, οὕτως ἴσως καὶ ἡμᾶς ὁ Δυνατός, ἀφοῦ μᾶς παραδώσῃ ἐπὶ ὡρισμένον χρόνον εἰς τοὺς ἐχθρούς, θὰ μᾶς ἀνακαλέσῃ καὶ θὰ μᾶς ἀποκαταστήσῃ εἰς τὴν ἀρχικὴν εἰρήνην, ἐκτὸς ἐὰν πλησιάζῃ ἡ ἀποστασία[2] καὶ τὰ τώρα συμβαίνοντα εἶναι προοίμια τῆς εἰσόδου τοῦ ἀντιχρίστου. Ὅ,τι καὶ νὰ συμβαίνῃ πάντως, νὰ προσεύχεσαι ἢ νὰ μᾶς ἀπαλλάξῃ ὁ Ἀγαθὸς ἀπὸ τὰς θλίψεις ἢ νὰ μᾶς διατηρήσῃ ἀκαταβλήτους διὰ μέσου τῶν θλίψεων.

Ὅλην τὴν συνοδείαν ποὺ ἔχει καταξιωθῆ νὰ ζῇ μαζὶ μὲ τὴν εὐλάβειάν σου ἀσπαζόμεθα διὰ σοῦ. Τὴν εὐλάβειάν σου χαιρετίζουν ὅλοι ὅσοι εἶναι μαζί μου. Νὰ διαφυλαχθῇς μὲ τὴν χάριν τοῦ ἁγίου Θεοῦ διὰ τὴν Ἐκκλησίαν του καὶ νὰ προσεύχεσαι δι' ἐμέ.

203

ΕΠΙΣΤΟΛΗ 267
ΠΡΟΣ ΒΑΡΣΗΝ ΕΠΙΣΚΟΠΟΝ ΕΔΕΣΣΗΣ ΕΝ ΕΞΟΡΙΑ ΕΥΡΙΣΚΟΜΕΝΟΝ

Εἶναι τοιαύτη ἡ διάθεσις ποὺ ἔχω ἔναντι τῆς θεοσεβείας σου, ὥστε ἐπιθυμοῦσα νὰ ἔλθω ὁ ἴδιος πλησίον σου, νὰ ἐναγκαλισθῶ προσωπικῶς τὴν ἀληθινήν σου ἀγάπην καὶ νὰ δοξάσω τὸν Κύριον ποὺ ἐμεγαλύνθη εἰς σὲ καὶ κατέστησε τὸ γῆ-

---

2. Ἡ ἐσχατολογικὴ ἀποστασία, ἡ ὁποία θὰ προηγηθῇ τῆς δευτέρας παρουσίας.

Ἐπιστολὴ 267. Ἐγράφη τὸ 377. Βλ. ἐπιστολὴν 264.

σαντα πᾶσι τοῖς ἐν τῇ οἰκουμένῃ φοβουμένοις αὐτόν. Ἐπειδὴ δὲ καὶ ἀσθένεια τοῦ σώματος βαρεῖα καταπονεῖ με καὶ φροντὶς Ἐκκλησιῶν ἐπίκειταί μοι ἀμύθητος καὶ οὐκ εἰμὶ ἐμαυτοῦ κύριος πρὸς τὸ ἀποδημεῖν ὅπου βούλομαι καὶ συντυγχάνειν οἷς ἐπιθυμῶ, διὰ τοῦ γράμματος ἀναπαύω τὸν πόθον ὃν ἔχω ἐπὶ τῇ ἀπολαύσει τῶν ἐν σοὶ καλῶν καὶ παρακαλῶ τὴν ἀνυπέρβλητόν σου εὐλάβειαν εὔχεσθαι ὑπὲρ ἐμοῦ καὶ τῆς Ἐκκλησίας, ἵνα ὁ Κύριος δῷ ἡμῖν ἀπροσκόπως παρελθεῖν τὰς λειπομένας ἡμέρας ἢ ὥρας τῆς παρεπιδημίας ἡμῶν· παράσχοι δὲ ἡμῖν καὶ ἰδεῖν τὴν εἰρήνην τῶν Ἐκκλησιῶν αὐτοῦ καὶ ἀκοῦσαι περί τε τῶν λοιπῶν συλλειτουργῶν σου καὶ τῶν συναθλητῶν ἃ εὐχόμεθα, καὶ περὶ σοῦ αὐτοῦ ἃ νυκτὸς καὶ ἡμέρας οἱ ὑπὸ σὲ λαοὶ ζητοῦσι παρὰ τοῦ Κυρίου τῆς δικαιοσύνης. Γίνωσκε δὲ ὅτι πολλάκις μὲν οὐκ ἐπεστείλαμεν οὐδὲ ὁσάκις ὀφειλόμενον ἦν, ἐπεστείλαμεν δὲ ὅμως τῇ θεοσεβείᾳ σου. Καὶ τάχα οὐκ ἠδυνήθησαν διασῶσαι τὰς προσηγορίας ἡμῶν οἱ πιστευθέντες τὴν διακονίαν τῶν γραμμάτων ἀδελφοί. Ἀλλὰ νῦν, ἐπειδὴ ἐπετύχομεν ἡμετέρων τῶν ὁδοιπορούντων πρὸς τὴν σὴν τιμιότητα, καὶ τὰ γράμματα αὐτοῖς ἐνεχειρίσαμεν προθύμως καὶ ἐστείλαμέν τινα ἃ καταξίωσον ὑποδέξασθαι παρὰ τῆς ἡμετέρας ταπεινώσεως ἀνυπερηφάνως καὶ εὐλογῆσαι ἡμᾶς κατὰ μίμησιν τοῦ πατριάρχου Ἰσαάκ. Εἰ δέ τι, καὶ ὡς ἀσχολούμενοι καὶ ὑπὸ πλήθους φροντίδων τὸν νοῦν βεβαπτισμένον ἔχοντες, παρείδομεν τῶν πρεπόντων, μὴ λογίσῃ ἡμῖν μηδὲ λυπηθῇς, ἀλλὰ μίμησαι τὴν σεαυτοῦ ἐν πᾶσι τελειότητα, ἵνα καὶ ἡμεῖς ἀπολαύσωμέν σου τῆς ἀρετῆς ὡς καὶ οἱ λοιποὶ πάντες. Ἐρρωμένος, εὔθυμος ἐν Κυρίῳ, ὑπερευχόμενός μου, χαρισθείης μοι καὶ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ.

---

1. Γέν. 27, 27.

ράς σου τίμιον εἰς ὅλους τοὺς φοβουμένους αὐτὸν ἀνὰ τὴν οἰκουμένην. Ἐπειδὴ ὅμως καὶ βαρεῖα ἀσθένεια τοῦ σώματος μὲ καταπονεῖ καὶ ἄνευ προηγουμένου μέριμνα διὰ τὰς Ἐκκλησίας μὲ πιέζει, ἐπομένως δὲ δὲν εἶμαι κύριος τοῦ ἑαυτοῦ μου, ὥστε νὰ ταξιδεύω ὅπως θέλω καὶ νὰ συναντῶ ὅποιους ἐπιθυμῶ, ἱκανοποιῶ τὸν πόθον ποὺ ἔχω δι' ἀπόλαυσιν τῶν εἰς σὲ καλῶν προσόντων καὶ παρακαλῶ τὴν ἀνυπέρβλητον εὐλάβειάν σου νὰ εὔχεται ὑπὲρ ἐμοῦ καὶ τῆς Ἐκκλησίας, διὰ νὰ μᾶς ἀξιώσῃ ὁ Κύριος νὰ διέλθωμεν ἀπροσκόπτως τὰς ὑπολοίπους ἡμέρας ἢ ὥρας τῆς ἐδῶ προσωρινῆς διαμονῆς μας· νὰ μᾶς ἐπιτρέψῃ δὲ ἐπίσης νὰ ἴδωμεν τὴν εἰρήνην τῶν Ἐκκλησιῶν καὶ νὰ ἀκούσωμεν περὶ τῶν ἄλλων συλλειτουργῶν σου καὶ τῶν συναθλητῶν σου ὅσα προσευχόμεθα, καὶ περὶ σοῦ τοῦ ἰδίου ὅσα ἡμέραν καὶ νύκτα ζητεῖ ὁ ὑπὸ τὴν καθοδήγησίν σου λαὸς ἀπὸ τὸν Κύριον τῆς δικαιοσύνης.

Γνώριζε δὲ ὅτι δὲν σοῦ ἐγράψαμεν πολλὰς φοράς, ἀκόμη καὶ ὁσάκις ὠφείλαμεν νὰ τὸ πράξωμεν, ἀλλὰ πάντως σοῦ ἐγράψαμεν. Πιθανὸν λοιπὸν νὰ μὴ ἠδυνήθησαν νὰ περισώσουν τοὺς χαιρετισμούς μας οἱ ἀδελφοὶ εἰς τοὺς ὁποίους εἴχαμεν ἐμπιστευθῆ τὴν μεταφορὰν τῶν ἐπιστολῶν. Ἀλλὰ τώρα ποὺ ἐπετύχαμεν ἀνθρώπους ἰδικούς μας ὁδοιποροῦντας πρὸς τὴν τιμιότητά σου, καὶ τὰ γράμματα τοὺς ἀνεθέσαμεν μὲ προθυμίαν καὶ ἐστείλαμεν μερικὰ πράγματα, τὰ ὁποῖα καταξίωσε νὰ δεχθῇς χωρὶς ὑπερηφάνειαν ἀπὸ τὴν ταπεινότητά μας καὶ νὰ μᾶς εὐλογήσῃς κατὰ μίμησιν τοῦ πατριάρχου Ἰσαάκ[1]. Ἐὰν δέ, ὡς πολυάσχολοι καὶ μὲ φορτωμένον τὸν νοῦν ἀπὸ πλῆθος φροντίδων, παρείδαμεν κάτι ἀπὸ τὰ πρέποντα, νὰ μὴ μᾶς τὸ καταλογίσῃς καὶ νὰ μὴ λυπηθῇς, ἀλλὰ νὰ μιμηθῇς τὴν εἰς ὅλα τελειότητά σου, οὕτως ὥστε καὶ ἡμεῖς νὰ ἀπολαύσωμεν τῆς ἀρετῆς σου, ὅπως καὶ ὅλοι οἱ ἄλλοι.

Εἴθε νὰ χαρισθῇς εἰς ἐμέ, καὶ τὴν Ἐκκλησίαν τοῦ Θεοῦ ὑγιής, εὔθυμος ἐν Κυρίῳ καὶ εὐχέτης μου.

204

139. ΑΛΕΞΑΝΔΡΕΥΣΙΝ

1. Ἡμᾶς μὲν ἡ ἀκοὴ τῶν γεγενημένων κατὰ τὴν Ἀλεξάνδρειαν καὶ τὴν λοιπὴν Αἴγυπτον διωγμῶν πάλαι κατέλαβε καὶ διέθηκε τὰς ψυχάς, ὡς εἰκὸς ἦν. Ἐλογισάμεθα γὰρ τὸ ἔντεχνον τοῦ διαβολικοῦ πολέμου, πῶς, ἐπειδὴ εἶδεν ἐν τοῖς παρὰ τῶν ἐθνῶν διωγμοῖς πληθυνομένην τὴν Ἐκκλησίαν καὶ μᾶλλον θάλλουσαν, μετέστρεψεν ἑαυτοῦ τὴν βουλὴν καὶ οὐκέτι ἐκ τοῦ προφανοῦς πολεμεῖ, ἀλλὰ κεκρυμμένα ἡμῖν τὰ ἔνεδρα τίθησι καλύπτων αὐτῶν τὴν ἐπιβουλὴν διὰ τοῦ ὀνόματος δ περιφέρουσιν, ἵνα καὶ πάθωμεν τὰ αὐτὰ τοῖς πατράσιν ἡμῶν καὶ μὴ δόξωμεν πάσχειν ὑπὲρ Χριστοῦ, διὰ τὸ Χριστιανῶν ὄνομα ἔχειν καὶ τοὺς διώκοντας. Ταῦτα λογιζόμενοι πολὺν χρόνον ἐκαθέσθημεν ἐπὶ τῇ ἀγγελίᾳ τῶν γενομένων ἐκπεπληγμένοι. Καὶ γὰρ τῷ ὄντι ἤχησαν ἡμῶν ἀμφότερα τὰ ὦτα, μαθόντων τὴν ἀναιδῆ καὶ μισάνθρωπον αἵρεσιν τῶν διωξάντων ὑμᾶς, ὅτι οὐχ ἡλικίαν ᾐδέσθησαν, οὐ τοὺς ἐν τῇ πολιτείᾳ καμάτους, οὐ λαῶν ἀγάπην, ἀλλὰ καὶ ᾐκίσαντο τὰ σώματα καὶ ἠτίμωσαν καὶ ἐξορίαις παρέδωκαν καὶ διήρπαξαν τὰς ὑπάρξεις

Ἐπιστολὴ 139. Ἐγράφη τὸ 373. Μετὰ τὸν θάνατον τοῦ Ἀθανασίου ἐξεδηλώθησαν καὶ εἰς τὴν Αἴγυπτον αἱ κατὰ τῶν Ὀρθοδόξων διαθέσεις τοῦ Οὐάλεντος. Ὁ Βασίλειος ἐνθαρρύνει διὰ τῆς παρούσης ἐπιστολῆς τοὺς Ἀλεξανδρεῖς.

204

ΕΠΙΣΤΟΛΗ 139
ΠΡΟΣ ΤΟΥΣ ΑΛΕΞΑΝΔΡΕΙΣ

1. Ἀπὸ πολὺν καιρὸν ἔφθασεν εἰς ἡμᾶς ἡ εἴδησις περὶ διωγμῶν εἰς τὴν Ἀλεξάνδρειαν καὶ τὴν λοιπὴν Αἴγυπτον καὶ μᾶς ἐκίνησεν εἰς συμπάθειαν, ὅπως ἦτο εὔλογον. Ἐσκέφθημεν δὲ τὴν τέχνην τοῦ διαβολικοῦ πολέμου, πῶς δηλαδή, ἐπειδὴ ὁ διάβολος εἶδεν ὅτι μὲ τοὺς διωγμοὺς ἐκ μέρους τῶν ἐθνικῶν ἡ Ἐκκλησία πληθύνεται καὶ ἀκμάζει περισσότερον, μετέστρεψε τὴν βουλήν του καὶ δὲν πολεμεῖ πλέον φανερά, ἀλλὰ μᾶς τοποθετεῖ κρυφὰς ἐνέδρας, καλύπτων τὰς κακὰς προθέσεις των διὰ τοῦ ὀνόματος τὸ ὁποῖον περιφέρουν [1], οὕτως ὥστε καὶ τὰ ἴδια μὲ τοὺς πατέρας μας νὰ πάθωμεν καὶ νὰ μὴ φανῶμεν ὅτι πάσχομεν ὑπὲρ Χριστοῦ, ἐφ' ὅσον καὶ οἱ διῶκται ἔχουν τὸ ὄνομα τῶν Χριστιανῶν.

Ἐκαθίσαμεν πολὺν χρόνον σκεπτόμενοι αὐτά, ἔκπληκτοι ἀπὸ τὴν ἀναγγελίαν τῶν συμβάντων. Διότι πράγματι ἤχησαν καὶ τὰ δύο αὐτιά μας, ὅταν ἐμάθαμεν τὴν τακτικὴν τῆς ἀναιδοῦς καὶ μισανθρώπου αἱρέσεως τῶν διωκτῶν σας, ὅτι δηλαδὴ οὔτε ἡλικίαν ἐσεβάσθησαν, οὔτε τοὺς κόπους διὰ τὴν πολιτείαν, οὔτε τὴν ἀγάπην τοῦ λαοῦ, ἀλλὰ ἐβασάνισαν τὰ σώματα καὶ τοὺς ἠτίμασαν καὶ τοὺς παρέδωσαν εἰς ἐξορίας καὶ ἥρπασαν τὴν περιουσίαν αὐτῶν ποὺ ἠδυνήθησαν νὰ τὴν εὕρουν, χωρὶς

1. Τοῦ ὀνόματος Χριστιανοὶ ποὺ ἔχουν καὶ οἱ Ἀρειανοί.

ὧν εὑρεῖν ἠδυνήθησαν, οὐδὲ τὴν παρὰ ἀνθρώπων κατάγνωσιν ἐντρεπόμενοι οὐδὲ τὴν φοβερὰν τοῦ δικαίου κριτοῦ ἀνταπόδοσιν προορώμενοι. Ταῦτα ἡμᾶς ἐξέπληξε καὶ μικροῦ ἔξω ἐποίησε τῶν λογισμῶν. Συνεισῆλθε δὲ τούτοις τοῖς διαλογισμοῖς κἀκείνη ἡ ἔννοια· ἆρα μὴ ἐγκατέλειπεν ἑαυτοῦ τὰς Ἐκκλησίας παντελῶς ὁ Κύριος; Ἆρα μὴ ἐσχάτη ὥρα ἐστὶ καὶ ἡ ἀποστασία διὰ τούτων λαμβάνει τὴν εἴσοδον, ἵνα λοιπὸν ἀποκαλυφθῇ ὁ ἄνομος, ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον θεὸν ἢ σέβασμα;

2. Πλήν, εἴτε πρόσκαιρός ἐστιν ὁ πειρασμός, βαστάσατε αὐτὸν οἱ καλοὶ τοῦ Χριστοῦ ἀγωνισταί· εἴτε καὶ τῇ παντελεῖ φθορᾷ τὰ πράγματα παραδίδοται, μὴ ἀκηδιάσωμεν πρὸς τὰ παρόντα, ἀλλ' ἀναμείνωμεν τὴν ἐξ οὐρανῶν ἀποκάλυψιν καὶ ἐπιφάνειαν τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἰ γὰρ πᾶσα ἡ κτίσις λυθήσεται καὶ μεταποιηθήσεται τὸ σχῆμα τοῦ κόσμου τούτου, τί θαυμαστὸν καὶ ἡμᾶς, μέρος ὄντας τῆς κτίσεως, παθεῖν τὰ κοινὰ πάθη καὶ παραδοθῆναι θλίψεσιν ἃς κατὰ τὸ μέτρον τῆς δυνάμεως ἡμῶν ἐπάγει ἡμῖν ὁ δίκαιος κριτὴς οὐκ ἐῶν ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἀλλὰ διδοὺς σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δυνηθῆναι ὑπενεγκεῖν; Ἀναμένουσιν ὑμᾶς, ἀδελφοί, οἱ τῶν μαρτύρων στέφανοι· ἕτοιμοί εἰσιν οἱ χοροὶ τῶν ὁμολογητῶν προτεῖναι ὑμῖν τὰς χεῖρας καὶ ὑποδέξασθαι ὑμᾶς εἰς τὸν ἴδιον ἀριθμόν. Μνήσθητε τῶν πάλαι ἁγίων, ὅτι οὐδεὶς τρυφῶν οὐδὲ κολακευόμενος τῶν στεφάνων τῆς ὑπομονῆς ἠξιώθη, ἀλλὰ πάντες διὰ μεγάλων θλίψεων πυρωθέντες τὸ δοκίμιον ἐπεδείξαντο. Οἱ μὲν γὰρ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἄλλοι δὲ

---

2. Β' Θεσσ. 2,3 ἑ.

νὰ ἐντρέπωνται τὴν κατάκρισιν ἐκ μέρους τῶν ἀνθρώπων οὔτε τὴν φοβερὰν ἀνταπόδοσιν ἐκ μέρους τοῦ δικαίου Κριτοῦ.

Αὐτὰ μᾶς ἐξέπληξαν καὶ σχεδὸν μᾶς διεσάλευσαν τὰ λογικά. Μαζὶ δὲ μὲ ἐκείνους τοὺς λογισμοὺς εἰσῆλθεν εἰς τὸν νοῦν μας καὶ ἐκείνη ἡ σκέψις· μήπως ἄραγε ἐγκατέλειψε τελείως ὁ Κύριος τὴν Ἐκκλησίαν του; Μήπως ἄραγε εἶναι ἡ ἐσχάτη ὥρα καὶ δι' αὐτῶν ἀρχίζει τὴν εἴσοδόν της ἡ ἀποστασία, διὰ νὰ φανερωθῇ ὁ ἄνομος, ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἀντικείμενος καὶ ὑπερυψούμενος ἐπάνω ἀπὸ κάθε λεγόμενον θεὸν ἢ σέβασμα[2];

2. Ἀλλὰ πάντως, εἴτε πρόσκαιρος εἶναι ὁ πειρασμός, βαστάσατέ τον, οἱ καλοὶ ἀγωνισταὶ τοῦ Χριστοῦ· εἴτε εἰς τὴν πλήρη φθορὰν ἔχουν παραδοθῇ τὰ πράγματα, νὰ μὴ ἀποθαρρυνθῶμεν ἐμπρὸς εἰς τὰ παρόντα, ἀλλὰ ἂς ἀναμείνωμεν τὴν ἐξ οὐρανῶν ἀποκάλυψιν καὶ ἐπιφάνειαν τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ[3]. Ἐὰν πράγματι ὅλη ἡ κτίσις λυθῇ[4] καὶ τὸ σχῆμα τοῦ κόσμου τούτου μεταποιηθῇ, τί θαυμαστὸν εἶναι καὶ ἡμεῖς, ποὺ εἴμεθα μέρη τῆς κτίσεως, νὰ πάθωμεν τὰ κοινὰ πάθη καὶ νὰ παραδοθῶμεν εἰς θλίψεις, ποὺ ἐπιφέρει ὁ δίκαιος Κριτὴς εἰς ἡμᾶς κατὰ τὸ μέτρον τῆς δυνάμεώς μας, μὴ ἐπιτρέπων νὰ πειρασθῶμεν περισσότερον ἀπὸ ὅσον δυνάμεθα, ἀλλὰ δίδων μαζὶ μὲ τὸν πειρασμὸν καὶ τὸ μέσον ἐξόδου ἀπὸ αὐτόν, διὰ νὰ δυνηθῶμεν νὰ τὸν βαστάσωμεν;

Σᾶς ἀναμένουν οἱ στέφανοι τῶν μαρτύρων, ἀδελφοί· ἕτοιμοι εἶναι οἱ χοροὶ τῶν ὁμολογητῶν νὰ σᾶς ἁπλώσουν τὰς χεῖρας καὶ νὰ σᾶς ὑποδεχθοῦν εἰς τὰς τάξεις των. Ἐνθυμηθῆτε τοὺς παλαιοὺς ἁγίους, ὅτι κανεὶς ἀπὸ τοὺς τρυφηλοὺς καὶ τοὺς κόλακας δὲν ἠξιώθη τῶν στεφάνων τῆς ὑπομονῆς, ἀλλὰ ὅλοι ἐπέδειξαν τὴν ἀξίαν των πυρωθέντες διὰ μεγάλων θλίψεων. Ἄλλοι μὲν ἐδοκίμασαν ἐμπαιγμοὺς καὶ μάστιγας, ἄλλοι δὲ

---

3. Τίτ. 2,13
4. Β' Πέτρ. 3,11.

ἐπρίσθησαν, οἱ δὲ ἐν φόνῳ μαχαίρας ἀπέθανον. Ταῦτά ἐστι τὰ σεμνολογήματα τῶν ἁγίων. Μακάριος ὁ καταξιωθεὶς τῶν ὑπὲρ Χριστοῦ παθημάτων, μακαριώτερος δὲ ὁ πλεονάσας ἐν τοῖς παθήμασι, διότι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς.

3. Εἰ μὲν οὖν ἦν δυνατὸν αὐτῷ μοι παραγενέσθαι, οὐδὲν ἂν προετίμησα τῆς συντυχίας ὑμῶν, ὥστε καὶ ἰδεῖν τοὺς ἀθλητὰς τοῦ Χριστοῦ καὶ περιπτύξασθαι καὶ κοινωνῆσαι τῶν προσευχῶν καὶ τῶν πνευματικῶν ἐν ὑμῖν χαρισμάτων. Ἐπειδὴ δὲ τὸ σῶμά μοι λοιπὸν ὑπὸ χρονίας νόσου κατανάλωται, ὡς μηδὲ ἀπὸ τῆς κλίνης δύνασθαι μεταβαίνειν, καὶ οἱ ἐφεδρεύοντες ἡμῖν πολλοί, ὡς λύκοι ἅρπαγες, ἐπιτηροῦντες καιρὸν πότε δυνηθῶσι διαρπάσαι τὰ πρόβατα τοῦ Χριστοῦ, ἀναγκαίως ἐπὶ τὴν διὰ τοῦ γράμματος ἐπίσκεψιν ἦλθον παρακαλῶν προηγουμένως μὲν ἐκτενεῖς τὰς ὑπὲρ ἐμοῦ ποιεῖσθαι ὑμᾶς δεήσεις, ἵνα καταξιωθῶ τὰς γοῦν λειπομένας ἡμέρας ἢ ὥρας δουλεῦσαι τῷ Κυρίῳ κατὰ τὸ Εὐαγγέλιον τῆς βασιλείας, ἔπειτα καὶ συγγνώμην ἔχειν μου τῇ ἀπολείψει καὶ τῇ βραδυτῆτι ταύτῃ τῶν γραμμάτων. Μόλις γὰρ ηὐπορήσαμεν ἀνθρώπου τοῦ δυναμένου ἐξυπηρετήσασθαι ἡμῶν τῇ ἐπιθυμίᾳ. Λέγομεν δὲ τὸν υἱὸν ἡμῶν Εὐγένιον τὸν μονάζοντα, δι' οὗ παρακαλῶ εὔξασθαι ὑπὲρ ἡμῶν καὶ τῆς Ἐκκλησίας πάσης καὶ ἀντιγράψαι ἡμῖν τὰ περὶ ὑμῶν, ἵνα γνόντες εὐθυμότεροι διατεθῶμεν.

---

5. Ἑβρ. 11,36 ἑ.

ἐπριονίσθησαν καὶ ἄλλοι ἀπέθαναν θάνατον μὲ τὴν μάχαιραν [5]. Αὐτὰ εἶναι τὰ σεμνολογήματα τῶν μαρτύρων. Μακάριος εἶναι ὅποιος ἠξιώθη τῶν παθημάτων ὑπὲρ τοῦ Χριστοῦ, μακαριώτερος δὲ ὁ ὑποστὰς τὰ πικρότερα παθήματα, «διότι τὰ παθήματα τοῦ παρόντος χρόνου δὲν εἶναι ἄξια νὰ παραβληθοῦν μὲ τὴν δόξαν ποὺ πρόκειται ν' ἀποκαλυφθῇ εἰς ἡμᾶς» [6].

3. Λοιπόν, ἐὰν μοῦ ἦτο δυνατὸν νὰ ἔλθω ἐγὼ ὁ ἴδιος, δὲν θὰ ἐπροτιμοῦσα τίποτε ἄλλο ἀπὸ τὴν συνάντησιν μαζί σας, ὥστε νὰ εὕρω τὴν εὐκαιρίαν καὶ νὰ ἴδω τοὺς ἀθλητὰς τοῦ Χριστοῦ, νὰ τοὺς ἐναγκαλισθῶ καὶ νὰ μετάσχω τῶν προσευχῶν καὶ τῶν πνευματικῶν χαρισμάτων ποὺ κατέχετε. Ἐπειδὴ ὅμως τὸ σῶμά μου ἔχει καταφαγωθῇ ἀπὸ χρονίαν νόσον, μέχρι σημείου ὥστε νὰ μὴ ἠμπορῶ νὰ σηκωθῶ ἀπὸ τὴν κλίνην, καὶ πολλοὶ εἶναι ἐκεῖνοι ποὺ μᾶς στήνουν ἐνέδρας ὡς ἁρπακτικοὶ λύκοι, καιροφυλακτοῦντες νὰ διαρπάσουν τὰ πρόβατα τοῦ Χριστοῦ, ἀναγκαστικὰ κατέληξα εἰς τὴν διὰ τοῦ γράμματος ἐπίσκεψιν, παρακαλῶν κατὰ πρῶτον μὲν νὰ ἀπευθύνετε ἐκτενεῖς ὑπὲρ ἐμοῦ δεήσεις, διὰ νὰ καταξιωθῶ κατὰ τὰς ὑπολοίπους ἡμέρας τῆς ζωῆς μου νὰ δουλεύσω εἰς τὸν Κύριον κατὰ τὸ Εὐαγγέλιον τῆς βασιλείας, ἔπειτα δὲ νὰ μὲ συγχωρήσετε διὰ τὴν ἀπουσίαν μου καὶ τὴν καθυστέρησιν ἀποστολῆς αὐτοῦ τοῦ γράμματός μου. Ἄλλωστε μετὰ δυσκολίας ηὕραμεν ἄνθρωπον δυνάμενον νὰ ἐξυπηρετήσῃ τὴν ἐπιθυμίαν μας. Ἐννοοῦμεν τὸν υἱόν μας Εὐγένιον, τὸν μοναχόν, διὰ τοῦ ὁποίου σᾶς παρακαλῶ νὰ εὐχηθῆτε ὑπὲρ ἡμῶν καὶ ὅλης τῆς Ἐκκλησίας καὶ εἰς ἀπάντησιν νὰ μᾶς γράψετε τὰ ἰδικά σας, διὰ νὰ γίνωμεν περισσότερον χαρούμενοι μανθάνοντές τα.

6. Ρωμ. 8,18.

205

265. ΕΥΛΟΓΙΩ ΑΛΕΞΑΝΔΡΩ ΑΔΕΛΦΟΚΡΑΤΙΩΝΙ ΕΠΙΣΚΟΠΟΙΣ ΑΙΓΥΠΤΙΟΙΣ ΕΞΟΡΙΣΘΕΙΣΙ

1. Μεγάλην ἐν πᾶσιν εὑρίσκομεν τοῦ ἀγαθοῦ Θεοῦ τὴν περὶ τὰς Ἐκκλησίας αὐτοῦ οἰκονομίαν, ὥστε καὶ τὰ δοκοῦντα εἶναι σκυθρωπὰ καὶ μὴ πάντη κατὰ βούλησιν ἀπαντῶντα καὶ ταῦτα ἐπ' ὠφελείᾳ τῶν πολλῶν οἰκονομεῖσθαι ἐν τῇ δυσθεωρήτῳ τοῦ Θεοῦ σοφίᾳ καὶ τοῖς ἀνεξιχνιάστοις αὐτοῦ κρίμασι τῆς δικαιοσύνης. Ἰδοὺ γὰρ καὶ τὴν ὑμετέραν ἀγάπην ἐκ τῶν κατ' Αἴγυπτον τόπων ἀναστήσας ὁ Κύριος εἰς μέσην ἀγαγὼν τὴν Παλαιστίνην ἱδρύσατο, κατὰ μίμησιν τοῦ πάλαι Ἰσραὴλ δν διὰ τῆς αἰχμαλωσίας ἀγαγὼν εἰς τὴν Ἀσσυρίων γῆν ἔσβεσε τὴν ἐκεῖ εἰδωλολατρίαν διὰ τῆς τῶν ἁγίων ἐπιδημίας. Καὶ νῦν τοίνυν οὕτως εὑρίσκομεν λογιζόμενοι ὅτι τὸν ὑπὲρ τῆς εὐσεβείας ἆθλον ὑμῖν προβαλλόμενος ὁ Κύριος ὑμῖν μὲν διὰ τῆς ἐξορίας στάδιον ἤνοιξε τῶν μακαρίων ἀγωνισμάτων, τοῖς δὲ περιτυγχάνουσιν ὑμῶν τῇ ἀγαθῇ προαιρέσει ἐναργῆ τὰ πρὸς σωτηρίαν ὑποδείγματα ἐχαρίσατο. Ἐπεὶ οὖν τῇ τοῦ Θεοῦ χάριτι ἐμάθομεν ὑμῶν τὴν ὀρθότητα τῆς πίστεως, ἐμάθομεν τὸ περὶ τὴν ἀδελφότητα ἐπιμελὲς καὶ ὅτι οὐ παρέργως οὐδὲ ἠμελημένως παρέρχεσθε τὰ κοινωφελῆ καὶ ἀναγκαῖα πρὸς σωτηρίαν, ἀλλ' εἴ τι πρὸς οἰκοδομὴν τῶν Ἐκκλησιῶν ἐνεργεῖν προαιρεῖσθε, δίκαιον ἐνομίσαμεν κοινωνοὶ γενέσθαι τῆς ἀγαθῆς μερίδος ὑμῶν καὶ συνάψαι ἑαυτοὺς διὰ τοῦ γράμματος τῇ ὑμετέρᾳ εὐλαβείᾳ. Οὗπερ ἕνεκα ἀπεστείλαμεν καὶ τὸν ποθεινότατον υἱὸν

Ἐπιστολὴ 265. Ἐγράφη τὸ 377. Οἱ τρεῖς αὐτοὶ ἐπίσκοποι μαζὶ μὲ ἄλλους ἦσαν ἐξόριστοι λόγῳ τῶν ὀρθοδόξων φρονημάτων των. Ἐπειδὴ εἶχαν κοινωνίαν, ὡς Ἀλεξανδρινοί, μὲ τὸν Παυλῖνον Ἀντιοχείας, ὁ Βασίλειος δὲν εἶχεν ἐπαφὴν μαζί των. Ἀργότερα ὅμως οἱ ἐπίσκοποι αὐτοὶ ἀφ' ἑνὸς

205

ΕΠΙΣΤΟΛΗ 265
ΠΡΟΣ ΕΥΛΟΓΙΟΝ ΑΛΕΞΑΝΔΡΟΝ ΑΔΕΛΦΟΚΡΑΤΙΩΝΑ ΕΞΟΡΙΣΤΟΥΣ ΑΙΓΥΠΤΙΟΥΣ ΕΠΙΣΚΟΠΟΥΣ

1. Μεγάλην εἰς ὅλα εὑρίσκομεν τὴν οἰκονομίαν τοῦ ἀγαθοῦ Θεοῦ ὡς πρὸς τὰς Ἐκκλησίας του, ὥστε καὶ ἐκεῖνα ποὺ φαίνονται ὅτι εἶναι λυπηρὰ καὶ δὲν ἀνταποκρίνονται ἐντελῶς εἰς τὰς ἐπιθυμίας μας, καὶ αὐτὰ νὰ οἰκονομῶνται ἐπ' ὠφελείᾳ τῶν πολλῶν κατὰ τὴν δυσθεώρητον σοφίαν τοῦ Θεοῦ καὶ τὰ ἀνεξιχνίαστα κρίματα τῆς δικαιοσύνης αὐτοῦ. Ἰδοὺ λοιπόν· ἀφοῦ ὁ Κύριος ἐσήκωσε τὴν ἀγάπην σας ἀπὸ τοὺς τόπους τῆς Αἰγύπτου σᾶς ὡδήγησε καὶ ἐγκατέστησεν εἰς τὸ μέσον τῆς Παλαιστίνης, κατὰ μίμησιν τοῦ παλαιοῦ Ἰσραήλ, τὸν ὁποῖον ἀφοῦ ὡδήγησε διὰ τῆς αἰχμαλωσίας εἰς τὴν γῆν τῶν Ἀσσυρίων ἔσβησε τὴν ἐκεῖ εἰδωλολατρίαν διὰ τῆς ἀφίξεως τῶν ἁγίων.

Καὶ τώρα λοιπὸν εὑρίσκομεν τὴν ἰδίαν περίπτωσιν, σκεπτόμενοι ὅτι ὁ Κύριος μὲ τὸ νὰ σᾶς προτείνῃ τὸν ἆθλον ὑπὲρ τῆς εὐσεβείας εἰς σᾶς μὲν ἤνοιξε διὰ τῆς ἐξορίας στάδιον τῶν μακαρίων ἀγωνισμάτων, εἰς τοὺς συναντῶντας δὲ τὴν ἀγαθὴν προαίρεσίν σας ἐχάρισε ζωντανὰ παραδείγματα πρὸς σωτηρίαν. Ἀφοῦ λοιπὸν μὲ τὴν χάριν τοῦ Θεοῦ ἐμάθαμεν τὴν ὀρθότητα τῆς πίστεως σας, ὅπως ἐπίσης ἐμάθαμεν καὶ τὴν φροντίδα σας διὰ τοὺς ἀδελφούς, καὶ ὅτι δὲν παραμερίζετε παρέργως καὶ ἀδιαφόρως τὰ κοινωφελῆ καὶ ἀναγκαῖα πρὸς σωτηρίαν, ἀλλ' εἴσθε πρόθυμοι νὰ ἐνεργῆτε κάθε τι πρὸς οἰκοδομὴν τῶν Ἐκκλησιῶν, ἐνομίσαμεν δίκαιον νὰ γίνωμεν κοινωνοὶ τῆς ἀγαθῆς σας μερίδος καὶ νὰ συνδεθῶμεν διὰ τοῦ γράμματος μὲ τὴν εὐλάβειάν σας. Διὰ τὸν λόγον τοῦτον ἀπεστείλαμεν καὶ τὸν ἀγα-

---

μὲν ἐδείχθησαν καχύποπτοι ἔναντι τοῦ Παυλίνου, ἀφ' ἑτέρου δὲ κατέκριναν τὸν Ἀπολινάριον. Τότε ὁ Βασίλειος ἐθεώρησεν εὔκαιρον νὰ προτείνῃ εἰς αὐτοὺς κοινωνίαν. Βλ. καὶ ἐπιστολὴν 266 Α΄τ.

ἡμῶν Ἐλπίδιον τὸν συνδιάκονον ὁμοῦ μὲν τὴν ἐπιστολὴν διακομίζοντα, ὁμοῦ δὲ καὶ παρ' ἑαυτοῦ δυνάμενον ἀναγγεῖλαι ὑμῖν ὅσα τὴν ἐκ τοῦ γράμματος διαπέφευγε διδασκαλίαν.

2. Μάλιστα δὲ ἡμᾶς ἐπέρρωσε πρὸς τὴν ἐπιθυμίαν τῆς συναφείας ὑμῶν ἡ ἀκοὴ τοῦ περὶ τὴν ὀρθότητα ζήλου τῆς εὐσεβείας ὑμῶν, ὅτι οὔτε πλήθει συνταγμάτων οὔτε ποικιλίᾳ σοφισμάτων παρηνέχθη ὑμῶν τὸ στερρὸν τῆς καρδίας, ἀλλ' ἐπέγνωτε μὲν τοὺς κατὰ τῶν ἀποστολικῶν δογμάτων καινοτομοῦντας, σιωπῇ δὲ κατασχεῖν τὴν ἐνεργουμένην παρ' αὐτῶν βλάβην οὐ κατεδέξασθε. Καὶ γὰρ τῷ ὄντι πολλὴν εὕρομεν λύπην παρὰ πᾶσι τοῖς ἀντεχομένοις τῆς τοῦ Κυρίου εἰρήνης ἐπὶ ταῖς νεωτεροποιίαις ταῖς παντοδαπαῖς Ἀπολιναρίου τοῦ Λαοδικέως, ὃς τοσούτῳ πλέον ἐλύπησεν ἡμᾶς ὅσῳ ἔδοξεν εἶναι ἐξ ἡμῶν τὸ ἐξ ἀρχῆς. Τὸ μὲν γὰρ παρὰ φανεροῦ πολεμίου παθεῖν τι, κἂν ὑπερβάλλῃ τῷ ἀλγεινῷ, φορητὸν πώς ἐστι τῷ καταπονουμένῳ, καθὼς γέγραπται· «Ὅτι εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν». Τὸ δὲ παρ' ὁμοψύχου καὶ οἰκείου βλάβης τινὸς πειραθῆναι, τοῦτο δύσφορον παντελῶς καὶ οὐδεμίαν ἔχον παραμυθίαν. Ὃν γὰρ προσεδοκήσαμεν συνασπιστὴν ἕξειν τῆς ἀληθείας, τοῦτον εὕρομεν νῦν ἐν πολλοῖς ἐμποδίζοντα τοῖς σωζομένοις ἐκ τοῦ περιέλκειν αὐτῶν τὸν νοῦν καὶ ἀποσπᾶν τῆς εὐθύτητος τῶν δογμάτων. Τί γὰρ ἐν ἔργοις παρ' αὐτοῦ θερμὸν καὶ τολμηρὸν οὐκ ἐπράχθη; Τί δὲ ἐν λόγοις οὐ παρεπενοήθη νεώτερον καὶ ἐπικεκινδυνευμένον; Οὐ πᾶσα μὲν Ἐκκλησία ἐφ' ἑαυτὴν ἐμερίσθη, μάλιστα δὲ ταῖς παρὰ τῶν ὀρθοδόξων κυβερνωμέναις ἐπιπεμφθέντων παρ' αὐτοῦ πρὸς τὸ σχίσαι καὶ ἰδίαν παρασυναγωγὴν ἐκδικῆσαι; Οὐχὶ γελᾶται τὸ μέγα τῆς εὐσεβείας μυστήριον

---

1. Ὁ Ἀπολινάριος εἶχεν, ἐκτὸς τῆς ἰδικῆς του Ἐκκλησίας εἰς τὴν Λαο-

πητότατον υἱόν μας Ἐλπίδιον, τὸν συνδιάκονον, ἀφ' ἑνὸς μὲν μεταφέροντα τὴν ἐπιστολήν, ἀφ' ἑτέρου δὲ δυνάμενον νὰ σᾶς ἀναγγείλῃ καὶ προφορικῶς ὅσα ἔχουν διαφύγει τὴν ἔκθεσιν τῆς ἐπιστολῆς.

2. Τὸ ἄκουσμα περὶ τῆς ὀρθότητος τοῦ ζήλου τῆς εὐσεβείας σας πάρα πολὺ μᾶς ἐνεθάρρυνεν εἰς τὴν ἐπιθυμίαν τῆς συναντήσεώς σας· διότι ἡ σταθερότης τῆς καρδίας σας δὲν ἀνετράπη οὔτε ἀπὸ τὸ πλῆθος τῶν συγγραμμάτων οὔτε ἀπὸ τὴν ποικιλίαν τῶν σοφισμάτων, ἀλλὰ ἐγνωρίσατε τοὺς καινοτομοῦντας ἐναντίον τῶν ἀποστολικῶν δογμάτων, δὲν κατεδέχθητε δὲ νὰ ὑπομείνετε μὲ σιωπὴν τὴν ἐπιφερομένην ἀπὸ αὐτοὺς βλάβην. Διότι πράγματι ηὔραμεν πολλὴν λύπην εἰς ὅλους ὅσοι εἶναι προσηλωμένοι εἰς τὴν εἰρήνην τοῦ Κυρίου διὰ τοὺς παντοδαποὺς νεωτερισμοὺς τοῦ Ἀπολιναρίου τοῦ Λαοδικείας, ὁ ὁποῖος μᾶς ἐλύπησε πολὺ περισσότερον καθ' ὅσον εἰς τὴν ἀρχὴν ἐφαίνετο νὰ ἀνήκῃ εἰς τὴν μερίδα μας. Τὸ νὰ πάθῃ κανεὶς κάτι ἀπὸ φανερὸν ἐχθρόν, καὶ ἂν εἶναι ὑπερβολικὰ ἀλγεινόν, εἶναι κάπως ὑποφερτὸν εἰς τὸν πάσχοντα καθὼς ἔχει γραφῆ· «ἐὰν μὲ ὠνείδισεν ὁ ἐχθρός, θὰ τὸ ὑπέφερα». Τὸ νὰ ὑποστῇ ὅμως κάποιαν βλάβην ἀπὸ ὁμόψυχον καὶ οἰκεῖον, αὐτὸ εἶναι ἐντελῶς ἀνυπόφορον καὶ δὲν εὑρίσκει καμμίαν παρηγορίαν. Τώρα τὸν ἄνθρωπον ποὺ ἀνεμέναμεν νὰ ἔχωμεν ὡς συνυπερασπιστὴν τῆς ἀληθείας, αὐτὸν ηὔραμεν εἰς πολλὰ σημεῖα νὰ ἐμποδίζῃ τοὺς σωζομένους μὲ τὸ νὰ περισπᾷ τὸν νοῦν των καὶ νὰ τὸν ἀποσπᾷ ἀπὸ τὴν εὐθύτητα τῶν δογμάτων.

Πράγματι τί θερμὸν καὶ τολμηρὸν μεταξὺ τῶν ἔργων δὲν διεπράχθη ὑπ' αὐτοῦ; Τί δὲ νεώτερον καὶ ἐπικίνδυνον μεταξὺ τῶν λόγων δὲν ἐπενοήθη; Κάθε Ἐκκλησία δὲν διεσπάσθη, μάλιστα δὲ διὰ τῆς ἀποστολῆς ἀνθρώπων του εἰς τὰς ὑπὸ τῶν Ὀρθοδόξων κυβερνωμένας, διὰ νὰ τὰς σχίσουν καὶ νὰ ὀργανώσουν ἰδιαιτέραν παρασυναγωγήν[1]; Δὲν περιγελᾶται τὸ

δίκειαν, μίαν παροικίαν εἰς τὴν Ἀντιόχειαν ὑπὸ τὸν Βιτάλιον, μίαν ἄλλην εἰς τὴν Βηρυττὸν καὶ ἐνδεχομένως ἄλλην μίαν ἢ δύο.

ὡς ἄνευ λαοῦ καὶ κλήρου ἐπισκόπων περιερχομένων, ὄνομα ψιλὸν περιφερόντων, οὐδὲν δὲ κατορθούντων εἰς προκοπὴν τοῦ Εὐαγγελίου τῆς σωτηρίας; Οὐχὶ οἱ περὶ Θεοῦ λόγοι παρ' αὐτῷ πλήρεις εἰσὶν ἀσεβῶν δογμάτων, τῆς παλαιᾶς ἀσεβείας τοῦ ματαιόφρονος Σαβελλίου δι' αὐτοῦ νῦν ἀνανεωθείσης τοῖς συντάγμασιν; Εἰ γὰρ ἃ περιφέρουσιν οἱ Σεβαστηνοὶ μὴ συμπέπλασται παρ' ἐχθρῶν, ἀλλὰ κατ' ἀλήθειαν αὐτοῦ εἰσι συγγραφαί, οὐδεμίαν εἰς ἀσέβειαν ὑπερβολὴν καταλέλοιπε τὸν αὐτὸν Πατέρα λέγων καὶ Υἱὸν καὶ πάλιν Υἱὸν καὶ Πατέρα καὶ ἄλλα σκοτεινὰ ἀσεβῆ ῥήματα, ἃ ἡμεῖς οὐδὲ ταῖς ἀκοαῖς ἡμῶν κατεδεξάμεθα παραδέξασθαι εὐχόμενοι μηδεμίαν ἔχειν μερίδα πρὸς τοὺς ἐκεῖνα τὰ ῥήματα φθεγξαμένους. Οὐχὶ συγκέχυται παρ' αὐτῷ ὁ τῆς ἐνανθρωπήσεως λόγος; Οὐκ ἀμφίβολος γέγονε τοῖς πολλοῖς ἡ σωτήριος τοῦ Κυρίου ἡμῶν οἰκονομία ἐκ τῶν θολερῶν αὐτοῦ καὶ σκοτεινῶν περὶ σαρκώσεως ζητημάτων; Ἃ πάντα συναγαγεῖν καὶ εἰς ἔλεγχον καταστῆσαι μακροῦ καὶ χρόνου καὶ λόγου δεῖται. Τὸν δὲ τῶν ἐπαγγελιῶν τόπον τίς οὕτως ἠμαύρωσε καὶ ἠφάνισεν ὡς ἡ τούτου μυθολογία; Ὅς γε τὴν μακαρίαν ἐλπίδα τὴν ἀποκειμένην τοῖς πολιτευσαμένοις κατὰ τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ οὕτω ταπεινῶς καὶ ἐρριμένως ἐτόλμησεν ἐξηγήσασθαι ὥστε εἰς γραώδεις λόγους καὶ ἰουδαϊκοὺς μύθους ἐκτραπῆναι. Ἄνωθεν ἐπαγγέλλεται τοῦ ναοῦ τὴν ἀνανέωσιν καὶ τῆς νομικῆς λατρείας τὴν παρατήρησιν καὶ πάλιν ἀρχιερέα τυπικὸν μετὰ τὸν ἀληθινὸν ἀρχιερέα καὶ θυσίαν ὑπὲρ ἁμαρτιῶν μετὰ τὸν ἀμνὸν τοῦ Θεοῦ τὸν ἄραντα τὴν ἁμαρτίαν τοῦ κόσμου καὶ βαπτίσματα μερικὰ μετὰ τὸ ἓν βάπτισμα καὶ σποδὸν δαμάλεως

---

2. Ἡ διδασκαλία περὶ ταυτότητος Υἱοῦ καὶ Πατρός, δηλαδὴ περὶ μοναρχίας τοῦ Θεοῦ.

3. Οἱ ἀνήκοντες εἰς τὴν μερίδα τοῦ Εὐσταθίου Σεβαστείας.

μέγα μυστήριον τῆς εὐσεβείας, ἀφοῦ συμβαίνει νὰ περιέρχωνται ἐπίσκοποι χωρὶς λαὸν καὶ κλῆρον, περιφέροντες ἁπλοῦν ὄνομα καὶ μὴ κατορθώνοντες τίποτε διὰ τὴν προκοπὴν τοῦ Εὐαγγελίου τῆς σωτηρίας; Δὲν εἶναι πλήρεις ἀσεβῶν δογμάτων οἱ περὶ Θεοῦ λόγοι του καὶ μὲ τὰ συγγράμματά του δὲν ἀνανεώνεται ἡ παλαιὰ ἀσέβεια τοῦ ματαιόφρονος Σαβελλίου[2];

Διότι, ἂν αὐτὰ ποὺ περιφέρουν οἱ Σεβαστηνοὶ [3] δὲν ἔχουν πλασθῆ ἀπὸ ἐχθρούς, ἀλλ' εἶναι πραγματικαὶ συγγραφαὶ αὐτοῦ, αὐτὸς δὲν ἔχει ἀφήσει καμμίαν ὑπερβολὴν ἀσεβείας, ἀφοῦ λέγει τὸ ἴδιον πρόσωπον Πατέρα καὶ Υἱὸν καὶ πάλιν Υἱὸν καὶ Πατέρα, καὶ ἄλλα σκοτεινὰ λόγια, τὰ ὁποῖα ἡμεῖς δὲν κατεδέχθημεν νὰ δεχθῶμεν οὔτε εἰς τὰ αὐτιά μας, εὐχόμενοι νὰ μὴ ἔχωμεν συντροφιὰν μὲ τοὺς εἰπόντας ἐκεῖνα τὰ λόγια. Δὲν εἶναι εἰς αὐτὸν συγκεχυμένος ὁ λόγος τῆς ἐνανθρωπήσεως; Δὲν ἔγινεν ἀμφίβολος εἰς τοὺς πολλοὺς ἡ σωτήριος τοῦ Κυρίου ἡμῶν οἰκονομία ἀπὸ τὰ θολερὰ καὶ σκοτεινὰ ζητήματα ποὺ ἐγείρει περὶ τῆς σαρκώσεως; Τὸ νὰ τὰ συλλέξῃ κανεὶς καὶ νὰ τὰ ὑποβάλῃ εἰς ἔλεγχον ἀπαιτεῖ μακρὸν χρόνον καὶ λόγον.

Τὸ δὲ θέμα τῶν ἐπαγγελιῶν ποῖος ἠμαύρωσε καὶ ἠφάνισε τόσον ὅσον ἡ μυθολογία τούτου; Αὐτὸς τὴν μακαρίαν ἐλπίδα ποὺ ἀπόκειται εἰς τοὺς διαβιώσαντας κατὰ τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ ἐτόλμησε νὰ ἐξηγήσῃ τόσον ταπεινὰ καὶ χαμηλά, ὥστε νὰ μετατραπῇ εἰς γραώδεις μύθους καὶ ἰουδαϊκοὺς λόγους [4]. Ἐπαγγέλλεται ἐκ νέου τὴν ἀνανέωσιν τοῦ ναοῦ καὶ τὴν τήρησιν τῆς νομικῆς λατρείας καὶ πάλιν ἀρχιερέα τυπικὸν [5] μετὰ τὸν ἀληθινὸν ἀρχιερέα καὶ θυσίαν ὑπὲρ τῶν ἁμαρτιῶν μετὰ τὸν ἀμνὸν τοῦ Θεοῦ, ὁ ὁποῖος ἐσήκωσε τὰς ἁμαρτίας τοῦ κόσμου [6], καὶ βαπτίσματα ἰδιαίτερα μετὰ τὸ ἓν βάπτισμα [7], καὶ αἷμα δαμάλεως νὰ ραντίζῃ τὴν Ἐκκλησίαν, ἡ ὁ-

4. Α' Τιμ. 4, 7.
5. Τυπολογικόν, προτυποῦντα τὸν Χριστόν.
6. Ἰω. 1, 29.
7. Ἐφ. 4, 5.

ῥαντίζουσαν τὴν Ἐκκλησίαν τὴν οὐκ ἔχουσαν διὰ τῆς εἰς Χριστὸν πίστεως σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, καὶ καθαρισμὸν λέπρας μετὰ τὴν ἀπάθειαν τῆς ἀναστάσεως, καὶ ζηλοτυπίας προσφοράν, ὅτε οὔτε γαμοῦσιν οὔτε γαμίσκονται, ἄρτους προθέσεως μετὰ τὸν ἄρτον τὸν ἐκ τοῦ οὐρανοῦ, λύχνους καιομένους μετὰ τὸ φῶς τὸ ἀληθινόν. Καὶ ὅλως, εἰ νῦν ὁ νόμος τῶν ἐντολῶν ἐν δόγμασι κατήργηται, δῆλον ὅτι τότε τὰ δόγματα τοῦ Χριστοῦ ἐν τοῖς νομικοῖς ἐντάλμασιν ἀκυρωθήσεται. Ἐπὶ τούτοις αἰσχύνη μὲν καὶ ἐντροπὴ ἐκάλυψεν ἡμῶν τὰ πρόσωπα, λύπη δὲ βαρεῖα πεπλήρωκεν ἡμῶν τὰς καρδίας. Διὸ παρακαλοῦμεν ὑμᾶς, ὡς ἐπιστήμονας ἰατροὺς καὶ δεδιδαγμένους ἐν τῇ πραΰτητι παιδεύειν τοὺς ἀντιδιατιθεμένους, πειραθῆναι αὐτὸν ἐπαναγαγεῖν πρὸς τὴν εὐταξίαν τῆς Ἐκκλησίας καὶ πεῖσαι αὐτὸν καταφρονῆσαι τῆς πολυφωνίας τῶν συνταγμάτων (ἐβεβαίωσε γὰρ τὸν τῆς Παροιμίας λόγον ὅτι· «Οὐκ ἔστιν ἐκ πολυλογίας ἐκφυγεῖν ἁμαρτίαν»), στερρῶς δὲ αὐτῷ προβάλλειν τὰ τῆς ὀρθοδοξίας δόγματα, ἵνα κἀκείνου ἡ ἐπανόρθωσις φανερὰ γένηται καὶ τοῖς ἀδελφοῖς αὐτοῦ γνωρισθῇ ἡ μεταμέλεια.

3. Εὔλογον δὲ καὶ περὶ τῶν κατὰ Μάρκελλον ὑπομνησθῆναι ὑμῶν τὴν εὐλάβειαν, ἵνα μηδὲν ἀπερισκέπτως μηδ' εὐκόλως τυπώσητε περὶ αὐτῶν. Ἀλλ' ἐπειδὴ δογμάτων ἕνεκεν ἀσεβῶν ἐξῆλθε τῆς Ἐκκλησίας ἐκεῖνος, τοὺς ἑπομένους αὐτῷ ἀναγκαῖον ἀναθεματίσαντας ἐκείνην τὴν αἵρεσιν οὕτω δεκτοὺς γενέσθαι τῇ

8. Ἐφεσ. 5, 25 ἑ.
9. Ἀριθ. 5, 15.
10. Ματθ. 22, 30.
11. Ἰω. 6, 32.
12. Ἰω. 1, 9.
13. Ὁ Ἀπολινάριος εἰς σειρὰν ἔργων του μετέφερε τὸ περιεχόμενον τῶν βιβλίων τῆς Π. Διαθήκης εἰς ἔπη. Εἶναι πιθανὸν ὅτι αἱ ἀντιλήψεις ποὺ

ποία λόγῳ τῆς πίστεως εἰς Χριστὸν δὲν ἔχει σπῖλον ἢ ρυτίδα ἢ κάτι παρόμοιον [8] καὶ καθαρισμὸν λέπρας μετὰ τὴν ἀπάθειαν τῆς ἀναστάσεως καὶ θυσίαν ζηλοτυπίας [9], τότε ποὺ οὔτε ὑπανδρεύονται οὔτε νυμφεύονται [10], ἄρτους προθέσεως μετὰ τὸν ἄρτον τὸν ἐλθόντα ἐξ οὐρανοῦ [11], λύχνους καιομένους μετὰ τὸ φῶς τὸ ἀληθινόν [12]· τοιουτοτρόπως ὅμως ἐὰν τώρα ὁ νόμος τῶν ἐντολῶν ἔχει καταργηθῆ διὰ τῶν δογμάτων, εἶναι φανερὸν ὅτι τότε τὰ δόγματα τοῦ Χριστοῦ θ' ἀκυρωθοῦν διὰ τῶν νομικῶν ἐνταλμάτων [13].

Ἐξ αἰτίας αὐτῶν τὰ πρόσωπά μας ἐκάλυψεν αἰσχύνη καὶ ἐντροπή, τὰς δὲ καρδίας μας ἐγέμισε βαρεῖα λύπη. Διὰ τοῦτο σᾶς παρακαλοῦμεν, ὡς ἰατροὺς ἐπιστήμονας καὶ διδαγμένους νὰ περιποιῶνται μὲ πραότητα τοὺς ἀνθισταμένους, νὰ προσπαθήσετε νὰ τὸν ἐπαναφέρετε εἰς τὴν εὐταξίαν τῆς Ἐκκλησίας καὶ νὰ τὸν πείσετε νὰ περιφρονήσῃ τὴν πολυλογίαν τῶν συγγραμμάτων του —διότι ἐπεβεβαίωσε τὸν λόγον τῆς Παροιμίας, ὅτι «μὲ τὴν πολυλογίαν δὲν εἶναι δυνατὸν νὰ ἀποφύγῃ κανεὶς τὴν ἁμαρτίαν»[14]—, σταθερῶς δὲ νὰ τοῦ προβάλλετε τὰ δόγματα τῆς Ὀρθοδοξίας, οὕτως ὥστε καὶ ἡ ἰδική του διόρθωσις νὰ καταστῇ φανερὰ καὶ εἰς τοὺς ἀδελφούς του νὰ γνωρισθῇ ἡ μεταμέλεια.

3. Εἶναι δὲ εὔλογον νὰ ὑπενθυμίσω εἰς τὴν εὐλάβειάν σας καὶ περὶ τῶν ὀπαδῶν τοῦ Μαρκέλλου[15], οὕτως ὥστε νὰ μὴ λάβετε καμμίαν ἀπόφασιν δι' αὐτοὺς ἀπερισκέπτως καὶ εὐκόλως. Ἐπειδὴ λοιπὸν ἐκεῖνος ἐξῆλθεν ἀπὸ τὴν Ἐκκλησίαν ἐξ αἰτίας ἀσεβῶν δογμάτων, εἶναι ἀναγκαῖον οἱ ὀπαδοί του νὰ γίνωνται δεκτοὶ εἰς κοινωνίαν ἀφοῦ ἀναθεματίσουν ἐκείνην τὴν αἵρεσιν,

---

διετυπώνοντο εἰς τὰ ἔπη ἐθεωρήθησαν ὡς ἀντιλήψεις τοῦ ἰδίου τοῦ Ἀπολιναρίου.

14. Παροιμ. 10, 19.

15. Ὁ Μάρκελλος, ἐπίσκοπος Ἀγκύρας, ἐνῷ ἐφάνη ἀρχικῶς ὅτι εἶναι ὀπαδὸς τοῦ συμβόλου τῆς Νικαίας, ἀπεδείχθη ὅτι ἦτο μοναρχιανός, σαβελλιανιστής.

κοινωνίᾳ, ἵν' οἱ ἡμῖν συναπτόμενοι δι' ὑμῶν παρὰ πάσης δεχθῶσι τῆς ἀδελφότητος, ἐπεὶ νῦν γε οὐ μετρία μετέσχε λύπη τοὺς πολλοὺς ἀκούσαντας ὅτι παραγενομένους πρὸς τὴν ὑμετέραν τιμιότητα καὶ προσήκασθε καὶ κοινωνίας αὐτοῖς ἐκκλησιαστικῆς μετεδώκατε. Καίτοιγε εἰδέναι ὑμᾶς ἐχρῆν ὅτι τῇ τοῦ Θεοῦ χάριτι οὔτε κατὰ τὴν Ἀνατολὴν μόνοι ἐστέ, ἀλλὰ καὶ πολλοὺς ἔχετε τῆς ἑαυτῶν μερίδος, οἳ τὴν τῶν πατέρων ἐκδικοῦσιν ὀρθοδοξίαν τῶν κατὰ Νίκαιαν τὸ εὐσεβὲς δόγμα τῆς πίστεως ἐκθεμένων, καὶ οἱ τῆς Δύσεως πάντες σύμφωνοι ὑμῖν τε καὶ ἡμῖν τυγχάνουσιν, ὧν δεξάμενοι τῆς πίστεως τὸν τόμον ἔχομεν παρ' ἑαυτοῖς ἑπόμενοι αὐτῶν τῇ ὑγιεῖ διδασκαλίᾳ. Ἔδει οὖν πάντας πληροφορεῖσθαι τοὺς ἐν τῇ αὐτῇ συναφείᾳ τυγχάνοντας ὑμῖν, ἵνα καὶ τὸ γινόμενον μᾶλλον ἐβεβαιώθη ἐν τῇ τῶν πολλῶν συγκαταθέσει καὶ ἡ εἰρήνη μὴ διέσπαστο ἐν τῇ τινων προσλήψει ἑτέρων ἀφισταμένων. Οὕτως ἦν πρέπον βουλεύσασθαι ὑμᾶς στιβαρῶς καὶ πράως περὶ πραγμάτων πάσαις ταῖς κατὰ τὴν οἰκουμένην Ἐκκλησίαις διαφερόντων. Οὐ γὰρ ὁ ταχύ τι δογματίσας ἐπαινετός, ἀλλ' ὁ παγίως καὶ ἀσαλεύτως ἕκαστα κανονίσας ὥστε καὶ εἰς τὸν μετὰ ταῦτα χρόνον ἐξεταζομένην τὴν γνώμην δοκιμωτέραν φαίνεσθαι, οὗτος ἀπόδεκτος καὶ παρὰ Θεῷ καὶ ἀνθρώποις ὡς «οἰκονομῶν τοὺς λόγους αὐτοῦ ἐν κρίσει». Ταῦτα, ὅσα ἐδίδου ἡμῖν ἡ διὰ τοῦ γράμματος ὁμιλία, προσεφθεγξάμεθα ὑμῶν τὴν εὐλάβειαν. Παράσχοι δὲ ὁ Κύριος καὶ εἰς ταὐτὸν ἡμᾶς ἀλλήλοις γενέσθαι ποτέ, ἵνα πάντα πρὸς καταρτισμὸν τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ μεθ' ὑμῶν οἰκονομήσαντες μεθ' ὑμῶν δεξώμεθα τὸν μισθὸν τὸν ἡτοιμασμένον παρὰ τοῦ δικαίου Κριτοῦ τοῖς πιστοῖς καὶ φρονίμοις οἰκονόμοις. Τέως δὲ νῦν καταξιώσατε ἡμῖν ἀποστεῖλαι τὰς προτάσεις ἐφ' αἷς ἐδέξασθε τοὺς Μαρκέλλου, ἐκεῖνο εἰδότες ὅτι, κἂν πάνυ τὸ

16. Ψαλμ. 111, 5.

ὥστε οἱ συναπτόμενοι μὲ ἡμᾶς διὰ τῆς μεσολαβήσεώς σας νὰ γίνουν δεκτοὶ ἀπὸ ὅλους τοὺς ἀδελφούς· διότι τώρα κατέλαβεν ὄχι μικρὰ λύπη τοὺς πολλούς, ὅταν ἤκουσαν ὅτι τοὺς ἐδέχθητε ἐλθόντας πρὸς τὴν τιμιότητά σας καὶ τοὺς προσεφέρατε τὴν ἐκκλησιαστικὴν κοινωνίαν. Ἔπρεπεν ὅμως νὰ γνωρίζετε ὅτι μὲ τὴν χάριν τοῦ Θεοῦ δὲν εἶσθε μόνοι εἰς τὴν Ἀνατολήν, ἀλλ' ἔχετε πολλοὺς εἰς τὴν μερίδα σας, οἱ ὁποῖοι ὑπερασπίζονται τὴν ὀρθοδοξίαν τῶν πατέρων ποὺ εἰς τὴν Νίκαιαν διετύπωσαν τὸ εὐσεβὲς δόγμα τῆς πίστεως, ἐνῷ καὶ οἱ τῆς Δύσεως ὅλοι εἶναι σύμφωνοι μὲ σᾶς καὶ μὲ ἡμᾶς, ἀπὸ τοὺς ὁποίους δεχθέντες τὸν τόμον ποὺ περιέχει τὴν ὁμολογίαν πίστεώς των, τὸν διατηροῦμεν μαζί μας καὶ ἀκολουθοῦμεν τὴν ὑγιῆ διδασκαλίαν των. Ἔπρεπε λοιπὸν νὰ πληροφορήσετε ὅλους ὅσοι ἀνήκουν εἰς τὴν ἰδίαν παράταξιν μὲ σᾶς, οὕτως ὥστε καὶ τὸ γενόμενον νὰ βεβαιωθῇ πληρέστερον μὲ τὴν συγκατάθεσιν τῶν πολλῶν καὶ ἡ εἰρήνη νὰ μὴ διασπασθῇ μὲ τὴν πρόσληψιν ἀπὸ μερικοὺς καὶ τὴν ἀπόρριψιν ἀπὸ ἄλλους. Οὕτως ἔπρεπε νὰ σκεφθῆτε σοβαρῶς καὶ ἠρέμως περὶ πραγμάτων τὰ ὁποῖα ἐνδιαφέρουν ὅλας τὰς Ἐκκλησίας. Διότι ἐπαινετὸς δὲν εἶναι ἐκεῖνος ποὺ ἀπεφάσισε κάτι ταχέως, ἀλλ' ἐκεῖνος ποὺ ἐκανόνισε τὸ κάθε τι σταθερῶς καὶ ἀσαλεύτως, ὥστε καὶ εἰς τὸν μελλοντικὸν χρόνον ἐξεταζομένη ἡ γνώμη του νὰ φαίνεται δοκιμωτέρα· αὐτὸς εἶναι δεκτὸς καὶ ἀπὸ τὸν Θεὸν καὶ ἀπὸ τοὺς ἀνθρώπους, ὡς «ρυθμίζων τοὺς λόγους του μὲ κρίσιν» [16].

Αὐτά, ὅσον μᾶς ἐπέτρεπεν ἡ διὰ τοῦ γράμματος συζήτησις, εἴχαμεν νὰ εἴπωμεν εἰς τὴν εὐλάβειάν σας. Εἴθε δὲ ὁ Κύριος νὰ ἐπιτρέψῃ κάποτε νὰ συναντηθῶμεν, ὥστε, ἀφοῦ τακτοποιήσωμεν μαζί σας τὰ πάντα πρὸς καταρτισμὸν τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ, νὰ δεχθῶμεν μαζὶ μὲ σᾶς τὸν μισθὸν ποὺ εἶναι ἡτοιμασμένος ἀπὸ τὸν δίκαιον Κριτὴν διὰ τοὺς πιστοὺς καὶ φρονίμους οἰκονόμους. Τώρα δὲ καταξιώσατε νὰ μᾶς στείλετε τὰς προτάσεις ἐπὶ τῇ βάσει τῶν ὁποίων ἐδέχθητε τοὺς ὀπαδοὺς τοῦ Μαρκέλλου, ἀντιλαμβανόμενοι τοῦτο, ὅτι ὁσονδήποτε πλήρως

καθ' ἑαυτοὺς ἀσφαλίσησθε, μόνοις ἑαυτοῖς ἐπιτρέψαι πρᾶγμα τοσοῦτον οὐκ ὀφείλετε, ἀλλὰ χρὴ καὶ τοὺς ἐν τῇ Λύσει καὶ τοὺς κατὰ τὴν Ἀνατολὴν κοινωνικοὺς συμψήφους αὐτῶν τῇ ἀποκαταστάσει γενέσθαι.

καὶ ἂν ἐξασφαλίσετε τὰ συμφέροντα, δὲν δύνασθε νὰ ἀναλάβετε μόνοι σας τόσον μέγα βάρος, ἀλλὰ πρέπει καὶ οἱ τῆς Δύσεως καὶ οἱ τῆς Ἀνατολῆς ὁμόδοξοι νὰ γίνουν σύμψηφοι εἰς τὴν ἀποκατάστασιν αὐτῶν.

206

92. ΠΡΟΣ ΙΤΑΛΟΥΣ ΚΑΙ ΓΑΛΛΟΥΣ

1. Τοῖς θεοφιλεστάτοις καὶ ὁσιωτάτοις ἀδελφοῖς συλλειτουργοῖς, τοῖς κατὰ τὴν Ἰταλίαν καὶ Γαλλίαν ὁμοψύχοις ἐπισκόποις Μελέτιος, Εὐσέβιος, Βασίλειος, Βάσσος, Γρηγόριος, Πελάγιος, Παῦλος, Ἄνθιμος, Θεόδοτος, Βῖτος, Ἀβραάμιος, Ἰοβῖνος, Ζήνων, Θεοδώρητος, Μαρκιανός, Βάραχος, Ἀβραάμιος, Λιβάνιος, Θαλάσσιος, Ἰωσήφ, Βοηθός, Ἀτρεῖος, Θεόδοτος, Εὐστάθιος, Βαρσούμας, Ἰωάννης, Χοσσορόης, Ἰωσάκης, Νάρσης, Μάρις, Γρηγόριος, Δαφνὸς ἐν Κυρίῳ χαίρειν.

Φέρει μέν τινα παραμυθίαν ταῖς ὀδυνωμέναις ψυχαῖς καὶ στεναγμὸς πολλάκις ἐκ τοῦ βάθους τῆς καρδίας ἀναπεμπόμενος, καί που καὶ δάκρυον ἀποστάξαν τὸ πολὺ τῆς θλίψεως διεφόρησεν.

Ἐπιστολὴ 92. Εἶναι «συνοδικὴ ἐπιστολὴ» ὑπὸ τὴν ἔννοιαν ὅτι συνυπεγράφη ὑπὸ πολλῶν ἐπισκόπων, ἂν καὶ οὗτοι λόγῳ τῶν συνθηκῶν, δὲν ἠδυνήθησαν νὰ συνέλθουν μαζὶ καὶ ὑπέγραψαν τὴν ἐπιστολὴν ὁ καθένας χωριστά. Ὁ Βασίλειος εἰς τὴν προσπάθειάν του νὰ ἑνώσῃ τοὺς ὀρθοδόξους ἐπισκόπους Ἀνατολῆς καὶ Δύσεως αἴρων τὰς τυχὸν ὑπαρχούσας ἐπιφυλάξεις καὶ πρὸ πάντων ἐπιτυγχάνων γενικὴν ἀναγνώρισιν τοῦ Μελετίου Ἀντιοχείας, εἰς τὰ τέλη τοῦ 371, ἔστειλεν ἐπιστολὴν εἰς τὸν Δάμασον Ρώμης περὶ συγκλήσεως συνόδου (ἐπιστ. 70 Β' τ.). Ὁ Δάμασος ἀντὶ ἀντιπροσώπων διὰ σύνοδον ἔστειλε τὸν διάκονον Σαβῖνον πρὸς συλλογὴν πληροφοριῶν, ἀπήντησε δὲ φιλοφρόνως εἰς τὸν Βασίλειον. Τότε οὗτος ἐσκέφθη ὅτι μόνον μὲ τὴν ἐνέργειαν μεγάλου ἀριθμοῦ ἐπισκόπων θὰ ἦτο δυνατὸν

206

ΕΠΙΣΤΟΛΗ 92
ΠΡΟΣ ΙΤΑΛΟΥΣ ΚΑΙ ΓΑΛΛΟΥΣ ΕΠΙΣΚΟΠΟΥΣ

1. Πρὸς τοὺς θεοφιλεστάτους καὶ ὁσιωτάτους ἀδελφοὺς συλλειτουργούς, τοὺς ὁμοψύχους κατὰ τὴν Ἰταλίαν καὶ Γαλλίαν ἐπισκόπους [1], Μελέτιος, Εὐσέβιος, Βασίλειος, Βάσσος, Γρηγόριος, Πελάγιος, Παῦλος, Ἄνθιμος, Θεόδοτος, Βῖτος, Ἀβραάμιος, Ἰοβῖνος, Ζήνων, Θεοδώρητος, Μαρκιανός, Βάραχος, Ἀβραάμιος, Λιβάνιος, Θαλάσσιος, Ἰωσήφ, Βοηθός, Ἀτρεῖος, Θεόδοτος, Εὐστάθιος, Βαρσούμας, Ἰωάννης, Χοσσορόης, Ἰωσάκης, Νάρσης, Μάρις, Γρηγόριος, Δαφνός [2], τοὺς χαιρετίζουν ἐν Κυρίῳ.

Φέρουν βέβαια κάποιαν παρηγορίαν εἰς τὰς πονεμένας ψυχὰς στεναγμοὶ ποὺ ἀναπέμπονται ἐξακολουθητικὰ ἀπὸ τὰ βάθη τῆς καρδίας, ὅπως ἐπίσης ἀνακουφίζουν τὴν βαρεῖαν θλῖ-

---

νὰ συγκινηθοῦν οἱ Δυτικοί. Οὕτω προέκυψεν ἡ παροῦσα συλλογικὴ ἐπιστολή, τὴν ὁποίαν συνέταξεν ὁ Βασίλειος.

1. Λόγῳ τῶν ἐπιδιώξεων τῆς ἐπιστολῆς καὶ τοῦ συλλογικοῦ χαρακτῆρός της δίδεται εἰς αὐτὴν ἐπίσημος τόνος καὶ χρησιμοποιοῦνται οἱ τότε ἰσχύοντες ἐπιστολογραφικοὶ τύποι.

2. Ὑπογράφουν 32 ἐπίσκοποι τῶν ἀσιατικῶν περιοχῶν. Αὐτῶν τὴν ὑπογραφὴν εἶχε κατορθώσει νὰ ἐξασφαλίσῃ ὁ Βασίλειος εἰς τὴν ἐποχὴν ἐκείνην τῆς διώξεως τῶν Ὀρθοδόξων ὑπὸ τοῦ Οὐάλεντος. Ἐπικεφαλῆς φέρονται ὡς ὑπογράψαντες ὁ Μελέτιος Ἀντιοχείας, ὁ Εὐσέβιος Σαμοσάτων καὶ ὁ Ἴδιος ὁ Βασίλειος, οἱ τρεῖς στενοὶ φίλοι καὶ συνεργάται ἐπὶ τῶν μεγάλων θεμάτων τῆς Ἐκκλησίας.

Ἡμῖν δὲ οὐχ ὅσην στεναγμὸς καὶ δάκρυον παραμυθίαν ἔχει τὸ ἐξειπεῖν ἡμῶν τὰ πάθη τῇ ἀγάπῃ ὑμῶν, ἀλλά τις ἡμᾶς καὶ ἐλπὶς χρηστοτέρα θάλπει, ὡς τάχα ἄν, εἰ ἐξαγγείλαιμεν ὑμῖν τὰ λυποῦντα, διαναστήσομεν ὑμᾶς πρὸς τὴν ἀντίληψιν ἡμῶν, ἣν πάλαι μὲν προσεδοκήσαμεν παρ' ὑμῶν ταῖς κατὰ τὴν Ἀνατολὴν Ἐκκλησίαις γενήσεσθαι, οὐδέπω δὲ τετυχήκαμεν, πάντως που τοῦ ἐν σοφίᾳ τὰ ἡμέτερα διοικοῦντος Θεοῦ κατὰ τὰ ἀθεώρητα αὐτοῦ τῆς δικαιοσύνης κρίματα πλείονι χρόνῳ παραταθῆναι ἡμᾶς ἐν τοῖς πειρασμοῖς τούτοις οἰκονομήσαντος. Οὐ γὰρ δήπου ἠγνοήσατε τὰ καθ' ἡμᾶς, ἀδελφοὶ τιμιώτατοι, ὧν ἡ ἀκοὴ καὶ εἰς τὰ ἔσχατα τῆς οἰκουμένης διέδραμεν, οὐδὲ ἀσυμπαθεῖς που ὑμεῖς πρὸς τοὺς ὁμοψύχους τῶν ἀδελφῶν, μαθηταὶ ὑπάρχοντες τοῦ ἀποστόλου τοῦ πλήρωμα εἶναι τοῦ νόμου τὴν πρὸς τὸν πλησίον ἀγάπην διδάσκοντος. Ἀλλ', ὅπερ εἴπομεν, ἐπέσχεν ὑμῶν τὴν ὁρμὴν ἡ δικαία τοῦ Θεοῦ κρίσις, ἐκπληρωθῆναι ἡμῖν τὴν διατεταγμένην ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν θλῖψιν ἐπιμετροῦσα. Ἀλλὰ νῦν γοῦν καὶ πρὸς τὸν ὑπὲρ τῆς ἀληθείας ζῆλον καὶ τὴν ἡμετέραν συμπάθειαν διαναστῆναι ὑμᾶς παρακαλοῦμεν, πάντα μαθόντας, καὶ ὅσα πρὸ τούτου τὰς ἀκοὰς ὑμῶν διέφυγε, παρὰ τοῦ εὐλαβεστάτου ἀδελφοῦ ἡμῶν τοῦ συνδιακόνου Σαβίνου, ὃς δυνήσεται ὑμῖν καὶ ὅσα τὴν ἐπιστολὴν διαφεύγει παρ' ἑαυτοῦ διηγήσασθαι· δι' οὗ παρακαλοῦμεν ὑμᾶς ἐνδύσασθαι σπλάγχνα οἰκτιρμοῦ καὶ ἀποθέσθαι μὲν πάντα ὄκνον, ἀναλαβεῖν δὲ τὸν κόπον τῆς ἀγάπης, καὶ μήτε ὁδοῦ μῆκος μήτε τὰς κατ' οἶκον ἀσχολίας μήτ' ἄλλο τι τῶν ἀνθρωπίνων ὑπολογίσασθαι.

2. Οὐ γὰρ περὶ μιᾶς Ἐκκλησίας ὁ κίνδυνος, οὐδὲ δύο ἢ τρεῖς αἱ τῷ χαλεπῷ τούτῳ χειμῶνι περιπεσοῦσαι. Σχεδὸν γὰρ ἀπὸ τῶν

ψιν ρέοντα δάκρυα. Εἰς ἡμᾶς δὲ τὸ νὰ ἐκθέσωμεν τὰ πάθη μας εἰς τὴν ἀγάπην σας δὲν ἔχει μόνον ὅσην παρηγορίαν φέρουν οἱ στεναγμοὶ καὶ τὰ δάκρυα, ἀλλὰ μᾶς θερμαίνει καὶ χρηστοτέρα ἐλπίς, ὅτι ἴσως, ἂν ἀνακοινώσωμεν εἰς σᾶς τὰ προβλήματα ποὺ μᾶς λυποῦν, θὰ σᾶς ξεσηκώσωμεν εἰς βοήθειάν μας. Ἀπὸ πολὺν καιρὸν ἀνεμέναμεν νὰ προσφερθῇ αὐτὴ ἡ βοήθεια ἀπὸ σᾶς πρὸς τὰς Ἐκκλησίας τῆς Ἀνατολῆς, ἀλλὰ δὲν τὴν ἐλάβαμεν ποτέ· ἀσφαλῶς διότι ὁ μὲ σοφίαν διοικῶν τὰς ὑποθέσεις μας Θεὸς ἐρρύθμισε τὰ πράγματα κατὰ τὰ ἀθεώρητα κρίματα τῆς δικαιοσύνης του μὲ τοιοῦτον τρόπον, ὥστε νὰ παραμείνωμεν περισσότερον χρόνον εἰς τοὺς πειρασμοὺς τούτους.

Ἀσφαλῶς δὲν ἀγνοεῖτε τὰ προβλήματά μας, ἀδελφοὶ τιμιώτατοι, διότι ἡ φήμη των ἐπέρασε καὶ εἰς τὰ ἔσχατα τῆς οἰκουμένης, δὲν στερεῖσθε δὲ ἀναμφιβόλως συμπαθείας πρὸς τοὺς ὁμοψύχους ἀδελφούς, ἀφοῦ εἶσθε μαθηταὶ τοῦ ἀποστόλου ποὺ διδάσκει ὅτι ἡ πρὸς τὸν πλησίον ἀγάπη εἶναι πλήρωμα τοῦ νόμου [3]. Ἀλλά, ὅπως εἴπαμεν, συνεκράτησε τὴν ὁρμήν σας ἡ δικαία κρίσις τοῦ Θεοῦ, ἡ ὁποία μετρεῖ τὴν καθωρισμένην θλῖψιν ποὺ πρέπει νὰ ἐκπληρώσωμεν διὰ τὰς ἁμαρτίας μας. Ἀλλὰ τώρα πάντως σᾶς παρακαλοῦμεν νὰ κινήσετε καὶ τὸν ὑπὲρ τῆς ἀληθείας ζῆλόν σας καὶ τὴν πρὸς ἡμᾶς συμπάθειάν σας, ἀφοῦ μάθετε τὰ πάντα, καὶ ὅσα προηγουμένως εἴχαν διαφύγει τὰς ἀκοάς σας, ἀπὸ τὸν εὐλαβέστατον ἀδελφόν μας συνδιάκονον Σαβῖνον, ὁ ὁποῖος θὰ ἠμπορέσῃ νὰ σᾶς διηγηθῇ ὁ ἴδιος καὶ ὅσα παραλείπονται εἰς τὴν ἐπιστολήν. Δι' αὐτοῦ δὲ σᾶς παρακαλοῦμεν νὰ ἐνδυθῆτε σπλάγχνα οἰκτιρμῶν καὶ νὰ ἀποθέσετε κάθε δισταγμόν, ν' ἀναλάβετε δὲ τὸν κόπον τῆς ἀγάπης καὶ νὰ μὴ ὑπολογίσετε οὔτε τὸ μῆκος τῆς ὁδοῦ οὔτε τὰς εἰς τὴν πατρίδα σας ἀσχολίας οὔτε τίποτε ἄλλο ἀπὸ τὰ ἀνθρώπινα.

2. Ὁ κίνδυνος ἐδῶ δὲν ἀναφέρεται εἰς μίαν μόνον Ἐκκλησίαν, οὔτε εἶναι δύο ἢ τρεῖς ἐκεῖναι ποὺ περιέπεσαν εἰς τὴν

---

3. Ρωμ. 13, 8 ἑ.

ὅρων τοῦ Ἰλλυρικοῦ μέχρι Θηβαΐδος τὸ τῆς αἱρέσεως κακὸν ἐπινέμεται. Ἧς τὰ πονηρὰ σπέρματα πρότερον μὲν ὁ δυσώνυμος Ἄρειος κατεβάλετο· ῥιζωθέντα δὲ διὰ βάθους ὑπὸ πολλῶν τῶν ἐν μέσῳ φιλοπόνως τὴν ἀσέβειαν γεωργησάντων, νῦν τοὺς φθοροποιοὺς καρποὺς ἐξεβλάστησεν. Ἀνατέτραπται μὲν τὰ τῆς εὐσεβείας δόγματα, συγκέχυνται δὲ Ἐκκλησίας θεσμοί. Φιλαρχίαι δὲ τῶν μὴ φοβουμένων τὸν Κύριον ταῖς προστασίαις ἐπιπηδῶσι καὶ ἐκ τοῦ προφανοῦς λοιπὸν ἆθλον δυσσεβείας ἡ προεδρία πρόκειται, ὥστε ὁ τὰ χαλεπώτερα βλασφημήσας εἰς ἐπισκοπὴν λαοῦ προτιμότερος. Οἴχεται σεμνότης ἱερατική, ἐπιλελοίπασιν οἱ ποιμαίνοντες μετ' ἐπιστήμης τὸ ποίμνιον τοῦ Κυρίου, οἰκονομίας πτωχῶν εἰς ἰδίας ἀπολαύσεις καὶ δώρων διανομὰς παραναλισκόντων ἀεὶ τῶν φιλαρχούντων. Ἡμαύρωται κανόνων ἀκρίβεια, ἐξουσία τοῦ ἁμαρτάνειν πολλή. Οἱ γὰρ σπουδαῖς ἀνθρωπίναις παρελθόντες ἐπὶ τὸ ἄρχειν ἐν αὐτῷ τούτῳ τῆς σπουδῆς τὴν χάριν ἀνταναπληροῦσι τῷ πάντα πρὸς ἡδονὴν ἐνδιδόναι τοῖς ἁμαρτάνουσιν. Ἀπόλωλε κρῖμα δίκαιον, πᾶς τις τῷ θελήματι τῆς καρδίας αὐτοῦ πορεύεται. Ἡ πονηρία ἄμετρος, οἱ λαοὶ ἀνουθέτητοι, οἱ προεστῶτες ἀπαρρησίαστοι. Δοῦλοι γὰρ τῶν δεδωκότων τὴν χάριν οἱ δι' ἀνθρώπων ἑαυτοῖς τὴν δυναστείαν κατακτησάμενοι. Ἤδη δὲ καὶ ὅπλον τισὶ τοῦ πρὸς ἀλλήλους πολέμου ἡ ἐκδίκησις δῆθεν τῆς ὀρθοδοξίας ἐπινενόηται, καὶ τὰς ἰδίας ἔχθρας ἐπικρυψάμενοι ὑπὲρ τῆς εὐσεβείας ἐχθραίνειν κατασχηματίζονται. Ἄλλοι δὲ τὸν ἐπὶ τοῖς αἰσχίστοις ἐκκλίνοντες ἔλεγχον τοὺς λαοὺς εἰς τὴν κατ' ἀλλήλων φιλονικίαν ἐκμαίνουσιν, ἵνα τοῖς κοινοῖς κακοῖς τὸ καθ' ἑαυτοὺς συσκιάσωσι.

---

4. Ἀκολουθεῖ μία ζοφερὰ περιγραφὴ τῆς καταστάσεως εἰς τὰς Ἐκκλησίας τῆς Ἀνατολῆς, εἰς τὴν ὁποίαν ἐκυριαρχοῦσαν αἱ διαθέσεις τῶν φιλαρειανῶν ἀρχόντων καὶ αἱ ὑπερβολαὶ τῶν ψευδοζηλωτῶν ὑπερορθοδόξων. Πάντως ἡ περιγραφὴ διὰ τὴν περίστασιν ὑπερβάλλει τὰ γεγονότα.

σφοδρὰν αὐτὴν τρικυμίαν [4]. Ὅλην σχεδὸν τὴν περιοχὴν ἀπὸ τὰ σύνορα τοῦ Ἰλλυρικοῦ μέχρι τῆς Θηβαΐδος κατατρώγει τὸ κακὸν τῆς αἱρέσεως. Πρόκειται περὶ τῆς αἱρέσεως, τῆς ὁποίας τὰ πονηρὰ σπέρματα κατέβαλε παλαιότερα ὁ δυσώνυμος Ἄρειος, καὶ αὐτά, ἀφοῦ ἐρριζώθησαν βαθειὰ μὲ τὴν φιλόπονον καλλιέργειαν τῆς ἀσεβείας ἀπὸ πολλοὺς ἐργασθέντας ἐν τῷ μεταξύ, τώρα παρήγαγαν τοὺς φθοροποιοὺς καρπούς. Τῆς εὐσεβείας τὰ δόγματα ἔχουν ἀνατραπῆ, τῆς Ἐκκλησίας οἱ θεσμοὶ ἔχουν συγχυθῆ. Αἱ δὲ φιλοδοξίαι τῶν μὴ φοβουμένων τὸν Κύριον εἰσπηδοῦν εἰς τὰ ὑψηλὰ ἀξιώματα καὶ τὸ ἐπισκοπικὸν ἀξίωμα προτίθεται φανερὰ ὡς ἄθλον δυσσεβείας, τόσον ὥστε ἐκεῖνος ποὺ βλασφημεῖ χειρότερα εἶναι προτιμότερος εἰς τὴν διαποίμανσιν τοῦ λαοῦ. Ἔχει φύγει ἡ ἱερατικὴ σεμνότης, ἔχουν λείψει οἱ ἄνθρωποι ποὺ ποιμαίνουν τὸ ποίμνιον τοῦ Κυρίου μὲ ἐπιστήμην, διότι οἱ φίλαρχοι πάντοτε τὰς χορηγίας διὰ τοὺς πτωχοὺς δαπανοῦν εἰς εἰδικάς των ἀπολαύσεις καὶ διανομὰς δώρων. Ἔχει ἀμαυρωθῆ ἡ ἀκρίβεια τῶν κανόνων, μεγάλη εἶναι ἡ ἐλευθερία πρὸς τὴν ἁμαρτίαν. Πράγματι ἐκεῖνοι ποὺ ἀνῆλθαν εἰς τὴν ἐξουσίαν μὲ ἀνθρωπίνας σκευωρίας ἀνταποδίδουν τὴν χάριν δι' αὐτὰς τὰς ἐξυπηρετήσεις μὲ τὸ νὰ ἐπιτρέπουν εἰς τοὺς ἁμαρτάνοντας κάθε ἄνεσιν διὰ τὰς ἀπολαύσεις. Ἔχει χαθῆ ἡ δικαιοκρισία, ὁ καθένας πορεύεται σύμφωνα μὲ τὸ θέλημα τῆς καρδίας του. Ἡ πονηρία εἶναι ἄμετρος, οἱ λαοὶ μένουν ἀνουθέτητοι, οἱ ἐκκλησιαστικοὶ ἡγέται δὲν ἔχουν τὸ θάρρος νὰ ἐκφρασθοῦν. Διότι οἱ ἀποκτήσαντες τὴν ἐξουσίαν δι' ἀνθρώπων εἶναι δοῦλοι αὐτῶν ποὺ τοὺς ἔδωσαν τὴν χάριν. Τώρα μάλιστα μερικοὶ ἔχουν ἐπινοήσει τὴν δῆθεν ὑπεράσπισιν τῆς ὀρθοδοξίας καὶ ὡς ὅπλον τοῦ ἐναντίον ἀλλήλων πολέμου [5], οἱ ὁποῖοι, κρύπτοντες τὰς ἰδικάς των ἔχθρας, προφασίζονται ὅτι ἐχθρεύονται χάριν τῆς ὀρθοδοξίας. Ἄλλοι δὲ θέλοντες ν'

5. Προφανῶς ἐδῶ ἐννοεῖ τὴν ὑπερορθόδοξον μερίδα τοῦ Παυλίνου εἰς τὴν Ἀντιόχειαν, ὁ ὁποῖος ἤθελε ν' ἁρπάξῃ τὴν ἕδραν τοῦ κανονικοῦ ἐπισκόπου Μελετίου.

Διὸ καὶ ἄσπονδός ἐστιν ὁ πόλεμος οὗτος, τῶν τὰ πονηρὰ εἰργασμένων τὴν κοινὴν εἰρήνην ὡς ἀποκαλύπτουσαν αὐτῶν τὰ κρυπτὰ τῆς αἰσχύνης ὑφορωμένων. Ἐπὶ τούτοις γελῶσιν οἱ ἄπιστοι, σαλεύονται οἱ ὀλιγόπιστοι· ἀμφίβολος ἡ πίστις, ἄγνοια κατακέχυται τῶν ψυχῶν, διὰ τὸ μιμεῖσθαι τὴν ἀλήθειαν τοὺς δολοῦντας τὸν λόγον ἐν κακουργίᾳ. Σιγᾷ μὲν γὰρ τὰ τῶν εὐσεβούντων στόματα, ἀνεῖται δὲ πᾶσα βλάσφημος γλῶσσα· ἐβεβηλώθη τὰ ἅγια, φεύγουσι τοὺς εὐκτηρίους οἴκους οἱ ὑγιαίνοντες τῶν λαῶν ὡς ἀσεβείας διδασκαλεῖα, κατὰ δὲ τὰς ἐρημίας πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Δεσπότην μετὰ στεναγμῶν καὶ δακρύων τὰς χεῖρας αἴρουσιν. Ἔφθασε δὲ πάντως καὶ μέχρις ὑμῶν τὰ γινόμενα ἐν ταῖς πλείσταις τῶν πόλεων, ὅτι οἱ λαοὶ σὺν γυναιξὶ καὶ παισὶ καὶ αὐτοῖς τοῖς πρεσβύταις πρὸ τῶν τειχῶν ἐκχυθέντες ἐν τῷ ὑπαίθρῳ τελοῦσι τὰς προσευχάς, φέροντες πάσας τὰς ἐκ τοῦ ἀέρος κακοπαθείας σὺν πολλῇ τῇ μακροθυμίᾳ, τὴν παρὰ τοῦ Κυρίου ἀντίληψιν ἀναμένοντες.

3. Τίς θρῆνος τῶν συμφορῶν τούτων ἄξιος; Ποῖαι πηγαὶ δακρύων κακοῖς τοσούτοις ἐξαρκέσουσιν; Ἕως οὖν ἔτι δοκοῦσιν ἑστάναι τινές, ἕως ἔτι ἴχνος τῆς παλαιᾶς καταστάσεως διασώζεται, πρὶν τέλειον ταῖς Ἐκκλησίαις ἐπελθεῖν τὸ ναυάγιον, ἐπείχθητε πρὸς ἡμᾶς, ἐπείχθητε ἤδη, ναὶ δεόμεθα, ἀδελφοὶ γνησιώτατοι· δότε χεῖρα τοῖς εἰς γόνυ κλιθεῖσι. Συγκινηθήτω ἐφ' ἡμῖν τὰ ἀδελφικὰ ὑμῶν σπλάγχνα, προχυθήτω δάκρυα συμπαθείας. Μὴ παρίδητε τὸ ἥμισυ τῆς οἰκουμένης ὑπὸ τῆς πλάνης καταποθέν, μὴ ἀνάσχησθε ἀποσβεσθῆναι τὴν πίστιν παρ' οἷς πρῶτον ἐξέλαμψε. Τί οὖν ποιήσαντες ἀντιλήψεσθε τῶν πραγμάτων καὶ πῶς τὸ πρὸς τοὺς θλιβομένους συμπαθὲς ἐπιδείξεσθε, οὐ παρ' ἡμῶν πάντως

ἀποφύγουν τὸν ἔλεγχον δι' αἰσχρὰς πράξεις ἐξερεθίζουν τὰ πλήθη εἰς τὴν μεταξύ των φιλονικίαν, οὕτως ὥστε μὲ τὰ κοινὰ κακὰ νὰ κρύψουν τὰ ἰδικά των. Διὰ τοῦτο δὲ αὐτὸς ὁ πόλεμος εἶναι ἄσπονδος, διότι ἐκεῖνοι ποὺ ἔχουν κάμει πονηρὰς πράξεις φοβοῦνται ὅτι ἡ κοινὴ εἰρήνη θὰ ἀποκαλύψῃ τὰς κρυφίας παρανομίας των.

Δι' αὐτὰ γελοῦν οἱ ἄπιστοι, σαλεύονται οἱ ὀλιγόπιστοι· ἡ πίστις εἶναι ἀμφίβολος, ἡ ἄγνοια καταλαμβάνει τὰς ψυχάς, διότι οἱ ἐγκληματικῶς νοθεύοντες τὸν λόγον μιμοῦνται τὴν ἀλήθειαν. Τὰ στόματα τῶν εὐσεβῶν σιγοῦν, ἐνῷ κάθε βλάσφημος γλῶσσα εἶναι ἀνοικτή. Ἐβεβηλώθησαν τὰ ἅγια, ἀποφεύγουν τοὺς εὐκτηρίους οἴκους τὰ πλήθη ποὺ ἔχουν ὑγιὲς φρόνημα ὡς διδασκαλεῖα ἀσεβείας, ὑψώνουν δὲ τὰς χεῖρας πρὸς τὸν οὐράνιον Δεσπότην εἰς τὰς ἐρημίας μὲ στεναγμοὺς καὶ δάκρυα. Ἔφθασαν δὲ τὰ συμβαίνοντα εἰς τὰς περισσοτέρας τῶν πόλεων ἕως καὶ σᾶς, τὸ ὅτι δηλαδὴ οἱ λαοὶ μαζὶ μὲ τὰς γυναῖκας καὶ τὰ παιδιά, ἀκόμη καὶ τοὺς γέροντας, ἔχουν ξεχυθῆ ἔξω ἀπὸ τὰ τείχη καὶ τελοῦν τὰς προσευχὰς εἰς τὴν ὕπαιθρον, ὑποφέροντες μὲ μακροθυμίαν ὅλας τὰς κακοπαθείας ἀπὸ τὴν κακοκαιρίαν καὶ ἀναμένοντες τὴν παρὰ τοῦ Κυρίου βοήθειαν.

3. Ποῖος θρῆνος εἶναι ἀντάξιος τῶν συμφορῶν τούτων; Ποῖαι πηγαὶ δακρύων θὰ ἀρκέσουν εἰς τόσον μεγάλα κακά; Ἕως ὅτου λοιπὸν φαίνονται μερικοὶ νὰ στέκωνται σταθεροί, ἕως ὅτου διασώζονται ἴχνη τῆς παλαιᾶς καταστάσεως, πρὶν νὰ ὁλοκληρωθῇ τὸ ναυάγιον τῶν Ἐκκλησιῶν, βιασθῆτε πρὸς ἡμᾶς, βιασθῆτε ἀμέσως τώρα, ναί, ἔχομεν ἀνάγκην, ἀδελφοὶ γνησιώτατοι· δώσατε χεῖρα εἰς τοὺς γονατισμένους. Ἂς συγκινηθοῦν δι' ἡμᾶς τὰ ἀδελφικά σας σπλάγχνα, ἂς χυθοῦν δάκρυα συμπαθείας. Μὴ παρίδετε νὰ καταπίνεται ἀπὸ τὴν πλάνην τὸ ἥμισυ τῆς οἰκουμένης, μὴ ἀνεχθῆτε νὰ σβεσθῇ ἡ πίστις ἐκείνων εἰς τοὺς ὁποίους ἔλαμψε πρῶτα.

Τί λοιπὸν εἶναι ἐκεῖνο, τὸ ὁποῖον πράττοντες θὰ βοηθήσετε εἰς τὰ πράγματα καὶ πῶς θὰ ἐπιδείξετε τὴν συμπάθειαν πρὸς τοὺς θλιβομένους, δὲν θὰ χρειασθῇ φυσικὰ νὰ τὸ μάθετε ἀπὸ

δεήσει μανθάνειν ὑμᾶς, ἀλλ' αὐτὸ τὸ Πνεῦμα τὸ Ἅγιον ὑμῖν ὑποθήσεται. Πλήν γε ὅτι τάχους χρεία πρὸς τὸ περισώσασθαι τοὺς ὑπολειφθέντας καὶ παρουσίας ἀδελφῶν πλειόνων, ὥστε πλήρωμα εἶναι συνόδου τοὺς ἐπιδημοῦντας, ἵνα, μὴ μόνον ἐκ τῆς τῶν ἀποστειλάντων σεμνότητος, ἀλλὰ καὶ ἐκ τοῦ οἰκείου ἀριθμοῦ, τὸ ἀξιόπιστον ἔχωσιν εἰς διόρθωσιν· οἳ καὶ τὴν ἐν Νικαίᾳ γραφεῖσαν παρὰ τῶν πατέρων ἡμῶν πίστιν ἀνανεώσονται καὶ τὴν αἵρεσιν ἐκκηρύξουσι καὶ ταῖς Ἐκκλησίαις τὰ εἰρηνικὰ διαλέξονται τοὺς τὰ αὐτὰ φρονοῦντας συνάγοντες εἰς ὁμόνοιαν. Τοῦτο γὰρ δήπου τὸ πάντων ἐλεεινότατον, ὅτι καὶ τὸ δοκοῦν ὑγιαίνειν ἐφ' ἑαυτὸ ἐμερίσθη, καὶ περιέστηκεν, ἡμᾶς, ὡς ἔοικε, παραπλήσια πάθη τοῖς ποτε κατὰ τὴν Βεσπασιανοῦ πολιορκίαν τὰ Ἱεροσόλυμα περισχοῦσιν. Ἐκεῖνοί τε γὰρ ὁμοῦ μὲν τῷ ἔξωθεν συνείχοντο πολέμῳ, ὁμοῦ δὲ καὶ τῇ ἔνδοθεν στάσει τῶν ὁμοφύλων κατηναλίσκοντο. Ἡμῖν δὲ πρὸς τῷ φανερῷ πολέμῳ τῶν αἱρετικῶν ἔτι καὶ ὁ παρὰ τῶν δοκούντων ὁμοδοξεῖν ἐπαναστὰς εἰς ἔσχατον ἀσθενείας τὰς Ἐκκλησίας κατήγαγεν. Ἐφ' ἅπερ καὶ μάλιστα τῆς παρ' ὑμῶν χρῄζομεν βοηθείας, ὥστε τοὺς τὴν ἀποστολικὴν ὁμολογοῦντας πίστιν, ἅπερ ἐπενόησαν σχίσματα διαλύσαντας, ὑποταγῆναι τοῦ λοιποῦ τῇ αὐθεντίᾳ τῆς Ἐκκλησίας, ἵνα ἄρτιον γένηται τὸ σῶμα τοῦ Χριστοῦ, πᾶσι τοῖς μέλεσιν εἰς ὁλοκληρίαν ἐπανελθόν, καὶ μὴ μόνον τὰ παρ' ἑτέροις μακαρίζωμεν ἀγαθά, ὅπερ νῦν ποιοῦμεν, ἀλλὰ καὶ τὰς ἡμετέρας αὐτῶν Ἐκκλησίας ἐπίδωμεν τὸ ἀρχαῖον καύχημα τῆς ὀρθοδοξίας ἀπολαβούσας. Τῷ ὄντι γὰρ τοῦ ἀνωτάτου μακαρισμοῦ ἄξιον τὸ τῇ ὑμετέρᾳ θεοσεβείᾳ χαρισθὲν παρὰ τοῦ

---

6. Μόνον διὰ νέας συνόδου οἰκουμενικῆς ἔβλεπεν ὁ Βασίλειος τὴν δυνατότητα διορθώσεως τῶν πραγμάτων· τοῦτο συνέβη μέν, ἀλλὰ μετὰ τὸν

ἡμᾶς, ἀλλὰ θὰ σᾶς τὸ ὑποδείξῃ τὸ Ἅγιον Πνεῦμα. Πάντως εἶναι ἀνάγκη ταχείας ἐνεργείας, διὰ νὰ περισωθοῦν ὅσοι ἀπέμειναν, καὶ παρουσίας πολυαρίθμων ἀδελφῶν, ὥστε ὅσοι ἔλθουν ἀπὸ αὐτοῦ νὰ συμπληρώσουν τὴν σύνοδον [6], οὕτως ὥστε νὰ ἔχουν τὴν αὐθεντίαν πρὸς διόρθωσιν τῶν πραγμάτων ὄχι μόνον ἀπὸ τὴν ἐπισημότητα αὐτῶν ποὺ τοὺς ἀπέστειλαν ἀλλὰ καὶ ἀπὸ τὸν ἰδικόν των ἀριθμόν. Αὐτοὶ καὶ τὴν ἐν Νικαίᾳ συνταχθεῖσαν ὑπὸ τῶν πατέρων ὁμολογίαν πίστεως θ' ἀνανεώσουν καὶ τὴν αἵρεσιν θ' ἀποκηρύξουν καὶ εἰς τὰς Ἐκκλησίας θ' ἀπευθύνουν εἰρηνικοὺς λόγους συνάγοντες εἰς ὁμόνοιαν τοὺς ὁμόφρονας.

Πράγματι δὲ τὸ ἐλεεινότατον ὅλων εἶναι τοῦτο, ὅτι καὶ ἐκεῖνο ποὺ φαίνεται ὑγιὲς διεσπάσθη ἐναντίον τοῦ ἑαυτοῦ του [7] καὶ μᾶς περιβάλλουν, ὅπως φαίνεται, δυστυχίαι παραπλήσιαι μ' ἐκείνας ποὺ κατέλαβαν τὰ Ἱεροσόλυμα κατὰ τὴν πολιορκίαν τοῦ Βεσπασιανοῦ. Οἱ Ἰουδαῖοι δηλαδὴ ταυτοχρόνως καὶ ἀπὸ τὸν ἐξωτερικὸν πόλεμον ἐπιέζοντο καὶ ἀπὸ τὴν ἐσωτερικὴν στάσιν τῶν ὁμοφύλων των κατεστρέφοντο. Εἰς ἡμᾶς δὲ ὡδήγησεν εἰς ἔσχατον κίνδυνον τὰς Ἐκκλησίας πλὴν τοῦ φανεροῦ πολέμου τῶν αἱρετικῶν καὶ ὁ κινηθεὶς ἀπὸ τοὺς νομιζομένους ὡς ὁμοδόξους. Διὰ αὐτὰ δὲ ἔχομεν μεγάλην ἀνάγκην τῆς ἐκ μέρους σας βοηθείας, ὥστε ἐκεῖνοι ποὺ ὁμολογοῦν τὴν ἀποστολικὴν πίστιν, νὰ διαλύσουν τὰ σχίσματα ποὺ ἐπενόησαν καὶ εἰς τὸ ἑξῆς νὰ ὑποταχθοῦν εἰς τὴν αὐθεντίαν τῆς Ἐκκλησίας.

Οὕτω θὰ γίνῃ ἄρτιον τὸ σῶμα τοῦ Χριστοῦ, ἐπανελθὸν εἰς τὴν ἀκεραιότητα ὅλων τῶν μελῶν, καὶ δὲν θὰ μακαρίζωμεν μόνον τὰ εἰς ἄλλους ὑπάρχοντα ἀγαθά, ὅπως πράττομεν τώρα, ἀλλὰ θὰ ἴδωμεν ν' ἀπολαμβάνουν καὶ αἱ ἰδικαί μας Ἐκκλησίαι τὸ ἀρχαῖον καύχημα τῆς Ὀρθοδοξίας.

Εἶναι δὲ πράγματι ἄξιον τοῦ ἀνωτάτου μακαρισμοῦ τὸ

θάνατον τοῦ Βασιλείου, τὸ 381 διὰ τῆς συγκλήσεως τῆς Β' Οἰκουμενικῆς συνόδου.

7. Ἀναφέρεται εἰς τὸ μεταξὺ τῶν Ὀρθοδόξων σχίσμα τῆς Ἀντιοχείας.

Κυρίου, τὸ μὲν κίβδηλον ἀπὸ τοῦ δοκίμου καὶ καθαροῦ διακρίνειν, τὴν δὲ τῶν πατέρων πίστιν ἄνευ τινὸς ὑποστολῆς κηρύσσειν, ἣν καὶ ἡμεῖς ἐδεξάμεθα καὶ ἐπέγνωμεν ἐκ τῶν ἀποστολικῶν χαρακτήρων μεμορφωμένην, συνθέμενοι καὶ αὐτῇ καὶ πᾶσι τοῖς ἐν τῷ συνοδικῷ γράμματι κανονικῶς καὶ ἐνθέσμως δεδογματισμένοις.

8. Ὁ Βασίλειος ἐννοεῖ τὸ σύμβολον τῆς Νικαίας καὶ τὴν συνοδικὴν ἐπιστολήν, ἡ ὁποία τὸ συνώδευσε.

χάρισμα ποὺ ἐδόθη ἀπὸ τὸν Κύριον εἰς τὴν θεοσέβειάν σας, τὸ νὰ διακρίνετε δηλαδὴ τὸ κίβδηλον ἀπὸ τὸ γνήσιον καὶ καθαρόν, τὴν δὲ ὁμολογίαν πίστεως τῶν πατέρων νὰ κηρύσσετε χωρὶς καμμίαν ὑποχώρησιν. Τὴν ὁμολογίαν τὴν ὁποίαν καὶ ἡμεῖς ἐδέχθημεν καὶ ἀνεγνωρίσαμεν ὡς διατυπωμένην μὲ τοὺς ἀποστολικοὺς χαρακτῆρας, συμφωνοῦντες καὶ μὲ αὐτὴν καὶ μὲ ὅλα τὰ εἰς τὸ συνοδικὸν γράμμα κανονικῶς καὶ νομίμως δογματισμένα [8].

207

119. ΕΥΣΤΑΘΙΩ ΕΠΙΣΚΟΠΩ ΣΕΒΑΣΤΕΙΑΣ

Καὶ διὰ τοῦ αἰδεσιμωτάτου καὶ εὐλαβεστάτου ἀδελφοῦ Πέτρου προσφθέγγομαί σου τὴν ἀγάπην παρακαλῶν σε ὡς διὰ πάσης προφάσεως καὶ νῦν προσεύχεσθαι ὑπὲρ ἐμοῦ, ἵνα μεταβαλλόμενος ἀπὸ τοῦ ἀπευκτοῦ τούτου καὶ βλαβεροῦ τρόπου γένωμαί ποτε ἄξιος τοῦ ὀνόματος τοῦ Χριστοῦ. Πάντως δέ, κἂν ἐγὼ μὴ λέγω, διαλεχθήσεσθε πρὸς ἀλλήλους περὶ τῶν καθ' ἡμᾶς καὶ γνωρίσει σοι τὴν ἀκρίβειαν τῶν πεπραγμένων, ὥστε μὴ παραδεχθῆναι ἀβασανίστως τὰς πονηρὰς καθ' ἡμῶν ὑπονοίας ἃς εἰκὸς κατασκευάζειν τοὺς καὶ παρὰ τὸν τοῦ Θεοῦ φόβον καὶ παρὰ τὴν τῶν ἀνθρώπων ὑπόληψιν εἰς ἡμᾶς ἐξυβρίσαντας. Οἷα γὰρ ἡμῖν ἐνεδείξατο ὁ γενναῖος Βασίλειος δν ἀντὶ φυλακτηρίου τῆς ἐμῆς ζωῆς παρὰ τῆς σῆς εὐλαβείας ὑπεδεξάμην ἐγὼ μὲν καὶ εἰπεῖν αἰσχύνομαι, εἴσει δὲ τὰ καθ' ἕκαστον παρὰ τοῦ ἀδελφοῦ ἡμῶν διδαχθείς. Καὶ τοῦτο λέγω οὐκ ἐκεῖνον ἀμυνόμενος (εὔχομαι γὰρ αὐτῷ μὴ λογισθῆναι παρὰ τοῦ Κυρίου), ἀλλὰ βεβαίαν μοι τὴν παρὰ σοῦ

Ἐπιστολὴ 119. Ἐγράφη τὸ φθινόπωρον τοῦ 372 πιθανῶς. Εἶχαν ἀρχίσει τώρα νὰ ἐκδηλώνωνται τὰ ἐναντίον τοῦ Βασιλείου φρονήματα τοῦ Εὐσταθίου Σεβαστείας. Ὁ Εὐστάθιος τοῦ εἶχε συστήσει δύο μοναχούς του διὰ νὰ τοὺς παραλάβῃ ὡς ἀμέσους συνεργάτας, τὸν Βασίλειον καὶ τὸν Σω-

207

ΕΠΙΣΤΟΛΗ 119
ΠΡΟΣ ΕΥΣΤΑΘΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΕΒΑΣΤΕΙΑΣ

Προσφωνῶ τὴν ἀγάπην σου διὰ τοῦ αἰδεσιμωτάτου καὶ εὐλαβεστάτου ἀδελφοῦ Πέτρου καὶ σὲ παρακαλῶ, ὅπως εἰς κάθε ἄλλην περίστασιν, νὰ προσεύχεσαι καὶ τώρα ὑπὲρ ἐμοῦ, ὥστε ἀπαλλασσόμενος ἀπὸ αὐτὴν τὴν ἀπαισίαν καὶ βλαβερὰν διαγωγὴν νὰ γίνω κάποτε ἄξιος τοῦ ὀνόματος τοῦ Χριστοῦ. Πάντως δέ, καὶ τίποτε νὰ μὴ εἴπω ἐγώ, σεῖς θὰ συζητήσετε μεταξύ σας περὶ τῶν ἰδικῶν μας καὶ θὰ σοῦ γνωρίσῃ ἀκριβῶς τὰ ὅσα ἐπράχθησαν, ὥστε νὰ μὴ παραδέχεσαι ἀβασανίστως τὰς πονηρὰς ἐναντίον μας διαβολάς, τὰς ὁποίας εἶναι εὔλογον νὰ κατασκευάζουν ἐκεῖνοι ποὺ μᾶς ὑβρίζουν περιφρονοῦντες τὸν φόβον τοῦ Θεοῦ καὶ τὴν ὑπόληψιν τῶν ἀνθρώπων.

Ποίαν συμπεριφορὰν ἐπέδειξεν ἔναντι ἡμῶν ὁ γενναῖος Βασίλειος, τὸν ὁποῖον ὑπεδέχθην ἐγὼ ἀπὸ τὴν εὐλάβειάν σου ὡς φύλακα τῆς ζωῆς μου, ἐντρέπομαι καὶ νὰ τὸ εἴπω, θὰ μάθῃς δὲ τὰ καθ' ἕκαστα ἀπὸ τὸν ἀδελφόν μας. Λέγω δὲ τοῦτο ὄχι πρὸς ἐκδίκησιν —εὔχομαι μάλιστα νὰ μὴ ὑπολογισθῇ εἰς αὐτὸν ἀπὸ τὸν Κύριον—, ἀλλὰ διὰ νὰ λάβω μέτρα πρὸς διατήρησιν

φρόνιον, ἀλλ' αὐτοὶ ἀπεδείχθησαν διαβολεῖς. Βλ. ἐπιστολὴν 223 Β' τ. πρὸς Εὐστάθιον. Ποία εἶναι ἡ διαβολή, δὲν εἶναι γνωστόν. Πρὸς συγκράτησιν τῆς καταστάσεως ὁ Βασίλειος ἔγραψε πρὸς τὸν Εὐστάθιον τὴν ἐπιστολὴν ταύτην καὶ τὴν ἔστειλε μέσῳ τοῦ ἀδελφοῦ του Πέτρου — ὁ ὁποῖος ἐπρόκειτο νὰ διαδεχθῇ ἀργότερα τὸν Εὐστάθιον —, ἀλλ' ἡ διάστασις δὲν ἀπεφεύχθη.

ἀγάπην μεῖναι ἡμῖν διοικούμενος, ἣν φοβοῦμαι μὴ διασαλεύσωσι ταῖς ὑπερβολαῖς τῶν διαβολῶν ἃς εἰκὸς αὐτοὺς κατασκευάσαι εἰς ἀπολογίαν τοῦ πταίσματος. Ὅπερ δ' ἂν κατηγορήσωσιν ἡμῶν, ἐκεῖνο παρὰ τῆς σῆς ἀγχινοίας ἐξεταζέσθωσαν εἰ ἐνεκάλεσαν ἡμῖν ἢ τὴν διόρθωσιν τοῦ ἁμαρτήματος οὗ νῦν ἡμῖν ἐπάγουσιν ἐπεζήτησαν ἢ ὅλως φανερὰν ἑαυτῶν τὴν πρὸς ἡμᾶς λύπην κατέστησαν. Νῦν δὲ ἐν φαιδρῷ τῷ προσώπῳ καὶ τετιμημένοις ἀγάπης ῥήμασιν ἀμύθητόν τινα δόλου καὶ πικρίας βυθὸν τῆς ψυχῆς συγκαλύπτοντες διὰ τῆς ἀνελευθέρου σιωπῆς ἐφανέρωσαν. Ἐφ' ᾧ ὅσον μὲν προξενοῦμεν τὸν γέλωτα τοῖς ἀεὶ τὸν εὐλαβῆ βίον ἐν τῇ ἀθλίᾳ ταύτῃ πόλει βδελυσσομένοις καὶ τέχνην πρὸς τὸ πιστευθῆναι καὶ σχηματισμὸν εἰς ἀπάτην τὸ πλάσμα τῆς ταπεινοφροσύνης διαβεβαιουμένοις ἐπιτηδεύεσθαι, πάντως, κἂν ἡμεῖς μὴ διηγησώμεθα, γνώριμον τῇ συνέσει σου· ὡς μηδὲν ἐπιτήδευμα οὕτως ὕποπτον εἶναι πρὸς κακίαν λοιπὸν τοῖς ἐνταῦθα ὡς τὸ ἐπάγγελμα τοῦ ἀσκητικοῦ βίου. Ὅπως δὲ χρὴ θεραπευθῆναι τῆς σῆς ἂν εἴη συνέσεως φροντίσαι. Τὰ γὰρ παρὰ Σωφρονίου συνερραμμένα ἐγκλήματα ἡμῖν οὐκ ἀγαθῶν ἐστι προοίμια, ἀλλ' ἀρχὴ διαιρέσεως καὶ χωρισμοῦ καὶ σπουδὴ τοῦ καὶ τὴν ἐν ἡμῖν ἀγάπην ἀποψυγῆναι. Ὃν ὑπὸ τῆς σῆς εὐσπλαγχνίας παρακαλοῦμεν κατασχεθῆναι ἀπὸ τῆς βλαβερᾶς ταύτης ὁρμῆς καὶ πειραθῆναι τῇ παρ' ἑαυτοῦ ἀγάπῃ κατασφίγγειν μᾶλλον τὰ διιστάμενα ἢ τοῖς πρὸς διάστασιν ὡρμημένοις συνεπιτείνειν τὸν χωρισμόν.

τῆς ἀγάπης σου πρὸς ἡμᾶς, τὴν ὁποίαν φοβοῦμαι μήπως διασαλεύσουν μὲ τὰς ὑπερβολικὰς διαβολάς ποὺ εἶναι φυσικὸν νὰ κατασκευάσουν πρὸς ἀπολογίαν διὰ τὸ πταῖσμα. Ὅποιον καὶ ἂν εἶναι τὸ σφάλμα διὰ τὸ ὁποῖον θὰ μᾶς κατηγορήσουν, ἂς ἐξετασθοῦν ἀπὸ τὴν ὀξύνοιάν σου εἰς τοῦτο· ἐὰν δηλαδὴ ἔκαμαν ἐπίσημον καταγγελίαν ἐναντίον μας ἢ ἐζήτησαν τὴν διόρθωσιν τοῦ σφάλματος τὸ ὁποῖον μᾶς ἀποδίδουν τώρα ἢ γενικῶς ἂν κατέστησαν φανερὰν τὴν ἐξ αἰτίας μας λύπην των. Τώρα δὲ ἐφανέρωσαν τὸν ἀπερίγραπτον δόλον καὶ τὴν βαθεῖαν πίκραν τῆς ψυχῆς των ποὺ ἄλλοτε συνεκάλυπταν μὲ τὸ γελαστὸν πρόσωπον καὶ τὰ τιμητικὰ λόγια ἀγάπης.

Πόσον δὲ γέλωτα προξενοῦμεν ὡς ἐκ τούτου εἰς τοὺς πάντοτε περιφρονοῦντας τὸν εὐσεβῆ βίον εἰς τὴν ἀθλίαν ταύτην πόλιν καὶ ἰσχυριζομένους ὅτι ἡ ἐπίπλαστος ταπεινοφροσύνη χρησιμοποιεῖται ὡς τέχνασμα πρὸς ἀπόκτησιν τῆς ἐμπιστοσύνης καὶ σχῆμα πρὸς ἐξαπάτησιν, πάντως καὶ χωρὶς νὰ τὸ ἐκθέσωμεν ἡμεῖς εἶναι γνώριμον εἰς τὴν σύνεσίν σου· διότι καμμία μορφὴ βίου δὲν εἶναι τόσον ὕποπτος διὰ κακίαν εἰς τὸν λαὸν ἐδῶ ὅπως εἶναι τὸ ἐπάγγελμα τοῦ ἀσκητικοῦ βίου.

Πῶς δὲ πρέπει νὰ θεραπευθοῦν αὐτά, ἀνήκει εἰς τὴν φροντίδα τῆς συνέσεώς σου. Διότι αἱ κατηγορίαι ποὺ ἐξυφάνθησαν ἀπὸ τὸν Σωφρόνιον ἐναντίον ἡμῶν δὲν εἶναι προοίμιον ἀγαθῶν ἐξελίξεων, ἀλλὰ ἀρχὴ διαιρέσεως καὶ χωρισμοῦ καὶ ὑποκίνησις ψυχράνσεως καὶ τῆς μεταξὺ ἡμῶν ἀγάπης. Παρακαλοῦμεν νὰ συγκρατηθῇ ἀπὸ τὴν εὐσπλαγχνίαν σου ὁ ἄνθρωπος αὐτὸς ἐκ τῆς βλαβερᾶς του ταύτης ὁρμῆς καὶ νὰ ἐπιχειρήσῃς νὰ συσφίξῃς μᾶλλον τὰ διιστάμενα παρὰ νὰ ἐπιτείνῃς τὸν χωρισμὸν ἐκείνων ποὺ ἐξεκίνησαν διὰ τὴν διάστασιν.

208

226. ΤΟΙΣ ΥΦ' ΕΑΥΤΟΝ ΑΣΚΗΤΑΙΣ

1. Δυνατὸς μὲν ὁ ἅγιος Θεὸς καὶ τὴν διὰ τῆς συντυχίας εὐφροσύνην ἡμῖν χαρίσασθαι τοῖς ἐπιθυμοῦσι καὶ βλέπειν ὑμᾶς ἀεὶ καὶ ἀκούειν τὰ περὶ ὑμῶν· διότι ἐν οὐδενὶ ἑτέρῳ ἔχομεν τὴν ἀνάπαυσιν τῶν ψυχῶν, ἢ ἐν τῇ προκοπῇ τῇ ὑμετέρᾳ καὶ τῇ διὰ τῶν ἐντολῶν τοῦ Χριστοῦ τελειώσει. Ἕως δὲ τοῦθ' ἡμῖν οὐχ ὑπάρχει, ἀναγκαῖον τιθέμεθα διὰ τῶν γνησιωτάτων καὶ φοβουμένων τὸν Κύριον ἀδελφῶν ἐπισκέπτεσθαι ὑμᾶς καὶ γράμμασι προσομιλεῖν τῇ ἀγάπῃ ὑμῶν. Αὐτοῦ οὖν τούτου ἕνεκεν ἀπεστείλαμεν τὸν εὐλαβέστατον καὶ γνησιώτατον ἀδελφὸν ἡμῶν καὶ συνεργὸν τοῦ Εὐαγγελίου Μελίτιον, τὸν συμπρεσβύτερον, ὃς διηγήσεται ὑμῖν τὸν ἡμέτερον πόθον ὃν ἔχομεν ἐφ' ὑμῖν καὶ τὴν μέριμναν τῶν ψυχῶν ὑμῶν, ὅτι νυκτὸς καὶ ἡμέρας δεόμεθα τοῦ Κυρίου περὶ τῆς ὑμῶν εὐδοκιμήσεως, ἵνα καὶ ἡμεῖς ἔχωμεν παρρησίαν ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τῆς ὑμῶν σωτηρίας, καὶ ὑμεῖς ἐκλάμψητε ἐν τῇ λαμπρότητι τῶν ἁγίων, δοκιμαζομένου ὑμῶν τοῦ ἔργου ὑπὸ τῆς δικαιοκρισίας τοῦ Θεοῦ. Ἅμα δὲ ἡμῖν πολλὴν μέριμναν ἐμποιεῖ τοῦ κατασχόντος καιροῦ τούτου ἡ χαλεπότης, ἐν ᾧ πᾶσαι μὲν Ἐκκλησίαι ἐσαλεύθησαν, πᾶσαι δὲ ψυχαὶ σινιάζονται. Ἤνοιξαν γὰρ στόματά τινες ἀφειδῶς κατὰ τῶν ὁμοδούλων. Λαλεῖται τὸ ψεῦδος ἀφόβως, ἡ ἀλήθεια συγκεκάλυπται. Καὶ οἱ μὲν κατηγορούμενοι καταδικάζονται ἀκρίτως, οἱ δὲ κατηγοροῦντες πιστεύονται ἀνεξετάστως. Ὅθεν κἀγὼ ἀκούσας ὅτι πολλαὶ κατ' ἐμοῦ περιφέρονται ἐπιστολαί, στίζουσαι ἡμᾶς καὶ στηλιτεύουσαι καὶ

Ἐπιστολὴ 226. Ἐγράφη τὸν Δεκέμβριον τοῦ 375. Αἱ ἐναντίον τοῦ Βασιλείου κατηγορίαι τοῦ Εὐσταθίου ἔτειναν νὰ καταλύσουν τὸ κῦρός του ἀ-

208

ΕΠΙΣΤΟΛΗ 226
ΠΡΟΣ ΤΟΥΣ ΥΠ' ΑΥΤΟΝ ΑΣΚΗΤΑΣ

1. Βεβαίως ὁ ἅγιος Θεὸς εἶναι ἱκανὸς νὰ χαρίσῃ εἰς ἡμᾶς ποὺ ἐπιθυμοῦμεν καὶ νὰ σᾶς βλέπωμεν πάντοτε καὶ ν' ἀκούωμεν τὰ σχετικὰ μὲ σᾶς καὶ τὴν εὐφροσύνην ποὺ προσφέρει ἡ συνάντησις· διότι εἰς τίποτε ἄλλο δὲν εὑρίσκομεν τὴν ἀνάπαυσιν τῶν ψυχῶν παρὰ εἰς τὴν προκοπὴν καὶ τὴν διὰ τῶν ἐντολῶν τοῦ Χριστοῦ τελείωσίν σας. Ἕως ὅτου δὲ λείπει τοῦτο, θεωροῦμεν ἀναγκαῖον νὰ σᾶς ἐπισκεπτώμεθα διὰ μέσου τῶν γνησιωτάτων καὶ φοβουμένων τὸν Κύριον ἀδελφῶν καὶ νὰ συνομιλῶμεν μὲ τὴν ἀγάπην σας δι' ἐπιστολῶν. Διὰ τὸν λόγον αὐτὸν λοιπὸν ἀπεστείλαμεν τὸν εὐλαβέστατον καὶ γνησιώτατον ἀδελφὸν ἡμῶν καὶ συνεργάτην τοῦ Εὐαγγελίου Μελίτιον, τὸν συμπρεσβύτερον, ὁ ὁποῖος θὰ σᾶς περιγράψῃ τὸν πόθον ποὺ ἔχομεν διὰ σᾶς καὶ τὴν φροντίδα τῶν ψυχῶν σας, ὅτι δηλαδὴ νύκτα καὶ ἡμέραν ἀπευθύνομεν πρὸς τὸν Κύριον δέησιν διὰ τὴν εὐδοκίμησίν σας, οὕτως ὥστε καὶ ἡμεῖς νὰ ἔχωμεν παρρησίαν κατὰ τὴν ἡμέραν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διὰ τῆς σωτηρίας σας καὶ σεῖς νὰ ἐκλάμψετε εἰς τὴν λαμπρότητα τῶν ἁγίων δι' ἐγκρίσεως τοῦ ἔργου σας ἀπὸ τὸν δικαιοκρίτην Θεόν.

Ἐξ ἄλλου πολλὴν ἀνησυχίαν μᾶς προκαλεῖ ἡ δυσκολία τοῦ παρόντος καιροῦ, κατὰ τὸν ὁποῖον ὅλαι αἱ Ἐκκλησίαι ἐσαλεύθησαν καὶ ὅλαι αἱ ψυχαὶ κοσκινίζονται. Διότι μερικοὶ ἤνοιξαν στόματα ἀλύπητα κατὰ τῶν ὁμοδούλων. Λαλεῖται τὸ ψεῦδος ἀφόβως, ἡ ἀλήθεια συγκαλύπτεται. Οἱ μὲν κατηγορούμενοι καταδικάζονται ἄκριτα, οἱ δὲ κατηγοροῦντες εἰσακούονται ἀνεξέταστα. Διὰ τοῦτο καὶ ἐγώ, ἀκούσας ὅτι πολλαὶ ἐπιστολαὶ περιφέρονται ἐναντίον μου, στιγματίζουσαι ἡμᾶς καὶ

κόμη καὶ εἰς τὰς μοναχικάς του κοινότητας. Μὲ τὴν παροῦσαν ἐπιστολὴν οὗτος ἐξηγεῖ τὴν θέσιν του ἐπὶ τοῦ προκειμένου.

κατηγοροῦσαι ἐπὶ πράγμασιν ὧν τὴν ἀπολογίαν ἑτοίμην ἔχομεν ἐπὶ τοῦ δικαστηρίου τῆς ἀληθείας, ὥρμησα μὲν σιωπῆσαι, δ καὶ ἐποίησα. Τρίτον γὰρ ἤδη τοῦτο ἔτος ἐστὶν ἐν ᾧ τυπτώμενος ὑπὸ τῶν διαβολῶν φέρω τὰς τῆς κατηγορίας μάστιγας, ἀρκούμενος ὅτι ἔχω Κύριον, τὸν τῶν κρυπτῶν γνώστην, μάρτυρα τῆς συκοφαντίας. Ἐπειδὴ δὲ ὁρῶ ὅτι πολλοὶ ἤδη τὴν σιωπὴν ἡμῶν εἰς βεβαίωσιν τῶν διαβολῶν παρεδέξαντο καὶ οὐ διὰ μακροθυμίαν ἐνόμισαν ἡμᾶς σιωπᾶν, ἀλλὰ διὰ τὸ μὴ ἔχειν διᾶραι στόμα πρὸς τὴν ἀλήθειαν, τούτου ἕνεκεν ἐπειράθην ἐπιστεῖλαι ὑμῖν, παρακαλῶν τὴν ἐν Χριστῷ ἀγάπην ὑμῶν ὥστε τὰς ἐξ ἑνὸς μέρους γινομένας διαβολὰς μὴ πάντη παραδέχεσθαι ὡς ἀληθεῖς, διότι, καθὼς γέγραπται, οὐδένα κρίνει ὁ νόμος, ἐὰν μὴ πρῶτον ἀκούσῃ καὶ γνῷ τί ποιεῖ.

2. Καίτοι εὐγνώμονι κριτῇ ἀρκεῖ αὐτὰ τὰ πράγματα πρὸς τὴν τῆς ἀληθείας φανέρωσιν. Ὥστε κἂν ἡμεῖς σιωπῶμεν, ἔξεστιν ὑμῖν διαβλέψαι πρὸς τὰ γινόμενα. Οἱ γὰρ ἡμῖν κακοδοξίαν ἐγκαλοῦντες ἐφάνησαν νῦν ἐκ τοῦ προφανοῦς τῇ μερίδι τῶν αἱρετικῶν προστιθέμενοι· οἱ ὑπὲρ ἀλλοτρίων συνταγμάτων ἡμᾶς κατακρίνοντες ταῖς ἰδίαις ὁμολογίαις, ἃς ἐγγράφους ἡμῖν κατέθεντο, ἐναντιούμενοι φαίνονται. Νοήσατε τὴν συνήθειαν τῶν ταῦτα τολμώντων, ὅτι ἔθος αὐτοῖς ἀεὶ πρὸς τὸ δυνατὸν μετατίθεσθαι μέρος, καὶ τοὺς μὲν ἀσθενοῦντας τῶν φίλων καταπατεῖν, θεραπεύειν δὲ τοὺς κρατοῦντας. Οἱ γὰρ τὰς πολυθρυλήτους ἐκείνας ἐπιστολὰς κατὰ Εὐδοξίου καὶ πάσης αὐτῶν τῆς μερίδος συγγράφοντες καὶ περιπέμποντες πάσαις ταῖς ἀδελφότησι καὶ διαμαρτυρόμενοι φεύγειν τὴν κοινωνίαν αὐτῶν ὡς ὄλεθρον τῶν ψυχῶν καὶ διὰ τοῦτο μὴ κατα-

---

1. Ἰω. 7, 51.
2. Ὁ Εὐδόξιος ὑπῆρξεν ἐπίσκοπος Κωνσταντινουπόλεως, μετατεθεὶς

στηλιτεύουσαι καὶ κατηγοροῦσαι διὰ πράγματα, περὶ τῶν ὁποίων ἔχομεν ἑτοίμην τὴν ἀπολογίαν εἰς τὸ δικαστήριον τῆς ἀληθείας, ἀπεφάσισα νὰ σιωπήσω, ὅπως καὶ ἔπραξα. Πράγματι εἶναι τοῦτο τὸ τρίτον ἔτος κατὰ τὸ ὁποῖον, κτυπώμενος ἀπὸ τὰς διαβολὰς ὑποφέρω μαστιγώματα τῆς κατηγορίας, ἀρκούμενος εἰς τὸ ὅτι ἔχω ὡς μάρτυρα τῆς συκοφαντίας τὸν Κύριον, ὁ ὁποῖος εἶναι γνώστης τῶν κρυπτῶν. Ἐπειδὴ ὅμως βλέπω ὅτι ἤδη πολλοὶ ἐξέλαβαν τὴν σιωπήν μας ὡς ἐπιβεβαίωσιν τῶν διαβολῶν καὶ δὲν ἐνόμισαν ὅτι σιωπῶμεν ἀπὸ μακροθυμίαν, ἀλλὰ διὰ τὸ ὅτι δὲν δυνάμεθα ν' ἀνοίξωμεν τὸ στόμα πρὸς τὴν ἀλήθειαν, διὰ τοῦτο ἐπεχείρησα νὰ σᾶς γράψω, παρακαλῶν τὴν ἐν Χριστῷ ἀγάπην σας νὰ μὴ παραδέχεσθε καθ' ὁποιονδήποτε τρόπον τὰς διαβολὰς ποὺ προέρχονται ἀπὸ ἕνα μέρος ὡς ἀληθεῖς, διότι, ὅπως ἔχει γραφῆ, ὁ νόμος δὲν κρίνει κανένα, ἐὰν πρῶτα δὲν ἀκούσῃ καὶ μάθῃ τί κάμνει [1].

2. Ἐν τούτοις εἰς νοήμονα κριτὴν αὐτὰ τὰ πράγματα εἶναι ἀρκετὰ διὰ τὴν φανέρωσιν τῆς ἀληθείας. Ὥστε καὶ ἂν ἡμεῖς σιωπῶμεν, εἶναι δυνατὸν νὰ ἀντιληφθῆτε τί συμβαίνει. Διότι οἱ κατήγοροί μας διὰ κακοδοξίαν ἐφάνησαν τώρα ὅτι προσχωροῦν ἀνοικτὰ εἰς τὴν μερίδα τῶν αἱρετικῶν. Αὐτοὶ ποὺ μᾶς κατακρίνουν διὰ ξένα συγγράμματα φαίνονται ὅτι ἀντιτίθενται εἰς τὰς ἰδικάς των ὁμολογίας, ποὺ κατέθεσαν εἰς ἡμᾶς ἐγγράφως. Κατανοήσατε τὴν συνήθειαν τῶν τολμώντων αὐτά, ὅτι δηλαδὴ συνηθίζουν πάντοτε νὰ μετατίθενται πρὸς τὸ ἰσχυρὸν μέρος, καὶ τοὺς μὲν ἀσθενεῖς τῶν φίλων των νὰ καταπατοῦν, τοὺς δὲ δυνατοὺς νὰ περιποιοῦνται. Αὐτοὶ ποὺ συνέγραψαν ἐκείνας τὰς πολυθρυλήτους ἐπιστολὰς κατὰ τοῦ Εὐδοξίου [2] καὶ ὁλοκλήρου τῆς μερίδος του, ποὺ τὰς περιέφεραν εἰς ὅλας τὰς ἀδελφότητας, ποὺ προέτρεπαν ἀποφυγὴν τῆς κοινωνίας μὲ αὐτοὺς ὡς ὄλεθρον τῶν ψυχῶν, καὶ διὰ τοῦτο δὲν παρεδέ-

---

εἰς αὐτὴν ἀπὸ τὴν Ἀντιόχειαν. Ἀνῆκεν εἰς τὴν ἀρειανικὴν παράταξιν τῶν Ὁμοίων. Ὁ Εὐστάθιος ἦτο ὁμοιουσιανός.

δεξάμενοι τὰς ἐπὶ τῇ καθαιρέσει αὐτῶν ἐξενεχθείσας ψήφους, ἐπειδὴ παρ' αἱρετικῶν ἦσαν γενόμεναι, ὡς ἔπειθον ἡμᾶς τότε, οὗτοι νῦν πάντων ἐπιλαθόμενοι μετ' αὐτῶν γεγόνασι. Καὶ οὐδεμία αὐτοῖς ἄρνησις καταλείπεται· φανερῶς γὰρ ἀπεκάλυψαν ἑαυτῶν τὴν προαίρεσιν, ἐν Ἀγκύρᾳ τὰς κατ' οἶκον αὐτῶν κοινωνίας ἀσπαζόμενοι, ἐπειδὴ εἰς τὸ κοινὸν ὑπ' αὐτῶν ἐκείνων οὔπω ἐδέχθησαν. Ἐρωτήσατε οὖν αὐτοὺς εἰ ὀρθόδοξος νῦν Βασιλείδης, ὁ κοινωνικὸς Ἐκδικίου, διὰ τί ἀπὸ τῆς Δαρδανίας ἐπανιόντες τὰ θυσιαστήρια ἐκίνουν ἐν τῇ χώρᾳ τῶν Γαγγρηνῶν καὶ ἑαυτῶν τραπέζας ἐτίθεσαν· διὰ τί μέχρι καὶ νῦν ἐπέρχονται ταῖς Ἐκκλησίαις τῆς Ἀμασείας καὶ Ζήλων καὶ παρ' ἑαυτῶν ἐγκαθιστῶσι πρεσβυτέρους καὶ διακόνους. Εἰ μὲν γὰρ ὡς ὀρθοδόξοις κοινωνοῦσι, τίνος ἕνεκεν ὡς αἱρετικοῖς ἐπέρχονται; Εἰ δὲ αἱρετικοὺς ὑπειλήφασι, πῶς τὴν κοινωνίαν αὐτῶν οὐκ ἐκτρέπονται; Ταῦτα οὐχὶ καὶ παιδικῇ διανοίᾳ δῆλά ἐστιν, ἀδελφοὶ τιμιώτατοι, ὅτι ἀεὶ πρὸς τὸ ἴδιον συμφέρον βλέποντες ἢ διαβάλλειν τινὰς ἢ συνιστᾶν ἐπιχειροῦσι; Καὶ ἡμῶν τοίνυν ἀπέστησαν οὔτε ἀγανακτήσαντες ὅτι οὐκ ἀντεγράψαμεν (τοῦτο γάρ ἐστιν ὑφ' οὗ μάλιστα λέγουσι παρωξύνθαι), οὔτε ὅτι τοὺς χωρεπισκόπους οὓς λέγουσιν ἀπεσταλκέναι οὐκ ἐδεξάμεθα. Καίτοι δώσουσι λόγον τῷ Κυρίῳ οἱ τοῦτο κατασκευάζοντες. Εἷς γάρ τις Εὐστάθιος, ἀποσταλεὶς καὶ γράμματα διαδοὺς τῇ τάξει τοῦ Οὐικαρίου, τρεῖς ἡμέρας ποιήσας ἐπὶ τῆς πόλεως καὶ μέλλων ἀπαίρειν ἐπὶ τὰ ἴδια, ἑσπέρας ἤδη βαθείας, καθεύδοντί μοι λέγεται πλησιάσαι τῷ οἰκήματι ἡμῶν. Ἀκούσας δὲ ὅτι καθεύδω, ἀπελθών, οὐκέτι τῇ ὑστεραίᾳ ἡμῖν προσήγγισεν, ἀλλ' οὕτως ἀφο-

---

3. Ὁ Βασιλείδης ἦτο ἐπίσκοπος Γάγγρας. Ὁ Εὐδόκιος ἦτο ὁ πρεσβύτερος τὸν ὁποῖον ὁ βικάριος τοῦ Πόντου Δημοσθένης ἐτοποθέτησεν ἐπίσκοπον Παρνασσοῦ τοῦ Πόντου, ἀφοῦ ἀπεμάκρυνεν ἀπὸ ἐκεῖ τὸν ὀρθόδοξον Ὑψῖνον.

χθησαν τὰς δοθείσας ὑπὲρ τῆς καθαιρέσεώς των ψήφους, ἐπειδὴ αὐταί προήρχοντο ἀπὸ αἱρετικούς, ὅπως ἔπεισαν ἡμᾶς τότε, λησμονήσαντες τὰ πάντα, εἶναι τώρα μαζὶ μὲ ἐκείνους.

Καὶ δὲν τοὺς ὑπολείπεται καμμία εὐχέρεια ἀρνήσεως· διότι ἀπεκάλυψαν τὴν προαίρεσίν των φανερά, ἀφοῦ ἐδέχθησαν μὲ ἐναγκαλισμοὺς τὴν κοινωνίαν αὐτῶν κατ' οἶκον εἰς τὴν Ἄγκυραν, ἐπειδὴ δημοσίᾳ δὲν εἶχαν γίνει ἀκόμη δεκτοί. Ἐρωτήσατε λοιπὸν αὐτούς, ἐὰν εἶναι ὀρθόδοξος τώρα ὁ Βασιλείδης, ὁ κοινωνικὸς τοῦ Ἐκδικίου[3], διατί, ὅταν ἐπέστρεφαν ἀπὸ τὴν Δαρδανίαν, κατέστρεφαν τὰ θυσιαστήρια εἰς τὴν χώραν τῶν Γαγγρηνῶν καὶ ἐγκαθιστοῦσαν ἰδικάς των τραπέζας· διατί ἕως καὶ σήμερα εἰσβάλλουν εἰς τὰς Ἐκκλησίας τῆς Ἀμασείας καὶ τῶν Ζήλων καὶ ἐγκαθιστοῦν ἰδικούς των πρεσβυτέρους καὶ διακόνους. Ἐὰν μὲν κοινωνοῦν μαζὶ μὲ αὐτοὺς ὡς ὀρθοδόξους, διατί τοὺς διώκουν ὡς αἱρετικούς; Ἐὰν δὲ τοὺς ἐκλαμβάνουν ὡς αἱρετικούς, πῶς δὲν ἀπομακρύνονται τῆς κοινωνίας των; Δὲν εἶναι φανερὸν καὶ εἰς παιδικὸν νοῦν ἀκόμη, ἀδελφοὶ τιμιώτατοι, ὅτι τὰ κάμουν αὐτὰ διότι ἀποβλέποντες πάντοτε πρὸς τὸ συμφέρον των ἐπιχειροῦν ἢ νὰ διαβάλλουν κάποιους ἢ νὰ συνιστοῦν κάποιους;

Καὶ ἀπὸ ἡμᾶς λοιπὸν ἀπεμακρύνθησαν, ὄχι ἐπειδὴ ἠγανάκτησαν διότι δὲν τοὺς ἀπηντήσαμεν —διότι αὐτὸ εἶναι τὸ αἴτιον διὰ τὸ ὁποῖον λέγουν ὅτι ἠρεθίσθησαν πολύ—, οὔτε ἐπειδὴ δὲν ἐδέχθημεν τοὺς ἐπισκόπους ποὺ λέγουν ὅτι εἶχαν ἀποστείλει. Κάποιος Εὐστάθιος [4], ὁ ὁποῖος ἐστάλη καὶ ἔδωσεν ἐπιστολὴν εἰς τὸ ἀνάκτορον τοῦ βικαρίου, ἀφοῦ ἔμεινε τρεῖς ἡμέρας εἰς τὴν πόλιν καὶ ἐπρόκειτο νὰ ἐπιστρέψῃ εἰς τὴν ἔδραν του, λέγεται ὅτι ἐπλησίασεν εἰς τὸ οἴκημα ἡμῶν, προχωρημένην νύκτα πλέον, ἐνῷ ἐγὼ ἐκοιμώμην. Ἀκούσας δὲ ὅτι κοιμῶμαι, ἀνεχώρησε καὶ δὲν μᾶς ἐπλησίασε τὴν ἐπομένην, ἀλλ' ἀφοῦ

---

4. Προφανῶς αὐτὸς ἦτο ἕνας ἀπὸ τοὺς βοηθοὺς τοῦ Εὐσταθίου Σεβαστείας.

σιωσάμενος τὸ καθ' ἡμᾶς ἐπανῆλθε. Καὶ τοῦτό ἐστι τὸ ἔγκλημα ὃ ἠδικήσαμεν ἡμεῖς, καὶ οἱ μακρόθυμοι οὐκ ἀντεστάθμισαν τὴν πρὸ τούτου δουλείαν ἡμῶν, ἣν ἐδουλεύσαμεν αὐτοῖς ἐν ἀγάπῃ, τῷ πταίσματι τούτῳ· ἀλλὰ τοσοῦτον ἐβάρυναν τὴν καθ' ἡμῶν ὀργὴν ἐπὶ ταύτῃ τῇ ἁμαρτίᾳ ὥστε πάσαις ταῖς κατὰ τὴν οἰκουμένην Ἐκκλησίαις, τό γε εἰς αὐτοὺς ἦκον, ἐκκηρύκτους ἡμᾶς ποιῆσαι.

3. Οὐ μὴν αὕτη γέ ἐστι κατὰ ἀλήθειαν τῆς διαστάσεως ἡ αἰτία· ἀλλ', ἐπειδὴ ἐνόμισαν εὐδοκιμήσειν τότε παρὰ τῷ Εὐζωΐῳ, εἰ ἡμῶν ἑαυτοὺς ἀλλοτριώσειαν, ἐκείνας ἑαυτοῖς ἐπενόησαν τὰς προφάσεις, ἵνα εὕρωσί τινα σύστασιν παρ' αὐτοῖς διὰ τοῦ πρὸς ἡμᾶς πολέμου. Οὗτοι νῦν καὶ τὴν ἐν Νικαίᾳ διαβάλλουσι πίστιν καὶ ὁμοουσιαστὰς ἡμᾶς ἀποκαλοῦσι διὰ τὸν ἐν ἐκείνῃ τῇ πίστει τὸν Μονογενῆ Υἱὸν τῷ Θεῷ καὶ Πατρὶ ὁμοούσιον ὁμολογεῖσθαι, οὐχ ὡς ἀπὸ μιᾶς οὐσίας μερισθείσης εἰς δύο ἀδελφὰ (μὴ γένοιτο· οὐ γὰρ τοῦτο ἐνόησεν ἡ ἁγία ἐκείνη καὶ θεοφιλὴς σύνοδος), ἀλλ' ὡς, ὅπερ ἐστὶ κατὰ τὴν οὐσίαν ὁ Πατήρ, τοῦτο ὀφείλοντος νοεῖσθαι καὶ τοῦ Υἱοῦ. Τοῦτο γὰρ ἡμῖν αὐτοὶ ἐκεῖνοι ἡρμήνευσαν εἰπόντες φῶς ἐκ φωτός. Ἔστι δὲ ἡ ἐν Νικαίᾳ πίστις, ἣ παρ' αὐτῶν ἀπὸ τῆς Δύσεως κομισθεῖσα, ἣν ἐπέδωκαν τῇ συνόδῳ τῇ ἐν Τυάνοις, ὑφ' ἧς καὶ παρεδέχθησαν. Ἀλλ' ἔχουσί τι σοφὸν δόγμα εἰς τὰς τοιαύτας ἑαυτῶν μεταβολάς· ὅτι τοῖς ῥήμασι τῆς πίστεως ὡς ἰατροί κέχρηνται κατὰ καιρόν, ἄλλοτε ἄλλως πρὸς τὰ ὑποκείμενα πάθη μεθαρμοζόμενοι. Τούτου δὲ τοῦ σοφίσματος τὸ σαθρὸν

---

5. Ὁ Εὐζώιος ἦτο παλαιὸς φίλος τοῦ Ἀρείου. Ἐγκατεστάθη ὑπὸ τῶν Ἀρειανῶν ὡς ἐπίσκοπος Ἀντιοχείας τὸ 361 μετὰ τὴν ὑπ' αὐτῶν ἀπομάκρυνσιν τοῦ Μελετίου.

6. Οἱ πατέρες τῆς Νικαίας.

7. Ὁ Εὐστάθιος καὶ δύο ἀρειανίζοντες ἐπίσκοποι εἶχαν μεταβῆ εἰς τὴν Δύσιν. Ἐκεῖ ἔλαβαν μίαν ἐπιστολὴν ἀπὸ τὸν ἐπίσκοπον Ρώμης Λιβέριον

οὕτως ἔκαμε τὸ χρέος του πρὸς ἡμᾶς ἐπέστρεψε. Τοῦτο δὲ εἶναι τὸ ἔγκλημα τὸ ὁποῖον διεπράξαμεν ἡμεῖς· καὶ ἐκεῖνοι οἱ μακρόθυμοι ἄνδρες δὲν ἀντεστάθμισαν εἰς τὸ πταῖσμα αὐτὸ τὴν προηγουμένην δουλείαν μας, τὴν ὁποίαν ἐδείξαμεν εἰς αὐτοὺς μὲ ἀγάπην, ἀλλὰ τόσον πολὺ ἐβάρυναν τὴν ἐναντίον μας ὀργὴν διὰ τὴν ἁμαρτίαν αὐτήν, ὥστε μᾶς ἀφώρισαν ἀπὸ ὅλας τὰς Ἐκκλησίας τῆς οἰκουμένης, ὅσον τοὐλάχιστον ἐξηρτᾶτο ἀπὸ αὐτούς.

3. Εἰς τὴν πραγματικότητα ὅμως δὲν εἶναι αὐτὴ ἡ αἰτία τῆς διαστάσεως· ἐπενόησαν ἐκείνας τὰς προφάσεις ἐπειδὴ ἐνόμισαν ὅτι θὰ ἀποκτήσουν τὴν ἐκτίμησιν τοῦ Εὐζωίου [5], ἐὰν ἀποξενώσουν τοὺς ἑαυτούς των ἀπὸ ἡμᾶς καὶ μὲ τὴν πολεμικήν των ἐναντίον μας αὐτοσυστηθοῦν εἰς τὴν μερίδα του. Αὐτοὶ τώρα διαβάλλουν καὶ τὸ σύμβολον τῆς Νικαίας καὶ μᾶς ἀποκαλοῦν ὁμοουσιαστάς, ἐπειδὴ εἰς τὸ σύμβολον ἐκεῖνο ὁμολογοῦμεν τὸν Μονογενῆ Υἱὸν ὁμοούσιον τοῦ Θεοῦ καὶ Πατρός, ὄχι βέβαια ὡσὰν νὰ προέρχωνται ἀπὸ μίαν οὐσίαν μερισθεῖσαν εἰς δύο ἀδελφὰ ὄντα — μὴ γένοιτο· ἀσφαλῶς δὲν ἐνόησε τοῦτο ἡ ἁγία καὶ θεοφιλὴς ἐκείνη σύνοδος —, ἀλλ' ἀπὸ τὴν ἄποψιν ὅτι, ὅ,τι εἶναι εἰς τὴν οὐσίαν ὁ Πατήρ, αὐτὸ πρέπει νὰ νοῆται καὶ ὡς πρὸς τὸν Υἱόν. Αὐτὸ δὲ ἀκριβῶς μᾶς ἐξήγησαν ἐκεῖνοι οἱ ἴδιοι [6] χρησιμοποιήσαντες τὴν φράσιν «φῶς ἐκ φωτός».

Εἶναι δὲ τὸ ἐν Νικαίᾳ σύμβολον ἐκεῖνο ποὺ ἔφεραν αὐτοὶ ἀπὸ τὴν Δύσιν, τὸ ὁποῖον ἐπέδωσαν εἰς τὴν σύνοδον τῶν Τυάνων [7], ἀπὸ τὴν ὁποίαν ἔγιναν δεκτοὶ εἰς κοινωνίαν.

Ἀλλ' ἔχουν κάποιαν ἐξυπνάδα διὰ τὰς τοιαύτας μεταστροφάς των· ὅτι χρησιμοποιοῦν τὰ λόγια τοῦ συμβόλου ὡς ἰατροί, εἰς τὸν κατάλληλον καιρόν, κάθε φορὰν διαφορετικά, προσαρμόζοντες αὐτὰ εἰς τὰς ἑκάστοτε ἀσθενείας. Τὴν σαθρό-

---

καὶ μίαν ἀπὸ σύνοδον ἐν Σικελίᾳ (366). Αἱ ἐπιστολαὶ περιεῖχαν τὸ σύμβολον τῆς Νικαίας, τὸ ὁποῖον ὡμολόγησαν ὁ Εὐστάθιος καὶ οἱ συνοδοί του καὶ ἀποδοχὴν αὐτῶν ἀπὸ τὸν Λιβέριον καὶ τοὺς ἄλλους ἐπισκόπους, ἐπεδόθησαν δὲ εἰς τὴν σύνοδον Τυάνων τῆς Καππαδοκίας τὸ 367.

οὐκ ἐμὲ ἐλέγχειν προσῆκεν, ἀλλ' ὑμᾶς νοεῖν. Δώσει γὰρ ὑμῖν ὁ Κύριος σύνεσιν πρὸς τὸ γνωρίζειν τίς μὲν ὁ εὐθὴς λόγος, τίς δὲ ὁ σκολιὸς καὶ διεστραμμένος. Εἰ γὰρ ἄλλοτε ἄλλας πίστεις δεῖ συγγράφειν καὶ μετὰ τῶν καιρῶν ἀλλοιοῦσθαι, ψευδὴς ἡ ἀπόφασις τοῦ εἰπόντος· Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα. Εἰ δὲ ἐκεῖνα ἀληθῆ, μηδεὶς ὑμᾶς ἐξαπατάτω τοῖς κενοῖς τούτοις λόγοις. Διαβάλλουσιν ἡμᾶς ὡς καινοτομοῦντας περὶ τοῦ Πνεύματος τοῦ Ἁγίου. Ἐρωτήσατε οὖν τίς ἡ καινοτομία. Ἡμεῖς γὰρ ὁμολογοῦμεν ὃ καὶ παρελάβομεν, μετὰ Πατρὸς καὶ Υἱοῦ τετάχθαι τὸν Παράκλητον, οὐ μετὰ τῆς κτίσεως ἀριθμεῖσθαι. Εἰς γὰρ Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα πεπιστεύκαμεν, καὶ βαπτιζόμεθα εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Διὰ τοῦτο οὐδέποτε τῆς πρὸς Πατέρα καὶ Υἱὸν συναφείας τῶν Παράκλητον ἀποσπῶμεν. Ὁ γὰρ νοῦς ἡμῶν φωτιζόμενος ὑπὸ τοῦ Πνεύματος πρὸς Υἱὸν ἀναβλέπει καὶ ἐν αὐτῷ ὡς ἐν εἰκόνι θεωρεῖ τὸν Πατέρα. Οὔτε οὖν ὀνόματα παρ' ἑαυτῶν ἐπινοοῦμεν, ἀλλὰ Πνεῦμα Ἅγιον καὶ Παράκλητον ὀνομάζομεν, οὔτε τὴν ὀφειλομένην αὐτῷ δόξαν ἀθετεῖν καταδεχόμεθα. Ταῦτά ἐστι τὰ ἡμέτερα μετὰ πάσης ἀληθείας. Ἐπὶ τούτοις ὁ κατηγορῶν κατηγορείτω· ὁ διώκων ἡμᾶς διωκέτω· ὁ πιστεύων ταῖς καθ' ἡμῶν διαβολαῖς ἑτοιμαζέσθω πρὸς τὴν διαδικασίαν. Ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνῶμεν.

4. Εἴ τις ἐν Συρίᾳ συγγράφει, τοῦτο οὐδὲν πρὸς ἡμᾶς. «Ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, φησί, καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ». Οἱ ἐμοὶ λόγοι ἐμὲ κρινέτωσαν· ὑπὲρ δὲ ἀλλοτρίων ἡμᾶς σφαλμάτων μηδεὶς καταδικαζέτω, μηδὲ τὰς πρὸ εἴκοσιν ἐτῶν γραφείσας παρ' ἡμῶν ἐπιστολὰς εἰς ἀπόδειξιν προβαλλέσθω

8. Ἐφεσ. 4, 5.

τητα δὲ αὐτοῦ τοῦ σοφίσματος δὲν ἁρμόζει νὰ τὴν ἐλέγξω ἐγώ, ἀλλὰ νὰ τὴν κατανοήσετε σεῖς. Θὰ σᾶς δώσῃ δὲ ὁ Κύριος σύνεσιν διὰ νὰ γνωρίσετε ποῖος μὲν εἶναι ὁ εὐθὺς λόγος, ποῖος δὲ ὁ στραβὸς καὶ διεστραμμένος. Διότι ἐὰν πρέπῃ κάθε φορὰν νὰ συντάσσωμεν ἄλλα σύμβολα καὶ νὰ τὰ ἀλλάσσωμεν κατὰ τὰς περιστάσεις, εἶναι ψευδὴς ἡ διακήρυξις τοῦ εἰπόντος, «εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα»[8]. Ἐὰν δὲ ἐκεῖνα εἶναι ἀληθινά, ἂς μὴ σᾶς ἐξαπατᾷ κανεὶς μὲ τὰ κενὰ αὐτὰ λόγια[9]. Διαβάλλουν ἡμᾶς ὅτι καινοτομοῦμεν περὶ τοῦ Ἁγίου Πνεύματος. Ἐρωτήσατε λοιπὸν ποία εἶναι ἡ καινοτομία. Διότι ἡμεῖς ὁμολογοῦμεν ὅ,τι παρελάβαμεν, ὅτι ὁ Παράκλητος κατατάσσεται μαζὶ μὲ τὸν Πατέρα καὶ τὸν Υἱόν, δὲν ἀριθμεῖται μαζὶ μὲ τὰ κτιστά. Βαπτιζόμεθα πράγματι εἰς τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα. Διὰ τοῦτο δὲν ἀποσπῶμεν ποτὲ τὸν Παράκλητον ἀπὸ τὴν συνάφειαν μὲ τὸν Πατέρα καὶ τὸν Υἱόν. Πράγματι ὁ νοῦς μας φωτιζόμενος ἀπὸ τὸ Πνεῦμα κυττάζει ἐπάνω πρὸς τὸν Υἱὸν καὶ θεωρεῖ εἰς αὐτὸν τὸν Πατέρα. Λοιπὸν οὔτε ὀνόματα ἐπινοοῦμεν μόνοι μας, ἀλλὰ τὸ ὀνομάζομεν Πνεῦμα Ἅγιον καὶ Παράκλητον, οὔτε καταδεχόμεθα νὰ ἀθετήσωμεν τὴν ὀφειλομένην εἰς αὐτὸ δόξαν. Αὐταὶ εἶναι αἱ ἀπόψεις μας μὲ ὅλην τὴν ἀλήθειαν. Ὁ κατηγορῶν ἡμᾶς δι' αὐτά, ἂς κατηγορῇ· ὁ διώκων ἡμᾶς, ἂς διώκῃ· ὁ πιστεύων τὰς ἐναντίον μας διαβολάς, ἂς ἑτοιμασθῇ διὰ τὴν ἀντιδικίαν. Ὁ Κύριος εἶναι ἐγγύς, ἂς μὴ μεριμνῶμεν διὰ τίποτε[10].

4. Ἐὰν συγγράφῃ κανεὶς εἰς τὴν Συρίαν[11], αὐτὸ δὲν μᾶς ἀφορᾷ. Ἡ Γραφὴ λέγει· «ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ»[12]. Ἐμὲ θὰ κρίνουν οἱ ἰδικοί μου λόγοι· κανεὶς δὲ νὰ μὴ μᾶς καταδικάζῃ διὰ ξένα σφάλματα, οὔτε νὰ προβάλλῃ τὰς πρὸ εἴκοσι ἐτῶν γραφείσας ἀπὸ

9. Ἐφεσ. 5, 6.
10. Φιλιπ. 4, 5ἐ.
11. Ὁ αἱρετικὸς Ἀπολινάριος Λαοδικείας
12. Ματθ. 12, 37.

τοῦ νῦν κοινωνικοὺς ἡμᾶς εἶναι τοῖς ἐκεῖνα συγγράψασιν. Ἡμεῖς γὰρ πρὸ τῶν συγγραμμάτων λαϊκοὶ ὄντες πρὸς λαϊκοὺς ἐπεστέλλομεν, πρὸ τοῦ τινα καὶ ὑπόνοιαν τοιαύτην κατ' αὐτῶν κινεῖσθαι· καὶ ἐπεστέλλομεν οὐδὲν περὶ τῆς πίστεως, οὐδ' οἷα νῦν ἐπὶ τῇ καθ' ἡμῶν διαβολῇ περιφέρουσιν οὗτοι, ἀλλὰ ψιλὰς προσηγορίας ἀγαπητικὴν προσφώνησιν ἀποπληρούσας. Ἡμεῖς γὰρ ὁμοίως καὶ τοὺς τὰ Σαβελλίου νοσοῦντας καὶ τοὺς τὰ Ἀρείου δόγματα ἐκδικοῦντας ὡς ἀσεβεῖς ἀποφεύγομεν καὶ ἀναθεματίζομεν. Εἴ τις τὸν αὐτὸν Πατέρα λέγει καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα, καὶ ἓν πρᾶγμα πολυώνυμον ὑποτιθέμενος καὶ μίαν ὑπόστασιν ὑπὸ τριῶν προσηγοριῶν ἐκφωνουμένην, τὸν τοιοῦτον ἡμεῖς ἐν τῇ μερίδι τῶν Ἰουδαίων τάσσομεν. Ὁμοίως καὶ εἴ τις ἀνόμοιον λέγει κατὰ τὴν οὐσίαν τὸν Υἱὸν τῷ Πατρὶ ἢ εἰς κτίσμα κατάγει τὸ Πνεῦμα τὸ Ἅγιον, ἀναθεματίζομεν καὶ ἐγγὺς εἶναι τῆς ἑλληνικῆς τιθέμεθα πλάνης. Ἀλλὰ τὰ μὲν στόματα τῶν κακηγορούντων ἡμᾶς ἐπισχεθῆναι διὰ τῶν ἡμετέρων γραμμάτων ἀμήχανον· μᾶλλον μὲν οὖν εἰκὸς καὶ ἐρεθίζεσθαι αὐτοὺς ἐπὶ ταῖς ἀπολογίαις ἡμῶν, καὶ μείζονα καὶ χαλεπώτερα καθ' ἡμῶν κατασκευάζειν. Τὰς μέντοι ὑμετέρας ἀκοὰς φυλαχθῆναι οὐ χαλεπόν. Ὥστε ὅ ἐστιν ἐφ' ὑμῖν, τοῦτο ποιήσατε. Ἀκεραίαν ἡμῖν καὶ ἀπρόληπτον διαβολαῖς τὴν καρδίαν ὑμῶν φυλάξατε, καὶ πρὸς τὰ προβαλλόμενα ἐγκλήματα ἀπαιτεῖτε ἡμᾶς τὰς εὐθύνας. Καὶ εἰ μὲν εὕρητε παρ' ἡμῖν τὴν ἀλήθειαν, μὴ δῶτε χώραν τῷ ψεύδει· ἐὰν δὲ ἀτονούντων ἡμῶν πρὸς τὴν ἀπολογίαν αἴσθησθε, τότε πιστεύσατε τοῖς κατηγόροις ἡμῶν ὡς ἀληθεύουσιν. Ἀγρυπνοῦσιν ἐκεῖνοι πρὸς τὸ ἡμᾶς κακοποιῆσαι· τοῦτο παρ' ὑμῶν οὐκ ἐπιζητοῦμεν. Ἐμπορικὸν βίον μεταχειριζόμενοι παρεμπόρευμα ποιοῦνται τὴν ἡμετέραν διαβολήν· ὑμᾶς οἶκοι μέ-

13. Μὲ τὸν Ἀπολινάριον δηλαδή.

ἡμᾶς ἐπιστολὰς πρὸς ἀπόδειξιν τοῦ ὅτι ἡμεῖς τώρα εἴμεθα κοινωνικοὶ μὲ τοὺς συγγράψαντας ἐκεῖνα[13]. Διότι ἡμεῖς ἐστείλαμεν ἐπιστολὴν πρὶν ἀπὸ τὰ συγγράμματα αὐτά, λαϊκὸς ἀκόμη καὶ πρὸς λαϊκούς, πρὶν ἀκόμη καὶ ἁπλῆ ὑποψία κινηθῇ ἐναντίον αὐτῶν. Ἄλλωστε δὲν ἐγράφαμεν τίποτε περὶ τῆς πίστεως, οὔτε αὐτὰ ποὺ τώρα περιφέρουν οὗτοι πρὸς συκοφάντησίν μας, ἀλλὰ ἁπλῆν προσφώνησιν, ποὺ εἶχε θέσιν φιλικῶν χαιρετισμῶν. Ἡμεῖς δὲ ἀποφεύγομεν ὡς ἀσεβεῖς καὶ ἀναθεματίζομεν καθ' ὅμοιον τρόπον καὶ τοὺς ἔχοντας τὴν νόσον τοῦ Σαβελλίου καὶ τοὺς ὑπερασπίζοντας τὰ δόγματα τοῦ Ἀρείου.

Ὅποιος λέγει ὅτι ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα εἶναι ὁ ἴδιος καὶ ὑποθέτουν ὅτι εἶναι ἕνα πολυώνυμον ὂν καὶ μία ὑπόστασις ποὺ δηλώνεται μὲ τρία ὀνόματα αὐτὸν ἡμεῖς τὸν κατατάσσομεν εἰς τὴν μερίδα τῶν Ἰουδαίων. Ὁμοίως ὅποιον λέγει τὸν Υἱὸν ἀνώνυμον εἰς τὴν οὐσίαν ἀπὸ τὸν Πατέρα ἢ καταβιβάζει τὸ Ἅγιον Πνεῦμα εἰς κτίσμα, τὸν ἀναθεματίζομεν καὶ τὸν τοποθετοῦμεν πλησίον τῆς εἰδωλολατρικῆς πλάνης.

Ἀλλὰ εἶναι ἀδύνατον νὰ κλεισθοῦν τὰ στόματα τῶν κατηγόρων ἡμῶν διὰ τῶν γραμμάτων μας· μᾶλλον δὲ εἶναι εὔλογον καὶ νὰ ἐρεθίζωνται μὲ τὰς ἀπολογίας μας καὶ νὰ κατασκευάζουν μεγαλυτέρας καὶ χειροτέρας προσβολὰς ἐναντίον μας. Δὲν εἶναι ὅμως δύσκολον νὰ προφυλάξετε τὰ αὐτιά σας. Ἐπομένως ὅ,τι εἶναι εἰς τὴν δύναμίν σας, πράξατέ το. Κρατήσατε πρὸς χάριν μας τὴν καρδίαν σας ἀκεραίαν καὶ ἀπροκατάληπτον ἔναντι τῶν διαβολῶν, καὶ ζητήσατε ἀπὸ ἡμᾶς ἀπολογίαν διὰ τὰς κατηγορίας ποὺ ἐκτοξεύονται ἐναντίον μας. Καὶ ἐὰν μὲν εὕρετε εἰς ἡμᾶς τὴν ἀλήθειαν, μὴ δώσετε χῶρον εἰς τὸ ψεῦδος, ἐὰν δὲ ἀντιληφθῆτε ὅτι ἡμεῖς ἀποτυγχάνομεν εἰς τὴν ἀπολογίαν, τότε πιστεύσατε εἰς τοὺς κατηγόρους μας ὡς λέγοντας τὴν ἀλήθειαν. Ἐκεῖνοι ἀγρυπνοῦν διὰ νὰ μᾶς βλάψουν· αὐτὸ δὲν τὸ ζητοῦμεν ἀπὸ σᾶς. Ζῶντες βίον ἐμπόρων, καθιστοῦν τὴν ἐναντίον μας διαβολὴν εἶδος εὐθηνοῦ ἐμπορίου· σᾶς ὅμως παρακαλοῦμεν νὰ μένετε εἰς τὸν οἶκον καὶ νὰ ζῆτε εὐσχημόνως,

νειν καὶ εὐσχημονεῖν, ἐν ἡσυχίᾳ τὸ ἔργον τοῦ Κυρίου πληροῦντας, παρακαλοῦμεν, τὰς μέντοι συντυχίας αὐτῶν τὰς δολερῶς ἐπὶ καταστροφῇ τῶν ἀκουόντων γινομένας ἐκκλίνειν, ἵνα καὶ τὴν πρὸς ἡμᾶς ἀγάπην ἀκεραίαν φυλάξητε καὶ τὴν τῶν πατέρων πίστιν ἄθραυστον διασώσητε καὶ παρὰ τῷ Κυρίῳ εὐδόκιμοι φανῆτε ὡς φίλοι τῆς ἀληθείας.

209

224. ΓΕΝΕΘΛΙΩ ΠΡΕΣΒΥΤΕΡΩ

1. Ἐδεξάμην γράμματα τῆς εὐλαβείας σου καὶ ἐπῄνεσα τὴν προσηγορίαν ἣν εὐστόχως ὠνόμασας τὸ βιβλίον τὸ ὑπ' αὐτῶν συγγεγραμμένον, προσαγορεύσας βιβλίον ἀποστασίου. Ὅπερ οἱ συγγράψαντες, τίνα ἠὐτρέπισαν τὴν ἀπολογίαν ὑπὲρ αὐτοῦ ἐπὶ τοῦ ἀπαραλογίστου βήματος τοῦ Χριστοῦ ἐννοεῖν οὐκ ἔχω. Προθέντες γὰρ ἡμετέραν κατηγορίαν καὶ σφοδρῶς ἡμῶν καταδραμόντες καὶ διηγησάμενοι ἃ ἐβούλοντο, οὐχ ἃ ἡ ἀλήθεια ἔχει, σχηματισάμενοι ἑαυτῶν πολλὴν ταπείνωσιν καὶ ἡμῖν περιθέντες ὑπερηφανίας ὄγκον, ὡς μὴ δεξαμένοις τοὺς παρ' αὐτῶν ἀποσταλέντας, πάντα ψευδῆ ἢ τά γε πλεῖστα, ἵνα μὴ ἐπικινδύνως φθέγξωμαι, ὡς ἀνθρώπους πείθοντες καὶ οὐχὶ Θεόν, καὶ ζητοῦντες ἀνθρώποις ἀρέσαι καὶ οὐχὶ Θεῷ παρ' ᾧ οὐδέν ἐστιν ἀληθείας προτιμότερον, οὕτω συνέγραψαν. Εἶτα ἐκεῖνοι τοῖς καθ' ἡμῶν γράμμασιν ὑπέταξαν ῥήματα αἱρετικὰ τὸν συγγραφέα τῆς ἀσεβείας ἀποκρυψάμενοι, ἵν' οἱ πολλοὶ καὶ ἁπλούστεροι ἐκ τῆς προγεγραμμένης ἡμῶν κα-

---

Ἐπιστολὴ 224. Ἐγράφη τὸ 375. Τὸ περιεχόμενόν της ἀναφέρεται εἰς τὰς κατὰ τοῦ Βασιλείου κατηγορίας τοῦ Εὐσταθίου Σεβαστείας. Ὁ Γενέθλιος εἶχεν ἀνησυχήσει διὰ τὰ φρονήματα τοῦ Βασιλείου.

ἐκτελοῦντες τὸ ἔργον τοῦ Κυρίου εἰς ἡσυχίαν, τὰς δὲ συναντήσεις αὐτῶν ποὺ γίνονται μὲ δολιότητα καὶ πρὸς καταστροφὴν τῶν ἀκροατῶν νὰ ἀποφεύγετε, οὕτως ὥστε καὶ τὴν πρὸς ἡμᾶς ἀγάπην νὰ φυλάξετε ἀκεραίαν καὶ τῶν πατέρων τὴν πίστιν νὰ διασώσετε ἄθραυστον καὶ πλησίον τοῦ Κυρίου νὰ δειχθῆτε εὐδόκιμοι ὡς φίλοι τῆς ἀληθείας.

209

ΕΠΙΣΤΟΛΗ 224
ΠΡΟΣ ΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ ΓΕΝΕΘΛΙΟΝ

1. Ἐδέχθην γράμμα τῆς εὐλαβείας σου καὶ ἐπήνεσα τὴν ὀνομασίαν τὴν ὁποίαν ἔδωσες εἰς τὸ ὑπ' αὐτῶν συγγραφὲν βιβλίον, τὴν ὀνομασίαν «βιβλίον ἀποστασίου» [1]. Ποίαν ἀπολογίαν ἡτοίμασαν οἱ συντάκται τοῦ ἐνώπιον τοῦ ἀνεξαπατήτου βήματος τοῦ Χριστοῦ, δὲν ἠμπορῶ νὰ ἐννοήσω.

Πράγματι δὲ συνέγραψαν τὸ βιβλίον αὐτὸ μὲ τὴν ἑξῆς μέθοδον· προέταξαν κατηγορίαν εἰς βάρος μας, ἐπετέθησαν σφοδρῶς ἐναντίον μας καὶ διηγήθησαν ὅσα ἤθελαν, ὄχι ὅσα ἡ ἀλήθεια περιέχει, ἀπέδωσαν εἰς ἑαυτοὺς πολλὴν ταπείνωσιν καὶ ἡμᾶς περιέβαλαν μὲ ὄγκον ὑπερηφανείας, διότι τάχα δὲν ἐδέχθημεν τοὺς ἀποσταλέντας ὑπ' αὐτῶν, ὅλα ἢ τουλάχιστον τὰ περισσότερα ψευδῆ, διὰ νὰ μὴ ὁμιλήσω ἐπικινδύνως, ὡσὰν ἄνθρωποι οἱ ὁποῖοι πείθουν ἀνθρώπους καὶ ὄχι Θεὸν καὶ ζητοῦντες νὰ ἀρέσουν εἰς ἀνθρώπους καὶ ὄχι εἰς Θεόν, εἰς τὸν ὁποῖον τίποτε δὲν εἶναι προτιμότερον ἀπὸ τὴν ἀλήθειαν. Ἔπειτα οἱ ἄνθρωποι ἐκεῖνοι εἰς τὸ ἐναντίον μας κείμενον προσέθεσαν αἱρετικὰς προτάσεις, ἀποκρύψαντες τὸν ἀσεβῆ συγγραφέα των [2], μὲ σκοπὸν νὰ νομίσουν οἱ πολλοὶ καὶ ἁπλοϊκώτεροι ἀπὸ τὴν προηγουμένην κα-

1. Βιβλίον διαζυγίου (βλ. Ματθ. 19,7).
2. Εἶναι ὁ Ἀπολινάριος Λαοδικείας.

τηγορίας ἡμέτερα εἶναι νομίσωσι τὰ συνημμένα, διὰ τὸ παρὰ τῶν τεχνικῶς ἡμᾶς διαβαλλόντων σιωπηθῆναι μὲν τὸ ὄνομα τοῦ πατρὸς τῶν πονηρῶν δογμάτων, καταλειφθῆναι δὲ τῇ ὑπονοίᾳ τῶν ἀκεραιοτέρων τὸ ἡμᾶς εἶναι τοὺς ταῦτα ἢ ἐνθυμηθέντας ἢ γράψαντας. Ταῦτα οὖν γινώσκοντας ὑμᾶς παρακαλοῦμεν αὐτούς τε μὴ ταράσσεσθαι καὶ τῶν σαλευομένων τοὺς θορύβους κατασιγάζειν, εἰ καὶ ὅτι οἴδαμεν δυσπαράδεκτον ἡμῶν οὖσαν τὴν ἀπολογίαν, διὰ τὸ ὑπὸ προσώπων ἀξιοπίστων προκατασχεθῆναι ἡμῶν τὰς πονηρὰς βλασφημίας.

2. Περὶ μὲν οὖν τοῦ ὅτι οὐκ ἔστιν ἡμέτερα τὰ ὡς ἡμέτερα περιφερόμενα, νομίζω, εἰ καὶ πάνυ ὁ καθ' ἡμῶν θυμὸς ἐπισκοτεῖ τοῖς λογισμοῖς αὐτῶν πρὸς τὸ συνορᾶν τὸ συμφέρον, ὅμως, ἐὰν ἐρωτηθῶσι παρ' ὑμῶν αὐτῶν, μὴ ἂν αὐτοὺς εἰς τοσοῦτον ἐλθεῖν σκληρότητος ὥστε τολμῆσαι φθέγξασθαι τῷ ἰδίῳ στόματι τὸ ψεῦδος καὶ εἰπεῖν ὅτι ἐμά ἐστι τὰ συντάγματα. Εἰ δ' οὐκ ἐμά, διὰ τί κρίνομαι ὑπὲρ τῶν ἀλλοτρίων; Ἀλλ' ἐροῦσιν ὅτι κοινωνὸς Ἀπολιναρίου ἐγὼ καὶ τῶν τοιούτων δογμάτων τὴν διαστροφὴν ἔχων ἐν ἐμαυτῷ. Ἀπαιτηθήτωσαν τὰς ἀποδείξεις. Εἰ μὲν καρδίαν ἀνθρώπου διερευνᾶν ἴσασι, τοῦτο ὁμολογείτωσαν, καὶ γνωρίσατε αὐτῶν τὴν περὶ πάντα ἀλήθειαν. Εἰ δὲ ἐκ τῶν φαινομένων καὶ πᾶσι προδήλων ἐλέγχουσί μου τὴν κοινωνίαν, δειξάτωσαν ἢ κανονικὰ γράμματα παρ' ἐμοῦ πρὸς αὐτὸν διαπεμπόμενα, ἢ παρ' ἐκείνου πρὸς ἐμέ· ἢ τῶν κληρικῶν τὰς πρὸς ἡμᾶς ἐπιμιξίας, εἴ τινα αὐτῶν εἰς κοινωνίας εὐχὴν ἐδεξάμεθά ποτε. Εἰ δὲ ἐπιστολὴν προφέρουσι τὴν λοιπὸν πρὸ εἴκοσι πέντε ἐτῶν γραφεῖσαν αὐτῷ, παρὰ λαϊκοῦ πρὸς λαϊκὸν (καὶ οὐδὲν ταύτην ὡς γέγραπται παρ' ἐμοῦ, ἀλλὰ μεταποιηθεῖσαν, ὑπό τίνων δὲ ὁ Θεὸς οἶδε), γνωρίσατε αὐτόθεν τὴν ἀδικίαν, ὅτι οὐδεὶς ἐν ἐπισκοπῇ ὢν ἐγκαλεῖται, εἴ τι κατὰ ἀδιαφορίαν ἐν τῷ λαϊκῷ βίῳ ἀπαρατηρήτως ἔγραψε· καὶ

τηγορίαν μας ὅτι εἶναι ἰδικά μας τὰ συνημμένα, ἐφ' ὅσον ἀπὸ τοὺς πολυμηχάνους διαβολεῖς μας ἀπεσιωπήθη τὸ ὄνομα τοῦ πατρὸς τῶν πονηρῶν δογμάτων, ἀφέθη δὲ εἰς τοὺς ἀφελεστέρους ἡ ὑποψία ὅτι ἡμεῖς εἴμεθα οἱ σκεφθέντες ἢ γράψαντες αὐτά. Σᾶς παρακαλοῦμεν λοιπόν, γνωρίζοντες αὐτά, νὰ μὴ ταράσσεσθε καὶ νὰ κατασιγάζετε τοὺς θορύβους αὐτῶν ποὺ κλονίζονται, ἂν καὶ γνωρίζομεν ὅτι ἡ ἀπολογία μας εἶναι δυσκολοπαράδεκτος, διότι αἱ ἐναντίον μας πονηραὶ βλασφημίαι ἐλήφθησαν ἤδη προηγουμένως ἀπὸ ἀξιόπιστα πρόσωπα.

2. Λοιπόν, ὅτι τὰ ὡς ἰδικά μας περιφερόμενα κείμενα δὲν εἶναι ἰδικά μας, νομίζω ὅτι αὐτοί, ἂν καὶ ὁ ἐναντίον μας θυμός των ἐπισκοτίζει τοὺς λογισμούς των εἰς τὸ νὰ βλέπουν τὸ συμφέρον των, πάντως, ἐὰν ἐρωτηθοῦν ἀπὸ σᾶς, δὲν φαντάζομαι νὰ φθάσουν εἰς τοιοῦτον σημεῖον σκληρότητος, ὥστε νὰ τολμήσουν νὰ ἐκφέρουν μὲ τὸ ἴδιον τὸ στόμα των τὸ ψεῦδος καὶ νὰ εἴπουν ὅτι τὰ συγγράμματα εἶναι ἰδικά μου. Ἐὰν δὲ δὲν εἶναι ἰδικά μου, διατί κατακρίνομαι διὰ ξένα; Ἀλλὰ θὰ εἴπουν ὅτι ἐγὼ εἶμαι κοινωνὸς τοῦ Ἀπολιναρίου καὶ ἔχω μέσα μου τὰ διεστραμμένα αὐτὰ δόγματα. Ἂς τοὺς ζητηθοῦν αἱ ἀποδείξεις δι' αὐτό! Ἐὰν γνωρίζουν νὰ διερευνοῦν τὴν ἀλήθειαν, ἂς τὸ διακηρύξουν, καὶ θὰ γνωρίσετε τὴν παντογνωσίαν των. Ἐὰν δὲ ἀποδεικνύουν τὴν κοινωνίαν μου μὲ ἐκεῖνον ἀπὸ τὰ φαινόμενα καὶ πρόδηλα εἰς ὅλους, ἂς δείξουν εἴτε κανονικὸν γράμμα στελλόμενον ἀπὸ ἐμὲ πρὸς αὐτὸν ἢ ἀπὸ αὐτὸν πρὸς ἐμέ, εἴτε τὰς ἐπικοινωνίας τῶν κληρικῶν του μὲ ἡμᾶς, ἐὰν ἐδέχθημεν ποτὲ κανένα ἀπὸ αὐτοὺς εἰς εὐχὴν κοινωνίας.

Ἐὰν δὲ παρουσιάζουν ἐπιστολήν, ἡ ὁποία ἐγράφη πρὸς αὐτὸν πρὸ εἰκοσιπέντε ἐτῶν ἀπὸ λαϊκὸν πρὸς λαϊκόν —καὶ αὐτὴν δέ, ὄχι ὅπως ἐγράφη ἀπὸ ἐμέ, ἀλλὰ διεσκευασμένην, ὁ Θεὸς γνωρίζει ἀπὸ ποίους—, γνωρίσατε τὴν ἀδικίαν των ἀπὸ τοῦτο, ὅτι κανεὶς ἐπίσκοπος δὲν κατηγορεῖται ἐὰν ἔγραψεν ἀπροσέκτως ἀπὸ ἀδιαφορίαν κατὰ τὸν λαϊκόν του βίον· καὶ μάλιστα ἐπιστολήν, ποὺ δὲν ἀσχολεῖται μὲ τὴν πίστιν, ἀλλὰ ἀποτελεῖ ἁπλῶς γράμμα μὲ φιλικὸν χαιρετισμόν. Ἴσως ὅμως εἶναι γνω-

τοῦτο μηδὲν περὶ πίστεως, ἀλλὰ ψιλὸν γράμμα φιλικὴν ἔχον προσηγορίαν. Τάχα δὲ κἀκεῖνοι φαίνονται καὶ Ἕλλησι καὶ Ἰουδαίοις γράψαντες καὶ μὴ ἔχοντες ἐγκλήματα. Μέχρι γὰρ σήμερον οὐδεὶς ἐκρίθη ἐπὶ τοιούτῳ πράγματι ἐφ' ᾧ ἡμεῖς καταδικαζόμεθα παρὰ τῶν διυλιζόντων τοὺς κώνωπας. Ὅτι μὲν οὔτε ἐγράψαμεν ἐκεῖνα οὔτε συντιθέμεθα αὐτοῖς, ἀλλὰ καὶ ἀναθεματίζομεν τοὺς ἔχοντας ἐκεῖνο τὸ πονηρὸν φρόνημα, τὸ τῆς συγχύσεως τῶν ὑποστάσεων, ἐν ᾧ ἡ ἀσεβεστάτη αἵρεσις τοῦ Σαβελλίου ἀνενεώθη, τοῦτο μὲν οὖν γνώριμον τῷ Θεῷ τῷ τὰς καρίδας γινώσκοντι, γνώριμον δὲ καὶ πάσῃ τῇ ἀδελφότητι τῇ εἰς πεῖραν ἐλθούσῃ τῆς ἡμετέρας ταπεινώσεως. Καὶ αὐτοὶ δὲ ἐκεῖνοι, οἱ νῦν σφοδροὶ κατήγοροι ἡμῶν, ἐρευνησάτωσαν τὸ ἴδιον συνειδὸς καὶ γνώσονται ὅτι ἐκ παιδὸς μακρὰν ἐγενόμεθα τῶν τοιούτων δογμάτων.

3. Τί δέ ἐστι τὸ ἡμέτερον φρόνημα, εἴ τις ἐπιζητεῖ, γνώσεται ἀπ' αὐτοῦ τοῦ γραμματίου ἐν ᾧ ἡ ὑπογραφὴ αὐτῶν ἐστιν ἰδιόχειρος, ἣν ἐκεῖνοι βουλόμενοι ἀθετῆσαι τὴν ἑαυτῶν μεταβολὴν κρύπτουσιν ἐν τῇ ἡμετέρᾳ συκοφαντίᾳ. Οὐ γὰρ ὁμολογοῦσιν ὅτι μετεμελήθησαν τῷ παρ' ἡμῶν ἐπιδοθέντι αὐτοῖς βιβλίῳ ὑπογράφοντες, ἀλλ' ἡμῖν ἐπιφέρουσιν ἐγκλήματα ἀσεβείας νομίζοντες ἀγνοεῖσθαι ὅτι πρόσχημα μὲν αὐτοῖς ἐστιν ἡ ἀφ' ἡμῶν ἀναχώρησις, τῇ δὲ ἀληθείᾳ τῆς πίστεως ἀνακεχωρήκασιν ἣν πολλάκις ἐπὶ πολλῶν ἐγγράφως ὁμολογήσαντες τὸ τελευταῖον καὶ παρ' ἡμῶν ἐπιδοθεῖσαν ἐδέξαντο, καὶ ὑπέγραψαν ἃ πᾶσιν ἔξεστιν ἀναγινώσκειν, καὶ παρ' αὐτῶν τῶν γραμμάτων διδάσκεσθαι τὴν ἀλήθειαν.

---

3. Ἰουδαῖοι καὶ Ἕλληνες (Ἰουδαῖοι καὶ εἰδωλολάτραι) κατὰ τὴν πρωτοχριστιανικὴν εὔνοιαν σημαίνει τὴν οἰκουμένην. Ὁ Βασίλειος ἐννοεῖ ὅτι ὁ Εὐστάθιος ἢ οἱ ὀπαδοί του ἔγραψαν ἐδῶ καὶ ἐκεῖ ἀδιακρίτως.

4. Ματθ. 23, 24.

στὸν ὅτι καὶ αὐτοὶ ἔγραψαν πρὸς Ἕλληνας καὶ Ἰουδαίους[3], καὶ ὅμως δὲν ἔχουν καταγγελθῆ. Πράγματι ἕως σήμερα κανεὶς δὲν κατεκρίθη διὰ πρᾶγμα παρόμοιον μὲ αὐτὸ διὰ τὸ ὁποῖον καταδικαζόμεθα ἡμεῖς ἀπὸ τοὺς διυλίζοντας τοὺς κώνωπας[4]. Τὸ ὅτι μὲν οὔτε ἐγράψαμεν ἐκεῖνα οὔτε συμφωνοῦμεν μὲ αὐτά, ἀλλὰ καὶ ἀναθεματίζομεν τοὺς ἔχοντας ἐκεῖνο τὸ πονηρὸν φρόνημα, τὸ τῆς συγχύσεως τῶν ὑποστάσεων, μὲ τὸ ὁποῖον ἀνενεώθη ἡ ἀσεβεστάτη αἵρεσις τοῦ Σαβελλίου, τοῦτο ἀσφαλῶς εἶναι γνωστὸν εἰς τὸν Θεὸν ποὺ γνωρίζει τὰς καρδίας, εἶναι δὲ γνωστὸν καὶ εἰς ὅλην τὴν ἀδελφότητα ποὺ ἔχει ἀποκτήσει ἐμπειρίαν τῆς ταπεινώσεώς μας[5]. Καὶ ἐκεῖνοι δὲ οἱ ἴδιοι, οἱ τώρα σφοδροὶ κατήγοροί μας, ἂς ἐρευνήσουν τὴν συνείδησίν των καὶ θὰ ἀντιληφθοῦν ὅτι εἴμεθα μακρὰν παρομοίων δογμάτων ἀπὸ τὴν παιδικήν μας ἡλικίαν.

3. Ποῖον δὲ εἶναι τὸ ἰδικόν μας φρόνημα, ἐὰν ζητῇ κανεὶς νὰ τὸ εὕρῃ, θὰ τὸ γνωρίσῃ ἀπὸ ἐκεῖνο τὸ κείμενον, εἰς τὸ ὁποῖον ἐτέθη ἰδιόχειρος ἡ ὑπογραφή των[6]. Αὐτὴν τὴν ὑπογραφὴν θέλοντες νὰ ἀθετήσουν ἐκεῖνοι κρύπτουν τὴν μεταβολήν εἰς τὴν ἐναντίον μας συκοφαντίαν. Δηλαδὴ δὲν ὁμολογοῦν ὅτι μετενόησαν ποὺ ὑπέγραψαν τὸ κείμενον τὸ ὁποῖον μᾶς παρέδωσαν, ἀλλ' ἀπευθύνουν εἰς ἡμᾶς κατηγορίας ἀσεβείας, νομίζοντες ὅτι θὰ διαφύγῃ τῆς προσοχῆς ὅτι ἡ ἀπὸ πλησίον μας ἀναχώρησίς των εἶναι πρόσχημα, ἐνῷ εἰς τὴν πραγματικότητα ἔχουν ἀναχωρήσει ἀπὸ τὴν πίστιν, τὴν ὁποίαν πολλάκις ἐνώπιον πολλῶν ὡμολόγησαν καὶ τελευταίως ἐδέχθησαν ἐπιδοθεῖσαν ἀπὸ ἡμᾶς καὶ ὑπέγραψαν αὐτὰ ποὺ εἶναι εἰς ὅλους δυνατὸν ν' ἀναγνώσουν καὶ ἀπὸ τὸ γράμμα νὰ διδαχθοῦν τὴν ἀλήθειαν[7].

---

5. Εἶναι γνωστὸν ὅτι ἡ διάστασις τοῦ Βασιλείου μὲ τὸν Ἀτάρβιον Νεοκαισαρείας ὀφείλεται εἰς τὸν σαβελλιανισμὸν τούτου.

6. Ὁ Εὐστάθιος Σεβαστείας ὑπέγραψεν ὁμολογίαν τὴν ὁποίαν συνέταξεν ὁ Βασίλειος τὸ 373.

7. Ἡ ὁμολογία αὐτὴ ἔχει τύπον ἐπιστολῆς καὶ διετηρήθη μεταξὺ τῶν ἐπιστολῶν τοῦ Βασιλείου (ὑπ' ἀριθ. 125).

Γνωρίμη δὲ αὐτῶν ἔσται ἡ προαίρεσις, ἐάν τις μετὰ τὴν ὑπογραφὴν ἣν ἡμῖν ἐπέδωκαν ἀναγνῷ τὴν πίστιν ἣν Γελασίῳ ἔδωκαν, καὶ γνῷ πόσον τὸ διάφορον ἐκείνης τῆς ὁμολογίας πρὸς ταύτην. Οἱ τοίνυν οὕτως εὐκόλως πρὸς τὰ ἐναντία μετατρεπόμενοι μὴ τὰ ἀλλότρια κάρφη διερευνάτωσαν, ἀλλὰ τὴν δοκὸν τὴν ἐν τῷ οἰκείῳ ὀφθαλμῷ ἐκβαλλέτωσαν. Ἐντελέστερον δὲ δι' ἄλλης ἐπιστολῆς περὶ πάντων καὶ ἀπολογούμεθα καὶ διδάσκομεν, ἥτις πληροφορήσει τοὺς πλέον ἐπιζητοῦντας. Ὑμεῖς δὲ ἐν τῷ παρόντι ταῦτα ἡμῶν δεξάμενοι τὰ γράμματα πᾶσαν ἀφέλετε λύπην καὶ κυρώσατε εἰς ἡμᾶς ἀγάπην, δι' ὃ σφοδρῶς ἀντέχομαι τῆς πρὸς ὑμᾶς ἑνώσεως. Καὶ μεγίστη ἡμῖν ἐστι λύπη καὶ ἀπαραμύθητος ὀδύνη τῇ καρδίᾳ ἡμῶν, ἐὰν τοσοῦτον κατισχύσωσιν ὑμῶν αἱ καθ' ἡμῶν διαβολαὶ ὥστε ψύξαι τὴν ἀγάπην καὶ ἀπαλλοτριῶσαι ἡμᾶς ἀπ' ἀλλήλων.

210

244. ΠΑΤΡΟΦΙΛΩ ΕΠΙΣΚΟΠΩ ΤΗΣ ΕΝ ΑΙΓΑΙΣ ΕΚΚΛΗΣΙΑΣ

1. Ἐνέτυχόν σου τοῖς γράμμασιν ἃ διὰ τοῦ ἀδελγοῦ ἡμῶν Στρατηγίου τοῦ συμπρεσβυτέρου ἀπέστειλας καὶ ἐνέτυχον ἡδέως. Πῶς γὰρ οὐκ ἔμελλον καὶ παρὰ ἀνδρὸς συνετοῦ γεγραμμένοις καὶ παρὰ καρδίας τὴν πρὸς πάντας ἀγάπην ἐκ τῆς ἐντολῆς τοῦ Κυρίου

---

8. Ἐπίσκοπον Καισαρείας Παλαιστίνης.

9. Ματθ. 7, 3 - 5.

10. Εἶναι ἡ ἐπιστολὴ 223 Α΄τ.

Ἐπιστολὴ 244. Ἐγράφη τὸ θέρος τοῦ 376. Ὁ Πατρόφιλος, φίλος τοῦ Βασιλείου καὶ τοῦ Εὐσταθίου Σεβαστείας, ἐστενοχωρήθη ὅταν ἔμαθε περὶ

Ἡ δὲ προαίρεσίς των φανερώνεται, ἐὰν κανεὶς ἀναγνώσῃ τὴν ὁμολογίαν ποὺ ἔδωσαν εἰς τὸν Γελάσιον [8] μετὰ τὴν εἰς ἡμᾶς δοθεῖσαν ὑπογραφήν των καὶ ἀντιληφθῇ πόσον διάφορος εἶναι ἐκείνη ἡ ὁμολογία πρὸς αὐτήν. Αὐτοὶ λοιπὸν ποὺ μεταβάλλονται τόσον εὔκολα πρὸς τὰ ἀντίθετα, ἂς μὴ διερευνοῦν τὰ ξένα ἄχυρα, ἀλλ' ἂς ἐκβάλουν τὴν δοκὸν ποὺ εἶναι εἰς τὸν ἰδικόν των ὀφθαλμόν [9]. Πληρέστερον δὲ ἀπολογούμεθα δι' ὅλας τὰς κατηγορίας καὶ διδάσκομεν σχετικῶς εἰς ἄλλην ἐπιστολήν [10], ἡ ὁποία θὰ ἱκανοποιήσῃ τοὺς ζητοῦντας περισσοτέρας πληροφορίας.

Σεῖς δὲ πρὸς τὸ παρόν, δεχθέντες αὐτὰ τὰ γράμματα ἀπὸ ἡμᾶς, ἀφαιρέσατε κάθε λύπην ἀπὸ μέσα σας καὶ ἐπιβεβαιώσατε τὴν πρὸς ἡμᾶς ἀγάπην, διὰ τὴν ὁποίαν τόσον θερμῶς ἐπιθυμῶ τὴν ἕνωσιν μαζί σας. Θὰ εἶναι δὲ μεγίστη λύπη καὶ ἀπαρηγόρητος ὀδύνη εἰς τὴν καρδίαν μας, ἐὰν τόσον πολὺ ἐπιβληθοῦν εἰς σᾶς αἱ ἐναντίον μας διαβολαί, ὥστε νὰ ψυχράνουν τὴν ἀγάπην καὶ νὰ μᾶς ἀποξενώσουν ἀλλήλων.

210

ΕΠΙΣΤΟΛΗ 244
ΠΡΟΣ ΠΑΤΡΟΦΙΛΟΝ ΕΠΙΣΚΟΠΟΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΑΙΓΩΝ

1. Ἀνέγνωσα τὸ γράμμα τὸ ὁποῖον ἔστειλες μὲ τὸν ἀδελφὸν ἡμῶν Στρατήγιον, τὸν συμπρεσβύτερον, καὶ τὸ ἀνέγνωσα εὐχαρίστως. Πῶς δὲν θὰ τὸ ἔκαμα αὐτό, ἀφοῦ ἦτο γραμμένον ἀπὸ ἄνδρα συνετὸν καὶ ἀπὸ καρδίαν ποὺ ἐδιδάχθη ἀπὸ τὴν ἐντολὴν τοῦ Κυρίου νὰ ἀσκῇ τὴν πρὸς ὅλους ἀγάπην. Καὶ οὗ-

---

τῆς διαστάσεως μεταξὺ τῶν δύο ἀνδρῶν καὶ ἔγραψε πρὸς τὸν Βασίλειον μεσολαβητικῶς, προφανῶς διότι ἐπίστευεν ὅτι τὸ δίκαιον εὑρίσκεται μὲ τὸ μέρος τοῦ Εὐσταθίου. Ὁ Βασίλειος ἀπήντησε μὲ τὴν παροῦσαν ἐπιστολήν. Βλ. ἐπίσης ἐπιστολὴν 250. Τελικῶς ὁ Πατρόφιλος ἐδήλωσε τὴν ἀφοσίωσίν του εἰς τὸν Βασίλειον.

κατορθοῦν δεδιδαγμένοις; Καὶ σχεδὸν ἐγνώρισα τῆς ἐν τῷ παρελθόντι χρόνῳ σιωπῆς τὴν αἰτίαν. Ἀποροῦντι γὰρ ἐῴκεις καὶ ἐκθαμβουμένῳ· εἰ Βασίλειος ἐκεῖνος, ὁ τοιῶσδε δουλεύσας ἐκ παιδὸς τῷ δεῖνι, ὁ τάδε ποιήσας ἐπὶ τῶν καιρῶν τῶνδε καὶ τάδε, ὁ τὸν πρὸς μυρίους πόλεμον τῆς πρὸς τὸν ἕνα θεραπείας ἕνεκεν καταδεξάμενος, οὗτος νῦν ἕτερος γέγονεν ἐξ ἑτέρου καὶ πόλεμον ἀντὶ τῆς ἀγάπης ἀνῄρηται, καὶ ὅσα ἄλλα ἐπέστειλας, ἱκανῶς τῆς ψυχῆς τὴν ἔκπληξιν ἐν τῇ παραλόγῳ τῶν πραγμάτων μεταβολῇ ἐνδεικνύμενος. Καὶ εἴ τι ἡμῶν καὶ καθήψω, οὐκ ἐδεξάμην τοῦτο δυσκόλως. Οὐ γὰρ οὕτως εἰμὶ ἀνουθέτητος ὡς πρὸς τὰς ἀγαπητικὰς ἐπιπλήξεις τῶν ἀδελφῶν δυσχεραίνειν. Τοσοῦτον γὰρ ἀπέχω τοῖς ἐπεσταλμένοις ἄχθεσθαι ὥστε μικροῦ καὶ ἐγέλασα ἐπ' αὐτοῖς· εἰ τοσούτων ὄντων καὶ τηλικούτων ἃ ἡμῖν ἐδόκει τὴν πρὸς ἀλλήλους φιλίαν πρότερον βεβαιοῦν, αὐτὸς ἐπὶ μικροῖς τοῖς μέχρι σοῦ φθάσασι τηλικαύτην ἔγραφες τὴν ἔκπληξιν πεπονθέναι. Ἆρ' οὖν καὶ σὺ τὸ τῶν πολλῶν πέπονθας, οἳ καταλιπόντες τῶν πραγμάτων τὴν φύσιν ἐξετάζειν τοῖς ἀνθρώποις προσέχουσι περὶ ὧν οἱ λόγοι καὶ γίνονται οὐ τῆς ἀληθείας ἐξετασταί, ἀλλὰ τῆς διαφορᾶς τῶν προσώπων δοκιμασταί, ἐπιλαθόμενοι τῆς παραινέσεως ὅτι «ἐπιγινώσκειν πρόσωπον ἐν κρίσει οὐ καλόν».

2. Πλὴν ἀλλ' ἐπειδὴ Θεὸς πρόσωπον ἀνθρώπου οὐ λαμβάνει, ἣν πρὸς τὸ μέγα δικαστήριον ἀπολογίαν παρεσκεύασα, ταύτην καὶ σοὶ γνωρίσαι οὐ παραιτήσομαι. Ὅτι οὐδὲν παρ' ἡμῶν τὸ ἐξ ἀρχῆς οὔτε μικρὸν οὔτε μεῖζον γέγονε τῆς διαστάσεως αἴτιον· ἀλλ' ἄνθρωποι μισοῦντες ἡμᾶς, δι' ἃς ἴσασι προφάσεις αὐτοὶ (οὐ γὰρ ἐμὲ χρὴ λέγειν περὶ αὐτῶν οὐδέν), συνεχεῖς ἐποιοῦντο τὰς διαβολάς. Καὶ ἅπαξ μὲν ταύτας καὶ δὶς ἀπεδυσάμεθα· ὡς δὲ ἀπέραντον ἦν τὸ

1. Ἐννοεῖ τὸν Εὐστάθιον Σεβαστείας.

των ἀντελήφθην τὴν αἰτίαν τῆς σιωπῆς σου κατὰ τὸν παρελθόντα χρόνον. Πράγματι ὡμοίαζες μὲ ἄνθρωπον ἔκπληκτον καὶ ἔκθαμβον ἀφοῦ ἐκεῖνος ὁ Βασίλειος, ὁ ὁποῖος κατὰ τὸν τρόπον αὐτὸν ἐδούλευσεν ἀπὸ τὴν παιδικήν του ἡλικίαν εἰς τὸν δεῖνα[1], ὁ ὁποῖος τόσα ἔπραξε κατὰ τοὺς χρόνους τούτους καὶ ἐκείνους, ὁ ὁποῖος ἐδέχθη τὸν πόλεμον πρὸς μυρίους χάριν τῆς ἐξυπηρετήσεως αὐτοῦ τοῦ ἑνός, αὐτὸς τώρα ἔγινεν ἄλλος ἄνθρωπος καὶ ἀντὶ τῆς ἀγάπης ἀνέλαβε πόλεμον, καὶ ὅσα ἄλλα γράφεις, μαρτυρῶν ἐπαρκῶς τὴν ἔκπληξιν τῆς ψυχῆς σου διὰ τὴν παράλογον μεταβολὴν τῶν πραγμάτων. Καὶ ἐὰν προσέβαλε κατά τι καὶ ἡμᾶς, δὲν τὸ ἐδέχθην μὲ δυσαρέσκειαν. Διότι δὲν εἶμαι τόσον ἀδιαπαιδαγώγητος ὥστε νὰ ἀγανακτῶ διὰ τὰς φιλικὰς ἐπιπλήξεις τῶν ἀδελφῶν. Τόσον δὲ ἀπέχω ἀπὸ τὸ νὰ στενοχωροῦμαι διὰ τὰ γραφέντα, ὥστε σχεδὸν καὶ ἐγέλασα δι' αὐτά· ἐνῷ τόσον πολλὰ καὶ τόσον μεγάλα ἦσαν αὐτὰ ποὺ ἐπεβεβαίωναν προηγουμένως τὴν πρὸς ἀλλήλους φιλίαν μας, ἐσὺ ἔγραψες ὅτι ἐξεπλάγης τόσον πολὺ διὰ μικρὰς ἀφορμὰς ποὺ ἔφθασαν ἕως ἐσέ. Ἐπομένως ἔπαθες καὶ σὺ ὅ,τι οἱ πολλοί, οἱ ὁποῖοι παραιτηθέντες τῆς ἐξετάσεως τῆς φύσεως τῶν πραγμάτων προσέχουν εἰς τοὺς ἀνθρώπους περὶ τῶν ὁποίων πρόκειται καὶ γίνονται ὄχι ἐξεταστὰ τῆς ἀληθείας ἀλλὰ δοκιμασταὶ τῆς διαφορᾶς τῶν προσώπων, λησμονήσαντες τὴν παραίνεσιν κατὰ τὴν ὁποίαν «δὲν εἶναι καλὸν νὰ γνωρίζῃ κανεὶς τὰ πρόσωπα εἰς περίπτωσιν δίκης»[2].

2. Ἐπειδὴ ὅμως ὁ Θεὸς δὲν προσωποληπτεῖ, δὲν ἀρνοῦμαι νὰ ἀνακοινώσω καὶ εἰς σὲ τὴν ἀπολογίαν ποὺ ἡτοίμασα διὰ τὸ μέγα δικαστήριον[3]. Ἀπὸ τὸ μέρος μας ἐξ ἀρχῆς δὲν ἔγινε τίποτε, οὔτε μικρὸν οὔτε μέγα, ποὺ νὰ ἀπετέλεσεν αἴτιον τῆς διαστάσεως· ἀλλὰ ἄνθρωποι μισοῦντες ἡμᾶς διὰ λόγους ποὺ αὐτοὶ γνωρίζουν —δὲν χρειάζεται νὰ εἴπω ἐγὼ τίποτε περὶ αὐτῶν— κατεσκεύαζαν συνεχῶς διαβολάς. Καὶ μίαν μὲν ἢ δύο φο-

2. Δευτ. 1, 17 καὶ Παροιμ. 18, 5.
3. Τὸ θεῖον δικαστήριον.

πρᾶγμα καὶ οὐδὲν ὄφελος τῆς συνεχοῦς ἀπολογίας, ἡμῶν μὲν μακρὰν ἀπῳκισμένων, τῶν δὲ ψευδολόγων ἐγγύθεν ἐχόντων ταῖς καθ' ἡμῶν τιτρώσκειν διαβολαῖς καρδίαν εὐκαταγώνιστον καὶ οὐ δεδιδαγμένην τὴν ἑτέραν τῶν ἀκοῶν ἀκεραίαν φυλάττειν τῷ μὴ παρόντι, τῶν Νικοπολιτῶν ἀπαιτούντων τινὰ πληροφορίαν πίστεως, ὃ πάντως οὐδὲ ὑμεῖς ἠγνοήσατε, ἔδοξεν ἡμῖν τὴν διακονίαν τοῦ γράμματος ὑποδέξασθαι. Ἐλογισάμεθα γὰρ δύο κατορθώσειν ἐν ταὐτῷ· τούς τε Νικοπολίτας πείσειν μὴ κακῶς φρονεῖν περὶ τοῦ ἀνδρὸς καὶ τῶν διαβαλλόντων ἡμᾶς ἐμφράξειν τὰ στόματα, τῆς κατὰ τὴν πίστιν συμφωνίας τὰς ἑκατέρωθεν συκοφαντίας ἀποκλειούσης. Καὶ δὴ καὶ συγγέγραπτο μὲν ἡ πίστις, προσηνέχθη δὲ παρ' ἡμῶν, ὑπεγράφη δέ. Ὡς ὑπεγράφη, καὶ χωρίον ὑπεδείχθη συνόδου δευτέρας καὶ καιρὸς ἕτερος, ὥστε καὶ τοὺς κατὰ τὴν παροικίαν ἀδελφοὺς ἡμῶν συνελθόντας ἑνωθῆναι ἀλλήλοις καὶ γνησίαν καὶ ἄδολον τοῦ λοιποῦ εἶναι τὴν κοινωνίαν. Ἡμεῖς μὲν οὖν ἀπηντήσαμεν κατὰ τὴν προθεσμίαν καὶ οἱ σὺν ἡμῖν ἀδελφοί, οἱ μὲν παρῆσαν, οἱ δὲ ἐπέρρεον, φαιδροὶ πάντες καὶ πρόθυμοι ὡς ἐπὶ εἰρήνην τρέχοντες· καὶ γράμματα παρ' ἡμῶν καὶ ἡμεροδρόμοι σημαίνοντες ὅτι πάρεσμεν· καὶ γὰρ ἡμέτερον ἦν τὸ χωρίον τὸ ἀποδεδειγμένον εἰς ὑποδοχὴν τῶν συντρεχόντων. Ὡς δὲ ἐκ τοῦ ἑτέρου μέρους οὐδεὶς ἦν, οὔτε προτρέχων οὔτε εὐαγγελιζόμενος τὴν παρουσίαν τῶν προσδοκωμένων, οἱ δὲ παρ' ἡμῶν ἀποσταλέντες ἐπανῆλθον κατήφειαν πολλὴν καὶ γογγυσμὸν τῶν ἐκεῖ διηγούμενοι, ὡς καινῆς πίστεως παρ' ἡμῶν καταγγελθείσης· καὶ ἐλέγοντο διορίζεσθαι ἢ

4. Τοῦ Εὐσταθίου Σεβαστείας.

ρὰς τοὺς ἀπεκρούσαμεν. Ἐπειδὴ ὅμως ἡ ὑπόθεσις ἐλάμβανε μεγάλην ἔκτασιν καὶ τίποτε δὲν ὠφελοῦσεν ἡ συνεχὴς ἀπολογία, καθ' ὅσον μάλιστα ἡμεῖς μὲν κατοικούσαμεν μακράν, οἱ δὲ ψευδολόγοι ἠμποροῦσαν ἀπὸ πλησίον νὰ τραυματίζουν μὲ διαβολὰς εἰς βάρος μας καρδίαν εὐκολοπολέμητον καὶ μὴ διδαγμένην νὰ φυλάσσῃ τὴν μίαν τῶν ἀκοῶν ἀκεραίαν διὰ τὸν ἀπόντα, οἱ δὲ Νικοπολῖται ἀπαιτοῦσαν κάποιαν ἐπιβεβαίωσιν περὶ τῆς πίστεως, πρᾶγμα ποὺ δὲν ἀγνοεῖτε σεῖς, ἀπεφασίσαμεν νὰ καταφύγωμεν εἰς τὴν ὑπηρεσίαν τοῦ γραπτοῦ κειμένου. Ἐσκέφθημεν πράγματι ὅτι ταυτοχρόνως θὰ κατωρθώναμεν δύο πράγματα· πρῶτον νὰ πείσωμεν τοὺς Νικοπολίτας νὰ μὴ ἔχουν κακὴν γνώμην περὶ τοῦ ἀνδρὸς [4] καὶ δεύτερον νὰ φράξωμεν τὰ στόματα τῶν διαβολέων μας, καθ' ὅσον ἡ συμφωνία ὡς πρὸς τὴν πίστιν θὰ ἀπέκλειε τὰς ἑκατέρωθεν συκοφαντίας.

Πράγματι δὲ ἡ ὁμολογία πίστεως συνετάχθη, προσεκομίσθη ἀπὸ ἡμᾶς καὶ ὑπεγράφη ἀπὸ ἐκεῖνον. Μόλις δὲ ὑπεγράφη, ὑπεδείχθη τόπος νέας συνόδου καὶ ὡρίσθη ὁ χρόνος δι' αὐτήν, ὥστε καὶ οἱ ἀδελφοὶ τῆς ἰδικῆς μας παροικίας νὰ συνέλθουν καὶ ἑνωθοῦν μὲ ἐκείνους καὶ ἔχουν εἰς τὸ ἑξῆς ἀγνὴν καὶ ἄδολον κοινωνίαν. Ἡμεῖς λοιπὸν ἀνταπεκρίθημεν εἰς τὴν συμφωνηθεῖσαν προθεσμίαν, οἱ δὲ ἀδελφοί μας ἄλλοι μὲν παρευρίσκοντο ἤδη, ἄλλοι δὲ συνέρρεαν, ὅλοι χαρούμενοι καὶ πρόθυμοι ὅπως ἥρμοζε εἰς ἀνθρώπους τρέχοντας πρὸς τὴν εἰρήνην. Ἐστάλησαν δὲ ἀπὸ ἡμᾶς καὶ γράμματα καὶ ταχυδρόμοι [5] πληροφοροῦντες ὅτι εἴμεθα παρόντες· διότι ὁ καθορισθεὶς διὰ τὴν ὑποδοχὴν τῶν συνερχομένων τόπος ἦτο ἰδικός μας.

Ἀλλ' ὅμως ἀπὸ τὴν ἄλλην πλευρὰν δὲν ἤρχετο κανείς, οὔτε πρόδρομος οὔτε ἀγγελιαφόρος περὶ τῆς ἐλεύσεως τῶν ἀναμενομένων, οἱ δὲ ἀποσταλέντες ἀπὸ ἡμᾶς ἐπανελθόντες μᾶς διηγήθησαν τὴν πολλὴν κατήφειαν καὶ τὸν γογγυσμὸν τῶν ἐκεῖ διὰ τὸ ὅτι τάχα διεκηρύχθη ἀπὸ ἡμᾶς νέα πίστις καὶ ἔλεγαν ὅτι ἦσαν ἀποφασισμένοι νὰ μὴ ἐπιτρέψουν εἰς τὸν ἐπίσκοπόν

5. Εἰς τὴν Σεβάστειαν.

μὴν μὴ ἐπιτρέψειν τῷ ἐπισκόπῳ αὐτῶν πρὸς ἡμᾶς διαβῆναι· ἦλθε δέ τις καὶ γράμμα φέρων ἡμῖν ἀφωσιωμένον καὶ οὐδεμίαν ἔχον μνήμην τῶν ἐξ ἀρχῆς συγκειμένων· Καὶ ὁ πάσης δέ μοι αἰδοῦς καὶ τιμῆς ἄξιος ἀδελφὸς Θεόφιλος, ἕνα τῶν ἑαυτῷ συνόντων ἀποστείλας, ἐδήλωσέ τινα ἃ ἐνόμισε καὶ αὐτῷ ἐπιβάλλοντα εἶναι εἰπεῖν καὶ ἡμῖν ἀκοῦσαι πρέποντα. Ἐπιστεῖλαι γὰρ οὐκ ἠξίωσεν οὐ τὸν ἐκ τῶν γραμμάτων ἔλεγχον ὑφορώμενος τοσοῦτον ὅσον φροντίζων τοῦ μὴ εἰς ἀνάγκην ἐλθεῖν προσειπεῖν ἡμᾶς ὡς ἐπισκόπους, πλήν γε δὴ ὅτι σφοδρὰ ἦν τὰ ῥήματα καὶ ἀπὸ καρδίας ἐκθερμανθείσης ἐξενεχθέντα. Ἐπὶ τούτοις διελύθημεν κατησχυμμένοι καὶ συμπεπτωκότες τῇ γνώμῃ, οὐκ ἔχοντες ὅ τι τοῖς ἐρωτῶσιν ἀποκρινώμεθα. Χρόνος δὲ οὐ πολὺς ἐν τῷ μέσῳ καὶ ἀποδημία μέχρι Κιλίκων, κἀκεῖθεν ἐπάνοδος καὶ γράμματα εὐθὺς ἀπαγόρευσιν ἔχοντα τῆς πρὸς ἡμᾶς κοινωνίας.

3. Ἡ δὲ αἰτία τῆς ἀπορρήξεως, ὅτι Ἀπολιναρίῳ, φησίν, ἐπεστείλαμεν καὶ τὸν συμπρεσβύτερον ἡμῶν Διόδωρον ἔχομεν κοινωνικόν. Ἐγὼ δὲ Ἀπολινάριον μὲν ἐχθρὸν οὐδέποτε ἡγησάμην, ἀλλ' ἔστιν ἐφ' οἷς καὶ αἰδοῦμαι τὸν ἄνδρα· οὐ μὴν οὕτως ἐμαυτὸν τῷ ἀνθρώπῳ συνῆψα ὡς τὰ ἐκείνου ἐγκλήματα αὐτὸς ὑποδέχεσθαι, ὅπου γε ἔχω τινὰ καὶ αὐτὸς ἐγκαλεῖν αὐτῷ ἐντυχών τισι τῶν συνταγμάτων αὐτοῦ. Οὐ μὴν περὶ τοῦ Πνεύματος τοῦ Ἁγίου ἢ αἰτήσας αὐτὸν οἶδα βιβλίον ἢ ἀποσταλὲν ὑποδεξάμενος. Ἀλλὰ πολυφωνότατον μὲν αὐτὸν ἀκούω πάντων συγγραφέων γεγενῆσθαι, ὀλίγοις δὲ ἐντετυχηκέναι τῶν συνταγμάτων αὐτοῦ· οὐδὲ γὰρ σχολή μοί ἐστι τὰ τοιαῦτα διερευνᾶσθαι, καὶ ἅμα δυσχερής τίς εἰμι πρὸς τὴν τῶν νεωτέρων παραδοχήν, ᾧ γε τὸ σῶμα οὐδὲ τῇ ἀναγνώσει τῶν θεοπνεύστων Γραφῶν φιλοπόνως καὶ καθ' ὃν ἔδει

6. Τοῦτο ἴσως λέγεται εἰρωνικῶς.

των νὰ διαβῇ πρὸς ἡμᾶς. Ἦλθε δὲ κάποιος μὲ γράμμα πρὸς ἡμᾶς ἀπαράδεκτον ποὺ δὲν ἐμνημόνευε καθόλου τὰ ἐξ ἀρχῆς συμφωνηθέντα. Τέλος δὲ καὶ ὁ ἀδελφὸς Θεόφιλος, ὁ ἄξιος κάθε σεβασμοῦ καὶ τιμῆς ἐκ μέρους μου [6], ἀποστείλας ἕνα ἀπὸ τὸν κύκλον του, ἐδήλωσε μερικὰ πράγματα ποὺ ἐνόμισεν ὅτι ἐπιβάλλονται εἰς αὐτὸν νὰ τὰ εἴπῃ καὶ πρέπει ἡμεῖς νὰ τὰ ἀκούσωμεν. Δὲν ἠξίωσε δὲ νὰ γράψῃ, ὄχι τόσον πολὺ διότι ἐφοβεῖτο τὸν ἔλεγχον τῶν γραπτῶν ὅσον διότι ἐφρόντιζε νὰ μὴ ἔλθῃ εἰς τὴν ἀνάγκην νὰ μᾶς προσφωνήσῃ ὡς ἐπισκόπους, ἀλλὰ πάντως οἱ λόγοι ἦσαν σκληροὶ καὶ ἐξήρχοντο ἀπὸ καρδίαν ἐρεθισμένην.

Κατόπιν τούτων διελύθημεν ἐντροπιασμένοι καὶ μὲ πεσμένον φρόνημα, μὴ ἔχοντες τί νὰ εἴπωμεν εἰς τοὺς ἐρωτῶντας. Δὲν ἐμεσολάβησε δὲ πολὺς χρόνος, ἕως ὅτου ἐταξιδεύσαμεν εἰς τὴν Κιλικίαν καὶ ἐπεστρέψαμεν ἐκεῖ, ὁπότε ἔφθασαν ἀμέσως γράμματα διακόπτοντα τὴν πρὸς ἡμᾶς κοινωνίαν.

3. Ἡ δὲ αἰτία τῆς διασπάσεως ἦτο, λέγει [7], ὅτι ἐγράψαμεν εἰς τὸν Ἀπολινάριον καὶ ἔχομεν κοινωνίαν μὲ τὸν συμπρεσβύτερον ἡμῶν Διόδωρον. Ἐγὼ δὲ τὸν Ἀπολινάριον μὲν δὲν ἐθεώρησα ποτὲ ὡς ἐχθρόν, ὑπάρχουν δὲ πράγματα διὰ τὰ ὁποῖα καὶ σέβομαι τὸν ἄνδρα· ἀλλὰ πάντως δὲν συνεδέθην μὲ τὸν ἄνθρωπον τόσον ὥστε νὰ φορτωθῶ ἐγὼ τὰς ἐναντίον του κατηγορίας, δεδομένου μάλιστα ὅτι καὶ ἐγὼ ὁ ἴδιος ἔχω λόγους νὰ τὸν κατηγορήσω, ἀφοῦ ἀνέγνωσα μερικὰ συγγράμματά του. Πάντως ὅμως δὲν ἐνθυμοῦμαι νὰ τοῦ ἐζήτησα βιβλίον περὶ τοῦ Ἁγίου Πνεύματος ἢ ἀποσταλὲν νὰ τὸ ἐδέχθην. Ἀλλὰ ἀκούω μὲν ὅτι ἀνεδείχθη εἰς τὸν πολυγραφώτατον ὅλων τῶν συγγραφέων, ὀλίγα ὅμως συγγράμματά του ἀνέγνωσα· διότι οὔτε ἔχω καιρὸν νὰ μελετῶ τοιαῦτα ἔργα, καὶ ἐπίσης εἶμαι κάπως δύσκολος εἰς τὴν παραδοχὴν νεωτέρων ἔργων, ἀφοῦ τὸ σῶμα δὲν μοῦ ἐπιτρέπει νὰ ἐπιμένω οὔτε εἰς τῶν θεοπνεύστων Γραφῶν τὴν ἀνάγνωσιν μὲ ἔντασιν τοῦ νοῦ καὶ μὲ τὴν ἀπαιτουμένην

7. Ὁ Εὐστάθιος εἰς τὸ γράμμα.

τρόπον συγχωρεῖν παραμένειν. Τί οὖν πρὸς ἐμὲ τοῦτο, εἴ τις συνέγραψέ τι μὴ ἀρέσκον τῷ δεῖνι; Καίτοι εἰ δεῖ ἄλλον τὰς ὑπὲρ ἄλλου εὐθύνας ὑπέχειν, ὁ ἐμοὶ ἐγκαλῶν ὑπὲρ Ἀπολιναρίου ἀπολογείσθω ἡμῖν ὑπὲρ Ἀρείου τοῦ ἰδίου διδασκάλου καὶ ὑπὲρ Ἀετίου τοῦ ἰδίου ἑαυτοῦ μαθητοῦ. Ἡμεῖς δὲ οὐδὲ ἐδιδάχθημέν τι οὐδὲ ἐμαθητεύθημεν τῷ ἀνδρὶ οὗ τὰ ἐγκλήματα ἡμῖν περιτρέπουσι. Διόδωρον δὲ ὡς θρέμμα τοῦ μακαρίου Σιλουανοῦ τὸ ἐξ ἀρχῆς ὑπεδεξάμεθα, νῦν δὲ καὶ ἀγαπῶμεν καὶ περιέπομεν διὰ τὴν προσοῦσαν αὐτῷ τοῦ λόγου χάριν δι' ἧς πολλοὶ τῶν ἐντυγχανόντων βελτίους γίνονται.

4. Ἐπὶ τούτοις τοῖς γράμμασι διατεθείς, ὡς εἰκὸς ἦν, καὶ ἐκπλαγεὶς πρὸς τὴν οὕτω παράλογον καὶ ἀθρόαν μεταβολὴν οὐδὲ ἀντιφθέγξασθαι ἠδυνήθην. Συνδέδετο μὲν γάρ μοι ἡ καρδία, παρεῖτο δὲ ἡ γλῶσσα, νεναρκήκει δὲ ἡ χείρ, καὶ ἔπαθον πάθος ψυχῆς ἀγενοῦς (εἰρήσεται γὰρ τἀληθές, πλὴν ἀλλὰ συγγνώμης ἄξιον). Μικροῦ καὶ εἰς μισανθρωπίαν ἐξέπεσον καὶ πᾶν μοι ἦθος ὕποπτον ἐνομίσθη καὶ μὴ εἶναι ἐν ἀνθρώπου φύσει τὸ τῆς ἀγάπης καλόν, ἀλλὰ ῥῆμα εἶναι εὐπρόσωπον καλλωπισμόν τινα παρέχον τοῖς κεχρημένοις, οὐ μὴν ἐνυπάρχειν κατὰ ἀλήθειαν καρδίᾳ ἀνθρώπου τὴν διάθεσιν ταύτην. Εἰ γὰρ ὁ δοκῶν ἐκ παιδὸς εἰς γῆρας βαθὺ ἐπιμέλειαν ἑαυτοῦ πεποιῆσθαι ἐκ τοιούτων προφάσεων οὕτω ῥᾳδίως ἐξηγοριώθη, μηδὲν τῶν ἡμετέρων ὑπολογισάμενος μηδὲ τὴν ἐν τῷ παρελθόντι πεῖραν τῆς οὕτως εὐτελοῦς διαβολῆς κυριωτέραν θέμενος, ἀλλ', οἷόν τις πῶλος ἀδάμαστος οὔπω φέρειν καλῶς τὸν ἀναβάτην δεδιδαγμένος, ἐκ μικρᾶς ὑποψίας ἀνεχαίτισε καὶ ἀπεσείσατο καὶ χαμαὶ ἔρριψεν οἷς πρότερον ἐπηγάλλετο, τί χρὴ

---

8. Ὁ Ἄρειος ἦτο ὁ ἀρχηγὸς τῆς αἱρέσεως τοῦ ἀρειανισμοῦ, ἡ ὁποία ἐν γένει ἐδέχετο τὸν Υἱὸν τοῦ Θεοῦ ὡς κτίσμα. Ὁ Ἀέτιος ἦτο ἡγέτης τῆς μερίδος ποὺ ἐδέχετο ἁπλῆν ὁμοιότητα τοῦ Υἱοῦ μὲ τὸν Πατέρα (Ἀνόμοιοι).

9. Τὸν μετέπειτα ἐπίσκοπον Ταρσοῦ καὶ σπουδαῖον ἑρμηνευτήν.

προσοχήν. Τί σχέσιν λοιπὸν ἔχει μὲ ἐμὲ τοῦτο, ἐὰν ἔγραψε κάποιος κάτι ποὺ δὲν ἀρέσει εἰς τὸν δεῖνα; Καὶ ὅμως ἂν ἔπρεπε νὰ ὑπέχῃ ἄλλος τὰς εὐθύνας ἄλλου, ὁ κατηγορῶν ἐμέ, ἂς μᾶς ἀπολογηθῇ ὑπὲρ τοῦ Ἀρείου, τοῦ διδασκάλου του, καὶ ὑπὲρ τοῦ Ἀετίου, τοῦ μαθητοῦ του [8]. Ἡμεῖς δὲ οὔτε ἐδιδάχθημεν κάτι οὔτε ἐμαθητεύσαμεν εἰς τὸν ἄνδρα τοῦ ὁποίου τὰς κατηγορίας μεταφέρουν εἰς ἡμᾶς. Τὸν δὲ Διόδωρον [9] ἐδέχθημεν ἐξ ἀρχῆς ὡς θρέμμα τοῦ μακαρίου Σιλουανοῦ, τώρα δὲ καὶ τὸν ἀγαπῶμεν καὶ τὸν περιποιούμεθα διὰ τὴν χάριν τοῦ λόγου ἡ ὁποία τὸν διακρίνει καὶ διὰ τὴν ὁποίαν πολλοὶ ἀπὸ ὅσους τὸν συναντοῦν γίνονται καλύτεροι.

4. Ἐπηρεασθεὶς ἀπὸ αὐτὰ τὰ γράμματα, ὅπως ἦτο φυσικόν, καὶ ἐκπλαγεὶς ἀπὸ τὴν τόσον ἀπροσδόκητον καὶ ἀπότομον μεταβολήν [10], δὲν ἠδυνήθην οὔτε ν' ἀπαντήσω. Διότι ἡ καρδία μου ἐσφίχθη, ἡ γλῶσσά μου παρέλυσε, τὸ χέρι μου ἐναρκώθη καὶ ἐδοκίμασα τὸ συναίσθημα ἀγενοῦς ψυχῆς —διότι πρέπει νὰ λεχθῇ τὸ ἀληθὲς ἀλλὰ ἄξιον συγχωρήσεως—. Παρ' ὀλίγον θὰ ἔπιπτα καὶ εἰς μισανθρωπίαν καὶ κάθε χαρακτὴρ θὰ μοῦ ἐφαίνετο ὕποπτος καθ' ὅσον ἐσκεπτόμην ὅτι δὲν ὑπάρχει τὸ ἀγαθὸν τῆς ἀγάπης εἰς τὴν φύσιν τοῦ ἀνθρώπου, ἀλλ' αὐτὴ εἶναι ὡραῖος λόγος ποὺ προσφέρει κάποιον στολισμὸν εἰς τοὺς χρησιμοποιοῦντας τὴν λέξιν, ἐνῷ εἰς τὴν πραγματικότητα δὲν ὑπάρχει ἡ διάθεσις αὐτὴ εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου. Διότι ἐὰν αὐτὸς ποὺ ἐφαίνετο ὅτι ἐφρόντισε διὰ τὸ ἦθός του ἀπὸ τὴν παιδικήν του ἡλικίαν μέχρι τοῦ γήρατος τόσον εὔκολα ἐξηγριώθη ἀπὸ τοιαύτας ἀφορμάς, χωρὶς νὰ ὑπολογίσῃ καθόλου τὴν ἰδικήν μας θέσιν καὶ χωρὶς νὰ θεωρήσῃ σπουδαιοτέραν τὴν κατὰ τὸ παρελθὸν πεῖραν ἀπὸ τὴν εὐτελεστάτην διαβολήν, καὶ ὡσὰν ἀδάμαστον πουλάρι ποὺ δὲν ἔχει ἀκόμη διδαχθῇ νὰ φέρῃ καλὰ τὸν ἀναβάτην του, ἐξ αἰτίας μικρᾶς ὑποψίας ἀνεσηκώθη καὶ ἐτινάχθη καὶ ἔρριψε κάτω αὐτοὺς διὰ

---

10. Ὁ Εὐστάθιος ἦτο ἕως τότε φίλος τοῦ Βασιλείου.

περὶ τῶν ἄλλων ὑπονοεῖν, πρὸς οὓς οὔτε ἡμῖν τοσαῦτα τῆς φιλίας ἐστὶν ἐνέχυρα οὔτε παρ' αὐτῶν τοιαύτη τῆς τῶν τρόπων ἐπιμελείας ἐπίδειξις; Ταῦτα κατ' ἐμαυτὸν ἀνελίσσων ἐν τῇ ψυχῇ καὶ συνεχῶς στρέφων ἐν τῇ καρδίᾳ, μᾶλλον δὲ ἀναστρεφόμενος ὑπ' αὐτῶν τὴν καρδίαν, οὕτω δακνόντων με καὶ ἀμυσσόντων διὰ τῆς μνήμης, οὐδὲν ἐκείνοις ἀπεκρινάμην τοῖς γράμμασιν, οὐχ ὑπεροψίᾳ σιωπήσας (μὴ τοῦτο οἰηθῇς, ἀδελφέ· οὐ γὰρ ἀνθρώποις ἀπολογούμεθα, ἀλλὰ κατενώπιον τοῦ Θεοῦ ἐν Χριστῷ λαλοῦμεν), ἀπορίᾳ δὲ καὶ ἀμηχανίᾳ καὶ τῷ μὴ ἔχειν εἰπεῖν τι τῆς λύπης ἄξιον.

5. Ἕως ἐν τούτοις ἦμεν, ἐπικατέλαβεν ἡμᾶς ἕτερα γράμματα πρὸς Δαζίζαν τινὰ γεγραμμένα δῆθεν, τῇ δὲ ἀληθείᾳ πᾶσιν ἀνθρώποις ἐπεσταλμένα, ὡς δηλοῖ αὐτῶν ἡ οὕτως ὀξεῖα διάδοσις ὡς ἐν ὀλίγαις ἡμέραις ἐν παντὶ μὲν τῷ Πόντῳ κατασπαρῆναι καὶ τὴν Γαλατίαν ἐπιδραμεῖν. Φασὶ δέ τινες ὅτι καὶ Βιθυνοὺς διεξελθόντες οἱ τῶν ἀγαθῶν τούτων ἄγγελοι μέχρις αὐτοῦ ἔφθασαν Ἑλλησπόντου. Τίνα δὲ ἦν τὰ καθ' ἡμῶν πρὸς Δαζίζαν ἐπεσταλμένα πάντως μὲν οἶδας. Οὐ γὰρ οὕτω σε μακρὰν τῆς ἑαυτῶν φιλίας τίθενται ὥστε σε μόνον ἀγέραστον τῆς τιμῆς ἐκείνης καταλιπεῖν. Εἰ δὲ οὐκ ἦλθεν εἰς σὲ τὰ γράμματα, ἀλλ' ἐγώ σοι ἀποστέλλω. Ἐν οἷς εὑρήσεις ἡμᾶς κατηγορουμένους δόλον καὶ ῥᾳδιουργίαν, φθορὰν Ἐκκλησιῶν καὶ ψυχῶν ἀπώλειαν, καὶ τὸ πάντων, ὡς αὐτοὶ νομίζουσιν, ἀληθέστατον, ὅτι ἐγκάθετον ἐκείνην τὴν προβολὴν τῆς πίστεως ἐποιησάμεθα οὐ Νοκοπολίταις διακονούμενοι, ἀλλ' αὐτοὶ λαβεῖν δολερῶς ὁμολογίαν ἐπινοήσαντες. Τούτων μὲν οὖν κριτὴς Κύριος. Καὶ γὰρ τίς ἂν γένοιτο τῶν ἐν καρδίᾳ λογισμῶν ἐναργὴς ἀπόδειξις; Ἐκεῖνο δὲ αὐτῶν ἐθαύμασα, εἰ ὅτι μὲν τῷ παρ' ἡμῶν ἐπιδοθέντι βιβλίῳ ὑπέγραψαν, τοσαύτῃ κέχρηνται διαστάσει ὥστε καὶ ὄντα

---

11. Προφανῶς ὁ Βασίλειος ἐννοεῖ ὅτι ἔφθασαν καὶ ἕως τὴν Κωνσταντινούπολιν.

τοὺς ὁποίους προηγουμένως ἐχαίρετο, τί πρέπει νὰ σκεπτώμεθα διὰ τοὺς ἄλλους, πρὸς τοὺς ὁποίους ἡμεῖς δὲν ἔχομεν τόσα δείγματα φιλίας καὶ οἱ ὁποῖοι δὲν παρουσιάζουν τοιαύτην ἐπίδειξιν τῆς ἐπιμελείας τῶν τρόπων; Ταῦτα ἀνακινῶν μόνος μου εἰς τὴν ψυχήν μου καὶ στρέφων συνεχῶς εἰς τὴν καρδίαν, μᾶλλον δὲ ἀναστρεφόμενος ἀπὸ αὐτὰ εἰς τὴν καρδίαν, διότι τόσον πολὺ μὲ ἐδάγκαναν καὶ μὲ ἐπλήγωναν διὰ τῆς μνήμης των, δὲν ἀπήντησα τίποτε εἰς ἐκεῖνα τὰ γράμματα, καὶ ἐσιώπησα ὄχι ἀπὸ ὑπεροψίαν —μὴ ὑποπτευθῇς τοῦτο, ἀδελφέ· διότι δὲν ἀπολογούμεθα εἰς ἀνθρώπους, ἀλλ' ὁμιλοῦμεν ἐνώπιον τοῦ Θεοῦ ἐν Χριστῷ—, ἀλλὰ ἀπὸ ἀπορίαν καὶ ἀμηχανίαν καὶ ἀπὸ τὸ ὅτι δὲν εἶχα νὰ εἴπω κάτι ἄξιον λύπης.

5. Ἐνῷ δὲ ἤμεθα εἰς αὐτὴν τὴν κατάστασιν, μᾶς ἔφθασεν ἕνα ἄλλο γράμμα γραμμένον δῆθεν πρὸς κάποιον Δαζίζαν, εἰς τὴν πραγματικότητα δὲ σταλμένον πρὸς ὅλους τοὺς ἀνθρώπους, καθὼς φανερώνει ἡ τόσον ταχεῖα διάδοσίς του εἰς σημεῖον ὥστε εἰς ὀλίγας ἡμέρας νὰ διασπαροῦν ἀντίγραφα εἰς ὁλόκληρον τὸν Πόντον καὶ νὰ ἐπιδράμουν εἰς τὴν Γαλατίαν. Λέγουν δὲ μερικοὶ ὅτι καὶ τῶν ἀγαθῶν τούτων ἀγγελιαφόροι διατρέξαντες τὴν Βιθυνίαν ἔφθασαν μέχρι καὶ τοῦ Ἑλλησπόντου [11]. Ποῖα δὲ ἦσαν τὰ ἐναντίον μας σταλέντα πρὸς τὸν Δαζίζαν ἀσφαλῶς γνωρίζεις. Διότι δὲν σὲ θεωροῦν τόσον ξένον ἀπὸ αὐτούς, ὥστε μόνον ἐσὲ νὰ ἀφήσουν ἀβράβευτον μὲ ἐκείνην τὴν τιμήν. Ἐὰν δὲ δὲν σοῦ ἦλθε τὸ γράμμα, θὰ σοῦ τὸ ἀποστείλω ἐγώ. Θὰ εὕρῃς εἰς αὐτὸ νὰ κατηγορούμεθα διὰ δόλον καὶ ραδιουργίαν, φθορὰν Ἐκκλησιῶν καὶ ἀπώλειαν ψυχῶν, καὶ τὸ ἀληθέστατον ὅλων, ὅπως νομίζουν αὐτοί, ὅτι τὴν πρότασιν ἐκείνην περὶ τῆς ὑπογραφῆς τῆς ὁμολογίας πίστεως τὴν ἐκάμαμεν ὑποβολιμαίως, ὄχι ἐξυπηρετοῦντες τοὺς Νικοπολίτας, ἀλλὰ μηχανευθέντες ἡμεῖς οἱ ἴδιοι νὰ λάβωμεν ὁμολογίαν δολίως. Τούτων μὲν βεβαίως κριτὴς θὰ εἶναι ὁ Κύριος. Διότι ποία σαφὴς ἀπόδειξις τῶν λογισμῶν τῆς καρδίας ἠμπορεῖ νὰ εὑρεθῇ;

Ἐκεῖνο δὲ ἐθαύμασα εἰς αὐτούς· διὰ τὸ ὅτι μὲν ὑπέγραψαν τὸ κείμενον ποὺ τοὺς παρουσιάσαμεν ἡμεῖς, καταλαμβάνονται

καὶ μὴ ὄντα εἰς τὴν τῶν ἐγκαλούντων αὐτοῖς πληροφορίαν συμφύρειν· ὅτι δὲ ἐν τῇ Ῥώμῃ ἔγγραφος αὐτῶν ὁμολογία τῆς ἐν Νικαίᾳ πίστεως ἀπόκειται, τοῦτο οὐκ ἐννοοῦσιν, οὐδὲ ὅτι διὰ τῆς ἑαυτῶν χειρὸς ἐπέδωκαν τῇ ἐν Τυάνοις συνόδῳ τὸ ἀπὸ τῆς Ῥώμης βιβλίον, ὃ παρ' ἡμῖν κατάκειται, τὴν αὐτὴν ταύτην πίστιν ἔχον. Καὶ τῆς ἰδίας ἑαυτῶν δημηγορίας ἐπελάθοντο, ἥν, εἰς τὸ μέσον καταστάντες τότε, ὠδύροντο μὲν τὴν ἀπάτην δι' ἧς ὑπήχθησαν συνθέσθαι τῷ τόμῳ τῷ παρὰ τοῦ συστήματος Εὐδοξίου συντεταγμένῳ· διότι ταύτην ἐπενόησαν τοῦ σφάλματος ἐκείνου ἀπολογίαν, τό, ἀπελθόντας εἰς Ῥώμην, ἐκεῖθεν λαβεῖν τὴν τῶν πατέρων πίστιν, ἵνα ἣν ἐποίησαν βλάβην ταῖς Ἐκκλησίαις τῇ πρὸς τὸ κακὸν συνθήκῃ ταύτην ἐπανορθώσωνται τῇ ἐπεισαγωγῇ τοῦ βελτίονος. Ἀλλ' οἱ τὰς μακροτάτας ἀποδημίας ὑπὲρ τῆς πίστεως ὑποστάντες καὶ τὰ σοφὰ ταῦτα δημηγορήσαντες νῦν λοιδοροῦνται ἡμᾶς ὡς δολίως πορευομένους καὶ ἐν σχήματι ἀγάπης τὰ τῶν ἐπιβουλευόντων ποιοῦντας. Δηλοῖ δὲ καὶ τὰ νῦν περιφερόμενα κατεγνωκέναι αὐτοὺς τῆς ἐν Νικαίᾳ πίστεως. Εἶδον γὰρ Κύζικον καὶ μετ' ἄλλης πίστεως ἐπανῆλθον.

6. Καὶ τί τὸ ἐν τοῖς ῥήμασιν εὐμετάθετον λέγω, πολλῷ μείζονας ἐξ αὐτῶν τῶν πραγμάτων τῆς ἐπὶ τἀναντία περιτροπῆς ἔχων τὰς ἀποδείξεις; Οἱ γὰρ πεντακοσίων ἐπισκόπων δόγματι κατ' αὐτῶν ἐξενεχθέντι μὴ εἴξαντες μηδὲ καταδεξάμενοι τῆς οἰκονομίας τῶν Ἐκκλησιῶν ἀποστῆναι, τοσούτων εἰς τὴν τῆς καθαιρέσεως αὐτῶν γνώμην συμφωνησάντων, διότι, φησίν, οὐκ

---

12. Ὅπως ἐπανειλημμένως ἔχει λεχθῆ ὁ Εὐστάθιος μετ' ἄλλων ἐπισκόπων εἰς τὴν Ρώμην ὑπέγραψεν ὁμολογίαν περιέχουσαν τὸ σύμβολον τῆς Νικαίας τὸ 366. Ἕνα ἀντίγραφον τῆς ὁμολογίας διετηρήθη εἰς τὴν Ρώμην καὶ δεύτερον ἀντίγραφον μετὰ βεβαιώσεως τοῦ ἐπισκόπου Ρώμης καὶ ἄλλων εὑρεθέντων ἐκεῖ ἐπισκόπων ὑπεβλήθη ὑπ' αὐτοῦ εἰς τὴν σύνοδον τῶν Τυάνων, τώρα δὲ ἦτο εἰς χεῖρας τοῦ Βασιλείου.

ἀπὸ τόσην ὁρμὴν διαστάσεως ὥστε νὰ ἀναμιγνύουν πρὸς διαβεβαίωσιν τῶν κατηγορούντων αὐτοὺς καὶ πραγματικὰ καὶ ἀνύπαρκτα γεγονότα· τὸ ὅτι δὲ εἰς τὴν Ρώμην ἀπόκειται ἔγγραφος ὁμολογία των τοῦ συμβόλου τῆς Νικαίας, αὐτὸ δὲν τὸ σκέπτονται, ὅπως οὔτε τὸ ὅτι μὲ τὰ χέρια των ἔδωσαν εἰς τὴν σύνοδον τῶν Τυάνων τὸ κείμενον ἀπὸ τὴν Ρώμην, τὸ ὁποῖον φυλάσσεται εἰς ἡμᾶς, ἔχον τὸ ἴδιον σύμβολον[12]. Ἐλησμόνησαν δὲ καὶ τὴν ἰδίαν των δημηγορίαν, μὲ τὴν ὁποίαν, ὅταν ὡδηγήθησαν εἰς τὸ μέσον τῆς συνόδου ἐκείνης, ἐθρήνησαν διὰ τὴν ἀπάτην διὰ τῆς ὁποίας ἐπείσθησαν νὰ συμφωνήσουν μὲ τὸν τόμον ποὺ συνέταξαν οἱ τῆς μερίδος τοῦ Εὐδοξίου[13]. Πράγματι ὡς μέσον ἀπολογίας διὰ τὸ σφάλμα ἐκεῖνο ἐπενόησαν τοῦτο, τὸ νὰ μεταβοῦν εἰς τὴν Ρώμην καὶ ἀπὸ ἐκεῖ νὰ λάβουν τὸ σύμβολον τῶν πατέρων, οὕτως ὥστε νὰ ἐπανορθώσουν τὴν βλάβην, ποὺ ἐπροξένησαν εἰς τὰς Ἐκκλησίας μὲ τὴν συμφωνίαν πρὸς τὸ κακόν, διὰ τῆς εἰσαγωγῆς τοῦ καλυτέρου. Αὐτοὶ δὲ ποὺ ὑπεβλήθησαν εἰς τὰς μακροτάτας ἀποδημίας χάριν τῆς πίστεως καὶ ἔκαμαν τὰς σοφὰς ἐκείνας δημηγορίας τώρα μᾶς ὑβρίζουν ὡς βαδίζοντας δολίως καὶ ὡς ἐνεργοῦντας ἐπιβουλὰς μὲ τὸ ἔνδυμα τῆς ἀγάπης. Καὶ τὰ τώρα δὲ περιφερόμενα δεικνύουν ὅτι ἔχουν ἀποδοκιμάσει τὸ σύμβολον τῆς Νικαίας. Διότι εἶδαν τὴν Κύζικον καὶ ἐπέστρεψαν μὲ ἄλλο σύμβολον.

6. Ποίαν ἀνάγκην ὅμως ἔχω νὰ ἐκθέτω τὸ εὐμετάβολον εἰς τὰ λόγια, ὅταν ἔχω πολὺ περισσοτέρας ἀποδείξεις περὶ τῆς μεταστροφῆς εἰς τὰ ἀντίθετα ἀπὸ τὰ ἴδια τὰ πράγματα; Αὐτοὶ ποὺ δὲν ὑπήκουσαν εἰς ἀπόφασιν ληφθεῖσαν ἐναντίον των ἀπὸ πεντακοσίους ἐπισκόπους[14] καὶ δὲν ἐδέχθησαν νὰ ἐγκαταλείψουν τὴν διαποίμανσιν τῶν Ἐκκλησιῶν, ἐνῷ τόσον πολλοὶ συνεφώνησαν εἰς τὴν περὶ καθαιρέσεως αὐτῶν γνώ-

13. Ὁ Εὐδόξιος, ἐπίσκοπος Κωνσταντινουπόλεως ἀπὸ τὸ 360, ὀπαδὸς τῶν Ὁμοίων ποὺ εἶχαν συντάξει τὸ σύμβολον τοῦ Ἀριμίνου.

14. Εἰς τὴν σύνοδον Κωνσταντινουπόλεως ἕως τὸ 360, εἰς τὴν ὁποίαν βέβαια ἐπεκράτησεν ἡ μέση ἀρειανικὴ μερὶς τῶν Ὁμοίων.

ἦσαν Πνεύματος Ἁγίου μέτοχοι οὐδὲ Θεοῦ χάριτι τὰς Ἐκκλησίας οἰκονομοῦντες, ἀλλ' ἀνθρωπίνῃ δυναστείᾳ κατ' ἐπιθυμίαν δόξης κενῆς τὰς προστασίας ἁρπάσαντες· οὗτοι νῦν τοὺς παρ' ἐκείνων χειροτονηθέντας ὡς ἐπισκόπους δέχονται. Οὓς ἐρώτησον ἀντ' ἐμοῦ, εἰ καὶ τῶν ἀνθρώπων πάντων καταφρονοῦσιν ὡς οὔτ' ὀφθαλμοὺς ἐχόντων οὔτ' ὦτα οὔτε καρδίαν αἰσθητικήν, ὅσον γοῦν δύνασθαι συνιδεῖν τῶν γινομένων τὸ ἀνακόλουθον, ἐν τῇ ἑαυτῶν καρδίᾳ τίνα διάνοιαν ἔχουσι; Πῶς δύνανται δύο εἶναι ἐπίσκοποι, ὅ τε καθηρημένος παρὰ Εὐιππίου καὶ ὁ παρὰ τοῦ αὐτοῦ κεχειροτονημένος; Τῆς γὰρ αὐτῆς χειρὸς ἔργον ἀμφότερα. Ὅς εἰ μὴ εἶχε τὴν δεδομένην τῷ Ἱερεμίᾳ χάριν, κατασκάπτειν καὶ ἀνοικοδομεῖν, ἐκριζοῦν καὶ καταφυτεύειν, οὔτ' ἂν ἐξερρίζωσε τοῦτον οὔτ' ἂν ἐκεῖνον ἐφύτευσεν. Εἰ δὲ τὸ ἕτερον αὐτῷ δίδως, συγχωρήσεις αὐτῷ καὶ τὸ ἕτερον. Ἀλλ' εἷς ὁ σκοπός, ὡς ἔοικε, τὸ ἑαυτῶν ζητεῖν πανταχοῦ, καὶ φίλον μὲν ἡγεῖσθαι τὸν ταῖς ἐπιθυμίαις αὐτῶν συνεργοῦντα, πολέμιον δὲ κρίνειν καὶ μηδεμιᾶς κατ' αὐτοῦ διαβολῆς φείδεσθαι τὸν ταῖς ἐπιθυμίαις αὐτῶν ἀνθιστάμενον.

7. Οἷαι γὰρ αὐτῶν καὶ αἱ νῦν κατὰ τῆς Ἐκκλησίας οἰκονομίαι; Φρικταὶ μὲν διὰ τὴν τῶν ποιούντων εὐκολίαν, ἐλεειναὶ δὲ διὰ τὴν τῶν πασχόντων ἀναισθησίαν. Εὐιππίου τέκνα καὶ Εὐιππίου ἔκγονα, διὰ πρεσβείας ἀξιοπίστου ἐκ τῆς ὑπερορίας μετακληθέντες εἰς τὴν Σεβάστειαν, ἐπιστεύθησαν τὸν λαόν. Παρέλαβον τὸ θυσιαστήριον, ζύμη ἐγένοντο τῆς ἐκεῖ Ἐκκλησίας. Παρ' ὧν ἡμεῖς μὲν ὡς ὁμοουσιασταὶ διωκόμεθα· Εὐστάθιος δέ, ὁ βαστάσας ἐν τῷ χάρτῃ ἀπὸ Ῥώμης μέχρι Τυάνων τὸ ὁμοούσιον, οὗτος νῦν

---

15. Ὁ Εὐίππιος ἦτο ἀρειανίζων ἐπίσκοπος ἀπὸ τὸν ὁποῖον ὁ Βασίλειος εἶχε διακόψει τὴν κοινωνίαν. Ὁ Εὐστάθιος ἄλλοτε τὸν ἐπέκρινεν, ἀλλὰ τώρα ἦτο ἡνωμένος μαζί του.

16. Ἱερ. 1, 10.

μην, διότι, λέγει, δὲν ἦσαν μέτοχοι τοῦ Ἁγίου Πνεύματος οὔτε διεκυβερνοῦσαν τὰς Ἐκκλησίας κατὰ τὴν χάριν τοῦ Θεοῦ, ἀλλὰ ἥρπασαν τὰς ἐπισκοπὰς μὲ τὴν βοήθειαν τῆς ἀνθρωπίνης ἐξουσίας ἀπὸ ἐπιθυμίαν κενῆς δόξης, αὐτοὶ τώρα δέχονται ὡς ἐπισκόπους τοὺς χειροτονηθέντας ἀπὸ ἐκείνους. Ἐρώτησέ τους ἐσὺ ἀντὶ ἐμοῦ, μολονότι καταφρονοῦν ὅλους τοὺς ἀνθρώπους, ὡς μὴ ἔχοντας οὔτε ὀφθαλμοὺς οὔτε ὦτα οὔτε καρδίαν ἀντιληπτικὴν ὥστε νὰ δύναται νὰ συλλαμβάνῃ τὴν ἀνακολουθίαν τῶν γινομένων, ἐρώτησέ τους, ποίαν σκέψιν ἔχουν εἰς τὴν καρδίαν των; Πῶς δύνανται νὰ εἶναι ἐπίσκοποι οἱ ἑξῆς δύο, ὁ καθῃρημένος ἀπὸ τὸν Εὐίππιον καὶ ὁ χειροτονημένος ἀπὸ τὸν Εὐίππιον [15]; Τὰ δύο αὐτὰ εἶναι ἔργον τῆς ἰδίας χειρός. Αὐτός, ἐὰν δὲν εἶχε τὴν χάριν ποὺ ἦτο δεδομένη εἰς τὸν Ἱερεμίαν [16], νὰ κρημνίζῃ καὶ νὰ οἰκοδομῇ, νὰ ἐκριζώνῃ καὶ νὰ φυτεύῃ, οὔτε αὐτὸν θὰ ἐξερρίζωνεν οὔτε τὸν ἄλλον θὰ ἐφύτευεν. Ἐὰν δὲ τοῦ δώσῃς τὴν μίαν δύναμιν, πρέπει νὰ τοῦ ἐπιτρέψῃς καὶ τὴν ἄλλην. Ἀλλ' ἕνας εἶναι ὁ σκοπός των, ὅπως φαίνεται, νὰ ζητοῦν παντοῦ τὸ συμφέρον των καὶ φίλον μὲν νὰ θεωροῦν τὸν συνεργοῦντα εἰς τὰς ἐπιθυμίας των, ἐχθρὸν δὲ νὰ κρίνουν, καὶ νὰ μὴ φείδωνται καμμίαν διαβολὴν εἰς βάρος του, τὸν ἀνθιστάμενον εἰς τὰς ἐπιθυμίας των.

7. Ποῖα δὲ εἶναι τὰ τωρινὰ μηχανεύματά των κατὰ τῆς Ἐκκλησίας; Ὡς πρὸς μὲν τὴν εὐκολίαν τῶν ἐνεργούντων αὐτὰ φρικτά, ὡς πρὸς δὲ τὴν ἀναισθησίαν τῶν πασχόντων ἐλεεινά. Παιδιὰ τοῦ Εὐιππίου καὶ ἐγγόνια τοῦ Εὐιππίου, μετακληθέντα ἀπὸ τὴν ἐξορίαν [17] δι' ἀξιοπίστου πρεσβείας εἰς τὴν Σεβάστειαν, ἀνέλαβαν ὑπὸ πνευματικὴν ὁδήγησιν τὸν λαόν. Παρέλαβαν τὸ θυσιαστήριον, ἔγιναν ζύμη τῆς ἐκεῖ Ἐκκλησίας. Ἀπὸ αὐτοὺς μάλιστα ἡμεῖς μὲν διωκόμεθα ὡς ὁμοουσιασταί, ὁ δὲ Εὐστάθιος ποὺ ἐβάστασε τὸ ὁμοούσιον εἰς τὸν χάρτην ἀπὸ τὴν Ρώμην μέχρι τῶν Τυάνων, οὗτος τώρα ἔχει ἀναμιχθῇ μὲ αὐ-

17. Κληρικοὶ χειροτονηθέντες ἀπὸ τὸν Εὐίππιον ἢ ἀπὸ ἐπισκόπους ποὺ εἶχαν χειροτονηθῇ ἀπὸ τὸν Εὐίππιον.

αὐτοῖς ἀνακέκραται, εἰ καὶ ὅτι παραδεχθῆναι εἰς τὴν πολυπόθητον αὐτῶν κοινωνίαν οὐκ ἠδυνήθη, ἢ φοβηθέντων τὸ πλῆθος τῶν κατ' αὐτοῦ συμφωνησάντων, ἢ αἰδεσθέντων τὸ ἀξιόπιστον. Τίνες γὰρ ἦσαν οἱ συνειλεγμένοι καὶ πῶς μὲν χειροτονηθεὶς ἕκαστος, ἀπὸ ποίου δὲ τοῦ ἐξ ἀρχῆς βίου ἐπὶ ταύτην παρελθὼν τὴν δυναστείαν νῦν, ἐγὼ μὲν μή ποτε οὕτω σχολάσαιμι ὥστε τὰ ἐκείνων ἐκδιηγεῖσθαι. Ἔμαθον γὰρ προσεύχεσθαι «ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων». Αὐτὸς δὲ ἐρευνήσας μαθήσῃ· κἂν σε διαφύγῃ, τὸν κριτὴν πάντως οὐ λήσεται.

8. Ὁ μέντοι πέπονθα πάθος οὐ παραιτήσομαι καὶ πρὸς τὴν σὴν ἐξειπεῖν ἀγάπην, ὅτι πέρυσιν ἀσθενήσας πυρετῷ βαρυτάτῳ καὶ ἐγγίσας σχεδὸν μέχρις αὐτῶν τῶν πυλῶν τοῦ θανάτου, εἶτα ὑπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἀνακληθείς, δυσχερῶς εἶχον πρὸς τὴν ἐπάνοδον λογιζόμενος εἰς οἷα ἔρχομαι πάλιν κακά· καὶ κατ' ἐμαυτὸν ἐσκόπουν τί ποτε ἄρα ἐστὶ τὸ ἐν τῷ βάθει τῆς σοφίας ἀποκείμενον τοῦ Θεοῦ, δι' ὃ ἐμοὶ πάλιν τῆς ἐν σαρκὶ ζωῆς ἡμέραι συνεχωρήθησαν. Ἐπειδὴ δὲ ἔγνων ταῦτα, ἐλογισάμην ὅτι ἐβουλήθη ἡμᾶς ὁ Κύριος ἰδεῖν παυσαμένας τοῦ σάλου τὰς Ἐκκλησίας, ὃν ἔπαθον πρὸ τούτου ἐπὶ τῷ χωρισμῷ τῶν διὰ τὴν περιπεπλασμένην αὐτοῖς σεμνότητα πάντα πιστευομένων. Ἢ καὶ τάχα τονῶσαί μου τὴν ψυχὴν καὶ νηπτικωτέραν πρός γε τὸ ἐφεξῆς καταστῆσαι ὁ Κύριος ἐβουλήθη, ὡς μὴ προσέχειν ἀνθρώποις, ἀλλὰ διὰ τῶν εὐαγγελικῶν ἐντολῶν καταρτίζεσθαι, αἳ οὔτε καιροῖς οὔτε περιστάσεσιν ἀνθρωπίνων πραγμάτων συμμεταβάλλονται, ἀλλ' αἱ αὐταὶ διαμένουσιν, ὡς προηνέχθησαν ἀπὸ τοῦ ἀψευδοῦς καὶ μακαρίου στόματος οὕτω διαιωνίζουσαι.

---

18. Ἐννοεῖ τοὺς συναθροισθέντας εἰς Σεβάστειαν πιθανῶς εἰς ἕνα εἶδος ψευδοσυνόδου ὑπὸ τὸν Εὐστάθιον.

τούς, μολονότι δὲν ἠδυνήθη νὰ γίνῃ δεκτὸς εἰς τὴν πολυπόθητον κοινωνίαν των, εἴτε διότι ἐφοβήθησαν τὸ πλῆθος τῶν συμφωνησάντων κατ' αὐτοῦ ἄλλοτε, εἴτε διότι ἐσεβάσθησαν τὴν ἀξιοπιστίαν ἐκείνων.

Ποῖοι δὲ ἦσαν οἱ συνηθροισμένοι καὶ πῶς ἦτο χειροτονημένος ὁ καθένας ἀπὸ αὐτούς [18], ἀπὸ ποῖον δὲ ἀρχικὸν βίον ἐξεκίνησε διὰ νὰ φθάσῃ τώρα εἰς αὐτὴν τὴν ἐξουσίαν, ἐγὼ μὲν δὲν θὰ ἔχω ποτὲ καιρὸν νὰ διηγηθῶ τὰς περιπετείας τῶν ἀνδρῶν ἐκείνων. Ἔμαθα ἄλλωστε νὰ προσεύχωμαι, «τὸ στόμα μου νὰ μὴ γνωστοποιήσῃ τὰ ἔργα τῶν ἀνθρώπων» [19]. Σὺ δὲ ὁ ἴδιος, ἐὰν ἐρευνήσῃς, θὰ τὰ μάθῃς· καὶ ἂν σοῦ διαφύγῃ, πάντως δὲν θὰ μείνουν κρυφὰ ἀπὸ τὸν Κριτήν.

8. Τὰ αἰσθήματα ποὺ ἐδοκίμασα πάντως δὲν θὰ παραλείψω νὰ τὰ ἐκθέσω πρὸς τὴν ἀγάπην σου, ὅτι δηλαδὴ πέρυσιν, ἀσθενήσας μὲ βαρύτατον πυρετὸν καὶ ἐγγίσας σχεδὸν τὰς πύλας τοῦ θανάτου, ἀνακληθεὶς δὲ ἔπειτα ὑπὸ τῆς φιλανθρωπίας τοῦ Θεοῦ, ἤμην πολὺ στενοχωρημένος διὰ τὴν ἐπάνοδον, σκεπτόμενος εἰς ποῖα κακὰ ξαναέρχομαι· καὶ ἐσκεπτόμην μέσα μου, τί εὑρίσκεται ἄρά γε εἰς τὸ βάθος τῆς σοφίας τοῦ Θεοῦ, λόγῳ τοῦ ὁποίου μοῦ ἐχαρίσθησαν πάλιν ἡμέραι τῆς ἐν σαρκὶ ζωῆς. Ὅταν δὲ ἔμαθα αὐτά, ἐσκέφθην ὅτι ὁ Κύριος ἠθέλησε νὰ ἴδωμεν τὰς Ἐκκλησίας ν' ἀπαλλάσσωνται ἀπὸ τὸν σάλον, τὸν ὁποῖον προηγουμένως ὑπέστησαν ἐξ αἰτίας τοῦ χωρισμοῦ αὐτῶν εἰς τοὺς ὁποίους ἐνεπιστεύετο κανεὶς τὰ πάντα λόγῳ τῆς ἐπιπλάστου σεμνότητος. Ἴσως ἐπίσης ὁ Κύριος ἠθέλησε νὰ μοῦ τονώσῃ τὴν ψυχὴν καὶ νὰ τὴν κάμῃ νηφαλιωτέραν, εἰς τὸ ἐξῆς τοὐλάχιστον, ὥστε νὰ μὴ προσέχῃ ἀνθρώπους, ἀλλὰ νὰ καταρτίζεται διὰ τῶν εὐαγγελικῶν ἐντολῶν, αἱ ὁποῖαι δὲν συμμεταβάλλονται οὔτε μὲ τοὺς καιροὺς οὔτε μὲ τὰς περιπετείας τῶν ἀνθρωπίνων πραγμάτων, ἀλλὰ παραμένουν αἱ ἴδιαι, αἰώνιαι, ὅπως προεφέρθησαν ἀπὸ τὸ ἀψευδὲς καὶ μακάριον στόμα.

---

19. Ψαλμ. 16, 4.

9. Ἄνθρωποι δὲ ταῖς νεφέλαις ἐοίκασι, πρὸς τὰς τῶν πνευμάτων μεταβολὰς ἄλλοτε κατ' ἄλλο μέρος τοῦ ἀέρος ἐμφερομέναις· καὶ μάλιστα δὴ οὗτοι περὶ ὧν ὁ λόγος πολυτροπώτατοι τῶν εἰς ἡμετέραν πεῖραν ἡκόντων ἐφάνησαν. Εἰ μὲν καὶ εἰς τὰ λοιπὰ τοῦ βίου πράγματα, εἴποιεν ἂν οἱ συμβεβιωκότες· ὃ δ' οὖν ἐμοὶ ἐφάνη, τὸ περὶ τὴν πίστιν αὐτῶν εὐμετάθετον, οὐκ οἶδα μέχρι τοῦ νῦν ἐν ἄλλοις, οὔτε αὐτὸς ἱστορήσας οὔτε ἀκούσας ἑτέρων. Ἀρείῳ κατηκολούθουν τὸ ἐξ ἀρχῆς· μετέθεντο πρὸς Ἑρμογένην τὸν κατὰ διάμετρον ἐχθρὸν ὄντα τῆς Ἀρείου κακοδοξίας, ὡς δηλοῖ αὐτὴ ἡ πίστις ἡ κατὰ Νίκαιαν παρ' ἐκείνου τοῦ ἀνδρὸς ἐκφωνηθεῖσα ἐξ ἀρχῆς. Ἐκοιμήθη Ἑρμογένης, καὶ πάλιν μετέστησαν πρὸς Εὐσέβιον, ἄνδρα κορυφαῖον τοῦ κατὰ Ἄρειον κύκλου, ὡς οἱ πειραθέντες φασίν. Ἐκεῖθεν ἐκπεσόντες, δι' ἃς δήποτε αἰτίας, πάλιν ἀνέδραμον εἰς τὴν πατρίδα καὶ πάλιν τὸ ἀρειανὸν ὑπέκρυπτον φρόνημα. Παρελθόντες εἰς τὴν ἐπισκοπήν, (ἵνα τὰ ἐν τῷ μέσῳ παραλείπω), ὅσας ἐξέθεντο πίστεις; Ἐπ' Ἀγκύρας ἄλλην, ἑτέραν ἐν Σελευκείᾳ, ἐν Κωνσταντινουπόλει, τὴν πολυθρύλητον, ἐν Λαμψάκῳ ἑτέραν, μετὰ ταῦτα τὴν ἐν Νίκῃ τῆς Θράκης, νῦν πάλιν τὴν ἀπὸ Κυζίκου, ἧς τὰ μὲν ἄλλα οὐκ ἐπίσταμαι, τοσοῦτον δὲ ἀκούω ὅτι τὸ ὁμοούσιον κατασιγάσαντες, τὸ κατ' οὐσίαν ὅμοιον νῦν περιφέρουσι καὶ τὰς εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημίας μετ' Εὐνομίου συγγράφουσι. Τούτων δὲ τῶν πίστεων ἃς ἀπηριθμησάμην, εἰ καὶ

---

20. Ὁ Ἑρμογένης ἦτο ἐπίσκοπος Καισαρείας πρὸ τοῦ Διανίου. Ὡς διάκονος ἦτο γραμματεὺς τῆς συνόδου τῆς Νικαίας, αὐτὸς δὲ κατέγραψε τὸ ὑπ' αὐτῆς συνταχθὲν σύμβολον καὶ τὸ ἐξεφώνησεν ἐπισήμως.

21. Τὸν Εὐσέβιον Νικομηδείας καὶ ἔπειτα Κωνσταντινουπόλεως, ἐπίσημον ἡγέτην τῆς ἀρειανικῆς παρατάξεως.

22. Τὸ 358. Ἔγινε δεκτὸν τὸ ὁμοιούσιον.

23. Τὸ 359, ἀντίστοιχος τῆς συνόδου τοῦ Ἀριμίνου.

24. Τὸ 360.

9. Οἱ δὲ ἄνθρωποι ὁμοιάζουν μὲ τὰς νεφέλας, ποὺ μετακινοῦνται ἄλλοτε ἐδῶ καὶ ἄλλοτε ἐκεῖ κατὰ τὰς μεταβολὰς τῶν ἀνέμων. Μάλιστα δὲ αὐτοὶ περὶ τῶν ὁποίων γίνεται ὁ λόγος εἰς τὴν ἰδικήν μας πεῖραν ἐφάνησαν ὡς οἱ περισσότερον εὐμετάβολοι ἀπὸ ὅλους τοὺς ἀνθρώπους. Ἐὰν καὶ εἰς τὰς ἄλλας ὑποθέσεις τοῦ βίου εἶναι τέτοιοι, θὰ ἠμποροῦσαν νὰ τὸ εἰποῦν ὅσοι ἔζησαν μαζί των. Ἐκεῖνο πάντως ποὺ περιῆλθεν εἰς ἰδικήν μου γνῶσιν, τὸ εὐμετάβολον εἰς τὴν πίστιν των, δὲν γνωρίζω νὰ ὑπάρχῃ εἰς ἄλλους, οὔτε ἀπὸ ἰδικήν μου παρατήρησιν οὔτε ἀπὸ πληροφορίαν ἄλλων.

Εἰς τὴν ἀρχὴν ἀκολουθοῦσαν τὸν Ἄρειον· ἔπειτα μετεστράφησαν πρὸς τὸν Ἑρμογένην τὸν ἐκ διαμέτρου ἀντίπαλον τῆς κακοδοξίας τοῦ Ἀρείου, ὅπως δεικνύει τὸ σύμβολον τῆς Νικαίας τὸ κατὰ πρῶτον ὑπ' αὐτοῦ τοῦ ἀνδρὸς ἐκφωνηθέν[20]. Ὅταν ἀπέθανεν ὁ Ἑρμογένης, πάλιν μετέστησαν πρὸς τὸν Εὐσέβιον[21], ἄνδρα κορυφαῖον τοῦ κύκλου τοῦ Ἀρείου, ὅπως λέγουν οἱ γνωρίσαντες αὐτόν. Ἐκπεσόντες δὲ ἀπὸ ἐκεῖ, δι' ὁποιουσδήποτε λόγους, πάλιν ἐπέστρεψαν εἰς τὴν πατρίδα καὶ πάλιν ὑπέκρυπταν τὸ ἀρειανικὸν φρόνημα. Ἀφοῦ δὲ ἀνῆλθαν εἰς τὴν ἐπισκοπήν — διὰ νὰ παραλείψω τὰ ἐνδιάμεσα —, πόσας ὁμολογίας δὲν ἐξέθεσαν; Ἄλλην εἰς τὴν Ἄγκυραν[22], ἄλλην εἰς τὴν Σελεύκειαν[23], εἰς τὴν Κωνσταντινούπολιν[24] τὴν πολυθρύλητον, ἄλλην εἰς τὴν Λάμψακον[25], μετέπειτα εἰς τὴν Νίκην τῆς Θράκης[26], τώρα πάλιν τὴν εἰς τὴν Κύζικον[27], τῆς ὁποίας τὰ μὲν ἄλλα στοιχεῖα δὲν γνωρίζω, τόσον δὲ ἀκούω, ὅτι ἀποσιωπήσαντες τὸ «ὁμοούσιον», περιφέρουν τώρα τὸ «κατ' οὐσίαν ὅμοιον» καὶ συνυπογράφουν μαζὶ μὲ τὸν Εὐνόμιον τὰς βλασφημίας κατὰ τοῦ Ἁγίου Πνεύματος. Αὐτὰ δὲ τὰ σύμβολα ποὺ ἀπηρίθμησα, ἂν καὶ δὲν εἶναι ὅλα ἀντίθετα μεταξύ των,

---

25. Τὸ 364.

26. Εἰς τὴν Νίκην τῆς Θράκης ὑπεγράφη ἀναθεωρημένον τὸ σύμβολον τοῦ Ἀριμίνου (359).

27. Τὸ 375 ἢ 376. Βλ. ἐπιστολὴν 251.

μὴ πᾶσαι πρὸς ἀλλήλας ἔχουσιν ἐναντίως, ἀλλ' οὖν τὸ εὐμετάβολον τοῦ τρόπου ὁμοίως συνιστῶσι διὰ τὸ μηδέποτε αὐτοὺς ἐπὶ τῶν αὐτῶν ἑστάναι ῥημάτων. Ταῦτά ἐστιν ἀληθῆ μυρίων ἑτέρων ἀποσιωπηθέντων. Ἐπειδὴ δὲ καὶ πρὸς ὑμᾶς διέβησαν νῦν, ἀξιοῦμεν ἀντιγράψαι διὰ τοῦ αὐτοῦ ἀνδρὸς (λέγω δὴ τοῦ συμπρεσβυτέρου ἡμῶν Στρατηγίου), εἴτε ὁ αὐτὸς διέμεινας πρὸς ἡμᾶς, εἴτε καὶ ἠλλοιώθης ἀπὸ τῆς συντυχίας. Οὔτε γὰρ ἐκείνους εἰκὸς ἦν σιωπῆσαι, οὔτε αὐτὸν σέ, τὸν ἡμῖν τοιαῦτα γράψαντα, μὴ οὐχὶ καὶ πρὸς ἐκείνους τῇ παρρησίᾳ χρήσασθαι. Εἰ μὲν οὖν μένοις ἐν τῇ πρὸς ἡμᾶς κοινωνίᾳ, τοῦτο ἄριστον καὶ εὐχῆς τῆς ἀνωτάτω ἄξιον. Εἰ δέ σε πρὸς ἑαυτοὺς μετέθηκαν, λυπηρὸν μέν. Πῶς γὰρ οὐκ ἀδελφοῦ τοιούτου χωρισμός; Πλὴν εἰ καὶ μηδὲν ἄλλο, τὸ γοῦν φέρειν τὰς τοιαύτας ζημίας παρ' αὐτῶν ἐκείνων ἱκανῶς ἐγυμνάσθημεν.

211

251. ΕΥΑΙΣΗΝΟΙΣ

1. Εἰ καὶ πολὺ τὸ πλῆθος τῶν περιεχόντων ἡμᾶς πραγμάτων καὶ φροντίσι μυρίαις συνέχεται ἡμῶν ἡ διάνοια, ὅμως οὐδέποτε τῆς μνήμης ἡμῶν ἐξεβάλομεν τὴν περὶ τῆς ὑμετέρας ἀγάπης μέριμναν, δεόμενοι τοῦ Θεοῦ ἡμῶν διαμεῖναι ὑμᾶς ἐν τῇ πίστει ἐν ᾗ ἑστήκατε καὶ καυχᾶσθε ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ. Τῷ ὄντι γὰρ δυσεύρετον λοιπὸν καὶ πάνυ σπάνιον ἰδεῖν Ἐκκλησίαν εἰλι-

---

Ἐπιστολὴ 251. Ἐγράφη τὸν Δεκέμβριον τοῦ 376. Εἶναι σχετικὴ μὲ

πάντως ἀποδεικνύουν τὸ εὐμετάβολον τοῦ τρόπου καθ' ὅμοιον τρόπον, καθ' ὅσον φανερώνουν ὅτι αὐτοὶ οἱ ἄνθρωποι δὲν μένουν ποτὲ σταθεροὶ εἰς τὰ ἴδια λόγια.

Αὐτὰ εἶναι ἀληθινά, ἂν καὶ ἀναρίθμητα ἄλλα ἀπεσιωπήθησαν. Ἐπειδὴ ἔφθασαν τώρα αὐτοὶ καὶ ἐπέρασαν ἕως τὰ μέρη σας, παρακαλοῦμεν νὰ μᾶς ἀπαντήσῃς διὰ τοῦ ἰδίου ἀνθρώπου —ἐννοῶ βέβαια τὸν συμπρεσβύτερον ἡμῶν Στρατήγιον—, ἂν ἔμεινες ὁ ἴδιος ἀπέναντί μας ἢ μετεβλήθης ἀπὸ τὴν συνάντησιν μὲ αὐτούς. Δὲν εἶναι καθόλου πιθανὸν οὔτε ὅτι ἐκεῖνοι ἔμειναν σιωπηλοὶ οὔτε ὅτι σύ, ποὺ ἔγραψες εἰς ἡμᾶς τοιαῦτα πράγματα, δὲν ἐχρησιμοποίησες πρὸς ἐκείνους εἰλικρινῆ γλῶσσαν. Ἐὰν λοιπὸν παραμένῃς εἰς τὴν κοινωνίαν μὲ ἡμᾶς, τοῦτο εἶναι ἄριστον καὶ ἄξιον τῆς θερμοτάτης προσευχῆς. Ἐὰν δὲ σὲ μετέστρεψαν πρὸς τὸ μέρος των, αὐτὸ εἶναι βέβαια λυπηρόν. Πῶς νὰ μὴ εἶναι λυπηρὸς ὁ χωρισμὸς τοιούτου ἀδελφοῦ; Ἀλλὰ πάντως, ἂν ὄχι τίποτε ἄλλο, τοὐλάχιστον ἐγυμνάσθημεν ἀρκετὰ ἀπὸ ἐκείνους τοὺς ἰδίους νὰ ὑποφέρωμεν τοιαύτας ζημίας.

211
ΕΠΙΣΤΟΛΗ 251
ΠΡΟΣ ΤΟΥΣ ΕΥΑΙΣΗΝΟΥΣ

1. Μολονότι εἶναι πολὺ τὸ πλῆθος τῶν ὑποθέσεων ποὺ μᾶς ἀπασχολοῦν καὶ ἡ διάνοιά μας συνέχεται ἀπὸ μυρίας φροντίδας, ὅμως ποτὲ δὲν ἀπεμακρύναμεν ἀπὸ τὴν μνήμην μας τὴν μέριμναν διὰ τὴν ἀγάπην σας. Παρακαλοῦμεν τὸν Θεὸν ἡμῶν νὰ διαμείνετε εἰς τὴν πίστιν εἰς τὴν ὁποίαν εἴσθε ἐγκαθιδρυμένοι καὶ εἰς τὴν ὁποίαν καυχᾶσθε μὲ τὴν ἐλπίδα τῆς δόξης τοῦ Θεοῦ. Εἶναι πράγματι δυσεύρετον πρᾶγμα καὶ πολὺ σπάνιον τὸ νὰ ἴδῃ κανεὶς Ἐκκλησίαν εἰλικρινῆ, μὴ βλαβεῖσαν ἀπὸ τὴν σκλη-

---

τὴν ὑπόθεσιν τοῦ Εὐσταθίου Σεβαστείας, τοῦ ὁποίου τὴν τακτικὴν ἀπέκρουαν οἱ κάτοικοι τῆς Εὐαίσης (Εὐήσης).

κρινῆ μηδὲν ἐκ τῆς τῶν καιρῶν χαλεπότητος παραβλαβεῖσαν, ἀλλ' ἀκεραίαν καὶ ἄθραυστον τὴν ἀποστολικὴν διασώζουσαν διδασκαλίαν, οἵαν τὴν καθ' ὑμᾶς ἔδειξεν ἐν τοῖς παροῦσι καιροῖς ὁ ἀναδεικνὺς τοὺς καθ' ἑκάστην γενεὰν ἀξίους τῆς ἑαυτοῦ κλήσεως. Καὶ δῴη Κύριος ὑμῖν τὰ ἀγαθὰ Ἰερουσαλὴμ τῆς ἄνω ἀνθ' ὧν τὰς ψευδεῖς καθ' ἡμῶν διαβολὰς ἐπὶ τὰς τῶν ψευδολόγων κεφαλὰς ἀπεπέμψασθε μὴ δόντες αὐτοῖς εἴσοδον ἐπὶ τὰς καρδίας ὑμῶν. Καὶ οἶδα καὶ πέπεισμαι ἐν Κυρίῳ ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῇ πράξει ταύτῃ. Ἐλογίσασθε γὰρ τοῦτο σοφῶς παρ' ἑαυτοῖς, ὃ καὶ ἔστι κατ' ἀλήθειαν, ὅτι οἱ ἀνταποδόντες μοι πονηρὰ ἀντὶ ἀγαθῶν καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου τῆς εἰς αὐτοὺς διαβάλλουσί με νῦν ἐπ' ἐκείνοις εἰς ἃ αὐτοὶ εὑρίσκονται ἐγγράφους ὁμολογίας ἐκθέμενοι.

2. Καὶ οὐ μόνον εἰς ταύτην ἐνέπεσον τὴν ἐναντίωσιν ἴδια ἔγγραφα ἡμῖν ἀντὶ κατηγορίας προσφέροντες, ἀλλ' ὅτι καὶ παμψηφὶ παρὰ τῶν συνελθόντων εἰς τὴν Κωνσταντινούπολιν καθαιρεθέντες οὐκ ἐδέξαντο τὴν καθαίρεσιν αὐτῶν, σύνοδον ἀθετούντων προσαγορεύοντες καὶ μὴ καταδεχόμενοι ἐπισκόπους αὐτοὺς λέγειν, ἵνα μὴ τὴν κατ' αὐτῶν ἐξενεχθεῖσαν ψῆφον κυρώσωσι. Καὶ τὴν αἰτίαν προσετίθεσαν τοῦ μὴ εἶναι αὐτοὺς ἐπισκόπους, διότι αἱρέσεως, φησί, πονηρᾶς προεστήκασι. Ταῦτα δὲ ἐγένοντο πρὸ δέκα καὶ ἑπτὰ οὐχ ὅλων ἐτῶν. Ἦσαν δὲ οἱ ἔξαρχοι τῶν καθελόντων αὐτοὺς Εὐδόξιος, Εὐίππιος, Γεώργιος, Ἀκάκιος καὶ οἱ λοιποὶ τῶν ἡμῖν ἀγνοουμένων. Οἱ δὲ νῦν κρατοῦντες τῶν Ἐκκλησιῶν ἐκείνων εἰσὶ διάδοχοι· οἱ μὲν ἀντ' αὐτῶν χειροτονηθέντες, οἱ δὲ ὑπ' ἐκείνων αὐτῶν προαχθέντες.

---

1. Ματθ. 5, 12.
2. Ψαλμ. 108, 5.
3. Τὸ 360. Ὁ Εὐστάθιος Σεβαστείας κατεδικάσθη τότε εἰς καθαίρεσιν

ρότητα τῶν καιρῶν, ἀλλὰ διασώζουσαν ἀκεραίαν καὶ γνησίαν τὴν ἀποστολικὴν διδασκαλίαν, ὅπως ἔδειξε τὴν ἰδικήν σας εἰς τοὺς παρόντας καιροὺς ὁ ἀναδεικνύων εἰς κάθε γενεὰν τοὺς ἀξίους τῆς κλήσεως αὐτοῦ.

Καὶ εἴθε νὰ σᾶς δώσῃ ὁ Κύριος τὰ ἀγαθὰ τῆς ἄνω Ἱερουσαλήμ, διότι τὰς ἐναντίον μας διαβολὰς μετεφέρατε εἰς τὰς κεφαλὰς τῶν ψευδολόγων, μὴ παραχωρήσαντες εἰς αὐτοὺς εἴσοδον εἰς τὰς καρδίας σας. Γνωρίζω δὲ καὶ εἶμαι πεπεισμένος εἰς τὸν Κύριον ὅτι ὁ μισθός σας διὰ τὴν πρᾶξιν αὐτὴν θὰ εἶναι πολύς [1]. Διότι σοφῶς ἐσκέφθητε τοῦτο, ποὺ συμβαίνει πράγματι, ὅτι οἱ ἀνταποδώσαντες εἰς ἐμὲ πονηρὰ ἀντὶ ἀγαθῶν καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου δι' αὐτούς [2], μὲ διαβάλλουν τώρα δι' ἐκεῖνα εἰς τὰ ὁποῖα εὑρίσκονται καὶ οἱ ἴδιοι ἐπὶ τῇ βάσει τῶν ἐγγράφων ὁμολογιῶν των.

2. Καὶ περιέπεσαν εἰς τὴν ἀντίφασιν ταύτην, ὄχι μόνον διότι προσέφεραν εἰς ἡμᾶς ἀντὶ κατηγοριῶν τὰ ἰδικά των γραπτά, ἀλλὰ καὶ διότι, καθαιρεθέντες παμψηφὶ ἀπὸ τοὺς συνελθόντας εἰς τὴν Κωνσταντινούπολιν [3], δὲν ἀπεδέχθησαν τὴν καθαίρεσίν των, ἀποκαλοῦντες αὐτὴν σύνοδον ἀποστατῶν καὶ μὴ καταδεχόμενοι νὰ ὀνομάζουν αὐτοὺς ἐπισκόπους, διὰ νὰ μὴ ἐπικυρωθῇ ἡ εἰς βάρος των ἐκδοθεῖσα ἀπόφασις. Ὡς αἰτίαν δὲ περὶ τοῦ ὅτι δὲν εἶναι ἐπίσκοποι ἔφεραν τὸ ὅτι ἦσαν ἡγέται πονηρᾶς αἱρέσεως. Αὐτὰ δὲ ἔγιναν πρὸ δεκαεπτὰ ὁλοκλήρων ἐτῶν. Κορυφαῖοι δὲ τῶν καταδικαστῶν των ἦσαν ὁ Εὐδόξιος, ὁ Εὐίππιος, ὁ Γεώργιος, ὁ Ἀκάκιος καὶ οἱ ἄλλοι, τοὺς ὁποίους ἡμεῖς δὲν ἀναγνωρίζομεν. Αὐτοὶ ὅμως οἱ ὁποῖοι κυριαρχοῦν τώρα εἰς τὰς Ἐκκλησίας εἶναι διάδοχοι ἐκείνων, ἄλλοι μὲν χειροτονηθέντες εἰς τὴν θέσιν των, ἄλλοι δὲ προβληθέντες ἀπὸ αὐτοὺς τοὺς ἰδίους [4].

ἀπὸ τὴν σύνοδον αὐτήν, εἰς τὴν ὁποίαν ἐκυριάρχησαν οἱ Ὅμοιοι μὲ ἀρχηγοὺς τοὺς κατωτέρω ἀναφερομένους, Εὐδόξιον Ἀντιοχείας καὶ ἔπειτα Κωνσταντινουπόλεως, Ἀκάκιον Καισαρείας, Εὐίππιον καὶ Γεώργιον.

4. Ἐννοεῖ μόνον τὰς ὑπὸ τῶν ἀρειανῶν κυριαρχουμένας Ἐκκλησίας.

3. Νῦν οὖν οἱ ἡμῖν τὴν κακοδοξίαν ἐγκαλοῦντες εἰπάτωσαν ἡμῖν πῶς μὲν αἱρετικοὶ ἦσαν ἐκεῖνοι ὧν τὴν καθαίρεσιν οὐκ ἐδέξαντο, πῶς δὲ ὀρθόδοξοι οὗτοι οἱ παρ' ἐκείνων προαχθέντες καὶ τὸ αὐτὸ φρόνημα τοῖς πατράσιν αὐτῶν διασώζοντες. Εἰ μὲν γὰρ ὀρθόδοξος Εὐίππιος, πῶς οὐχὶ λαϊκὸς Εὐστάθιος, ὁ παρ' ἐκείνου καθῃρημένος; Εἰ δὲ αἱρετικὸς ἐκεῖνος, πῶς κοινωνικὸς Εὐσταθίῳ νῦν, ὁ διὰ τῆς ἐκείνου χειρὸς προαχθείς; Ἀλλὰ παιδιαὶ αὗται κατὰ τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ παιζόμεναι πρὸς τὸ αὐτῶν συμφέρον, καὶ διαβάλλειν ἀνθρώπους καὶ πάλιν συνιστᾶν ἐπιχειρούντων. Τὰ Βασιλείδου τοῦ Παφλαγόνος θυσιαστήρια ἀνέτρεψε παριὼν τὴν Παφλαγονίαν Εὐστάθιος καὶ ἐπὶ ἰδίων τραπεζῶν ἐλειτούργει, καὶ νῦν ἱκέτης ἐστὶ Βασιλείδου ὥστε δεχθῆναι. Ἀφώρισεν Ἐλπίδιον τὸν εὐλαβέστατον ἀδελφὸν διὰ τὴν πρὸς τοὺς ἐν Ἀμασείᾳ συνάφειαν, καὶ νῦν ἱκέτης ἐστὶ τῶν Ἀμασέων ἐπιζητῶν αὐτῶν τὴν συνάφειαν. Τὰ κατὰ Εὐιππίου κηρύγματα καὶ ὑμεῖς αὐτοὶ ἐπίστασθε ὅπως ἦν φρικτά, καὶ νῦν τοὺς τὰ ἐκείνου φρονοῦντας ἐπὶ ὀρθότητι ἀποσεμνύνει, μόνον ἐὰν εἰς τὴν τῆς ἀποκαταστάσεως αὐτοῦ σπουδὴν συνεργήσωσιν. Ἡμεῖς δὲ διαβαλλόμεθα οὐκ ἐπειδὴ ἡμεῖς ἀδικοῦμέν τι, ἀλλ' ἐπειδὴ τοῦτο ἐνόμισεν εὐδοκίμησιν αὐτῷ φέρειν παρὰ τοῖς ἐν Ἀντιοχείᾳ. Οὓς δὲ πέρυσιν ἐκ τῆς Γαλατίας μετεστείλαντο, ὡς δι' αὐτῶν δυνάμενοι τὴν παρρησίαν τῆς ἐπισκοπῆς ἀπολαβεῖν, τοιοῦτοί εἰσιν οἵους ἴσασι μὲν οἱ πρὸς ὀλίγον συγγεγονότες αὐτοῖς. Ἐμοὶ δὲ μὴ παράσχῃ ὁ Κύριος τοσαύτην σχολήν ποτε ὥστε τὰς ἐκείνων πράξεις ἀπαριθμεῖσθαι. Πλὴν ἀλλ' ὑπὸ δορυφόροις τοῖς τιμιωτάτοις αὐτῷ καὶ συμμύσταις παραπεμφθέντες διεξῆλθον μὲν διὰ πάσης αὐτοῦ τῆς χώρας τὰς τῶν ἐπισκόπων τιμὰς καὶ θεραπείας ἔχοντες. Εἰσήχθησαν δὲ περιφανῶς εἰς τὴν

5. Ἐπισκόπου Γάγγρας.

6. Μὲ τὴν κοινωνίαν του πρὸς τὸν ἀρειανὸν ἐπίσκοπον Ἀμασείας.

3. Τώρα λοιπὸν οἱ κατηγοροῦντες ἡμᾶς διὰ κακοδοξίαν ἂς μᾶς εἴπουν, πῶς ἦσαν αἱρετικοὶ ἐκεῖνοι τῶν ὁποίων τὴν καταδικαστικὴν ἀπόφασιν δὲν ἐδέχθησαν, πῶς δὲ εἶναι ὀρθόδοξοι αὐτοὶ ποὺ προήχθησαν ἀπὸ ἐκείνους καὶ διατηροῦν τὸ ἴδιον φρόνημα μὲ τοὺς πατέρας των; Ἐὰν εἶναι ὀρθόδοξος ὁ Εὐίππιος, πῶς δὲν εἶναι λαϊκὸς ὁ Εὐστάθιος ποὺ καθηρέθη ἀπὸ ἐκεῖνον; Ἐὰν δὲ εἶναι αἱρετικὸς ἐκεῖνος, πῶς εἶναι τώρα κοινωνικὸς τοῦ Εὐσταθίου, αὐτὸς ποὺ προήχθη διὰ τῆς χειρὸς ἐκείνου; Ἀλλὰ αὐτὰ εἶναι παιγνίδια παιζόμενα κατὰ τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ πρὸς τὸ συμφέρον αὐτῶν τῶν ἀνθρώπων ποὺ ἐπιχειροῦν νὰ διαβάλλουν τοὺς ἄλλους καὶ πάλιν νὰ τοὺς ἀποκαθιστοῦν.

Ὁ Εὐστάθιος ἀνέτρεψε τὰ θυσιαστήρια τοῦ Βασιλείδου τῆς Παφλαγονίας [5], καθὼς περιήρχετο τὴν περιοχήν, καὶ ἐλειτουργοῦσε εἰς ἰδίας τραπέζας, καὶ τώρα παρακαλεῖ τὸν Βασιλείδην νὰ τὸν δεχθῇ. Ἀφώρισε τὸν εὐλαβέστατον ἀδελφὸν Ἐλπίδιον λόγῳ τῆς ἑνώσεώς του μὲ τοὺς εἰς τὴν Ἀμάσειαν [6], καὶ τώρα παρακαλεῖ τοὺς Ἀμασεῖς ἐπιζητῶν τὴν κοινωνίαν των. Τὰ κηρύγματα τοῦ Εὐιππίου γνωρίζετε καὶ σεῖς οἱ ἴδιοι πόσον φρικτὰ ἦσαν, καὶ τώρα ἐγκωμιάζει τοὺς ὁμόφρονας ἐκείνου δι' ὀρθοδοξίαν, ἁπλῶς μὲ τὴν ἐπιδίωξιν νὰ συνεργήσουν εἰς τὴν φροντίδα του περὶ τῆς ἀποκαταστάσεώς του. Ἡμεῖς δὲ διαβαλλόμεθα ὄχι ἐπειδὴ διαπράττομεν κάποιαν ἀδικίαν, ἀλλὰ διότι ἐνόμισεν ὅτι τοῦτο θὰ τοῦ φέρει κάποιαν ὑπόληψιν εἰς τοὺς ἐν Ἀντιοχείᾳ. Ἐκεῖνοι δὲ τοὺς ὁποίους μετεκάλεσαν πέρυσιν ἀπὸ τὴν Γαλατίαν, μὲ τὴν ἐλπίδα ὅτι θὰ δυνηθοῦν διὰ μέσου αὐτῶν νὰ ἐξασφαλίσουν πλήρη ἄσκησιν τοῦ ἐπισκοπικοῦ ἀξιώματος, εἶναι τέτοιοι, ὅπως τοὺς γνωρίζουν καὶ οἱ ἐλάχιστα συναναστραφέντες αὐτούς. Ὡς πρὸς ἐμέ, νὰ μὴ μοῦ δώσῃ ποτὲ ὁ Κύριος τόσον καιρὸν ὥστε νὰ ἀπαριθμῶ τὰς πράξεις ἐκείνων. Ἐν τούτοις ἐκεῖνοι μὲ τὴν συνοδείαν τῶν τιμιωτάτων εἰς τὸν Εὐστάθιον ἀνδρῶν καὶ συμμυστῶν αὐτοῦ ἐπέρασαν διὰ μέσου ὅλης τῆς χώρας του ἀπολαύοντες τῶν ἐπισκοπικῶν τιμῶν καὶ περιποιήσεων. Εἰσελθόντες δὲ θριαμβευτικῶς εἰς τὴν πόλιν,

πόλιν ἐκκλησιάσαντες μετὰ αὐθεντίας. Παρεδόθη γὰρ αὐτοῖς ὁ λαός, παρεδόθη τὸ θυσιαστήριον. Οἵ, ἐπεὶ μέχρι Νικοπόλεως προελθόντες οὐδὲν ἠδυνήθησαν ὧν ἐπηγγείλαντο διαπράξασθαι, πῶς ἐπανῆλθον καὶ πῶς ὤφθησαν κατὰ τὴν ἐπάνοδον ἴσασιν οἱ παρόντες. Οὕτως ἀεὶ πρὸς τὸ ἑαυτῶν συμφέρον πάντα ποιοῦντες φαίνονται. Εἰ δὲ λέγουσιν ὅτι μετενόησαν δειξάτωσαν αὐτῶν ἔγγραφον τὴν μετάνοιαν καὶ ἀναθεματισμὸν τῆς ἐν Κωνσταντινουπόλει πίστεως καὶ χωρισμὸν τῶν αἱρετικῶν, καὶ μὴ ἐξαπατάτωσαν τοὺς ἀκεραιοτέρους. Καὶ τὰ μὲν ἐκείνων τοιαῦτα.

4. Ἡμεῖς δέ, ἀγαπητοὶ ἀδελφοί, μικροὶ μὲν καὶ ταπεινοί, ἀεὶ μέντοι οἱ αὐτοὶ τῇ τοῦ Θεοῦ χάριτι, οὐδέποτε ταῖς μεταβολαῖς τῶν πραγμάτων συνδιετέθημεν. Πίστις παρ' ἡμῖν οὐκ ἄλλη μὲν ἐν Σελευκείᾳ, ἄλλη δὲ ἐν Κωνσταντινουπόλει καὶ ἄλλη ἐν Ζήλοις καὶ ἐν Λαμψάκῳ ἄλλη καὶ ἐπὶ Ῥώμην ἑτέρα καὶ ἡ νῦν περιφερομένη διάφορος παρὰ τὰς προτέρας, ἀλλὰ μία καὶ ἡ αὐτή. Ὡς γὰρ παρελάβομεν ἀπὸ τοῦ Κυρίου, οὕτω βαπτιζόμεθα· οὕτω πιστεύομεν ὡς βαπτιζόμεθα· ὡς πιστεύομεν, οὕτω καὶ δοξολογοῦμεν· οὔτε χωρίζοντες Πατρὸς καὶ Υἱοῦ τὸ Ἅγιον Πνεῦμα, οὔτε προτιθέντες Πατρὸς ἢ πρεσβύτερον εἶναι τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγοντες, ὡς αἱ τῶν βλασφήμων γλῶσσαι κατασκευάζουσι. Τίς γὰρ οὕτω τολμηρὸς ὃς τὴν δεσποτικὴν παρωσάμενος νομοθεσίαν ἰδίαν τολμᾷ τοῖς ὀνόμασι τάξιν ἐπινοεῖν; Ἀλλ' οὔτε κτιστὸν λέγομεν τὸ Πνεῦμα τὸ μετὰ Πατρὸς καὶ Υἱοῦ τεταγμένον, οὔτε δουλικὸν τολμῶμεν εἰπεῖν τὸ ἡγεμονικόν. Καὶ ὑμᾶς παρακαλοῦμεν μεμνημένους τῆς τοῦ Κυρίου ἀπειλῆς, τοῦ εἰπόντος· «Πᾶσα ἁμαρτία καὶ

---

7. Ἐννοεῖ τὸ σύμβολον τῆς συνόδου Κωνσταντινουπόλεως τοῦ 360 ποὺ ἦτο ἀρειανικόν. Οἱ ἀπὸ τὴν Γαλατίαν ἐπίσκοποι ἦσαν ὀπαδοὶ τοῦ συμβόλου αὐτῆς τῆς συνόδου καὶ παραδόξως ὁ Εὐστάθιος εἶχε καταδικασθῆ ἀπὸ αὐτήν. Πῶς τώρα ὁ Εὐστάθιος φιλοξενεῖ τοὺς ἐπισκόπους αὐτούς, ποὺ

ἔκαμαν συναθροίσεις μὲ πλήρη αὐθεντίαν. Διότι τοὺς παρεδόθη τὸ ποίμνιον, τοὺς παρεδόθη τὸ θυσιαστήριον. Εἶναι δὲ γνωστὸν εἰς τοὺς παρόντας πῶς, ὅταν προχωρήσαντες μέχρι Νικοπόλεως, δὲν ἠδυνήθησαν νὰ ἐκτελέσουν τίποτε ἀπὸ ὅσα ὑπεσχέθησαν, ἐπανῆλθαν καὶ πῶς ἐθεάθησαν κατὰ τὴν ἐπάνοδον. Ἐὰν δὲ λέγουν ὅτι μετενόησαν, ἂς δείξουν ἔγγραφον τὴν μετάνοιάν των καὶ τὸν ἀναθεματισμὸν τοῦ συμβόλου τῆς Κωνσταντινουπόλεως[7] καὶ τὸν χωρισμὸν ἀπὸ τοὺς αἱρετικοὺς καὶ ἂς μὴ ἐξαπατοῦν τοὺς ἀκμαιοτέρους. Τοιαῦτα εἶναι ὅσα ἀφοροῦν εἰς ἐκείνους.

4. Ἡμεῖς δέ, ἀγαπητοὶ ἀδελφοί, μικροὶ μὲν καὶ ταπεινοὶ ἀλλὰ πάντοτε οἱ ἴδιοι μὲ τὴν χάριν τοῦ Θεοῦ, δὲν ἀλλάσσομεν ποτὲ μὲ τὰς μεταβολὰς τῶν πραγμάτων. Δι' ἡμᾶς ὁμολογία πίστεως δὲν εἶναι ἄλλη μὲν εἰς τὴν Σελεύκειαν, ἄλλη δὲ εἰς τὴν Κωνσταντινούπολιν καὶ ἄλλη εἰς τὰ Ζῆλα καὶ ἄλλη εἰς τὴν Λάμψακον καὶ ἄλλη εἰς τὴν Ρώμην καὶ ἡ περιφερομένη τώρα διαφορετικὴ ἀπὸ τὰς προηγουμένας[8], ἀλλὰ μία καὶ ἡ αὐτή. Πράγματι, ὅπως παρελάβαμεν ἀπὸ τὸν Κύριον οὕτω βαπτιζόμεθα, οὕτω πιστεύομεν ὅπως βαπτιζόμεθα, ὅπως πιστεύομεν οὕτω δοξολογοῦμεν, οὔτε χωρίζοντες τὸ Ἅγιον Πνεῦμα ἀπὸ τὸν Πατέρα καὶ τὸν Υἱόν, οὔτε προτάσσοντες τοῦ Πατρὸς τὸ Πνεῦμα, οὔτε λέγοντες τὸ Πνεῦμα πρεσβύτερον τοῦ Υἱοῦ, ὅπως μηχανεύονται αἱ γλῶσσαι τῶν βλασφήμων. Διότι ποῖος εἶναι τόσον τολμηρός, ὥστε, παραμερίσας τὴν νομοθεσίαν τοῦ Δεσπότου, νὰ τολμᾷ νὰ ἐπινοήσῃ ἰδικήν του τάξιν τῶν θείων ὀνομάτων; Ἐπίσης οὔτε κτιστὸν λέγομεν τὸ Πνεῦμα τὸ τεταγμένον μαζὶ μὲ τὸν Πατέρα καὶ τὸν Υἱόν, οὔτε δουλικὸν τολμῶμεν νὰ εἴπωμεν τὸ ἡγεμονικόν.

Παρακαλοῦμεν δὲ καὶ σᾶς, ἐνθυμούμενοι τὴν ἀπειλὴν τοῦ Κυρίου ποὺ εἶπε, «πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται

ἦσαν ἐξ Ἀρειανῶν, χωρὶς νὰ καταδικάσουν πρῶτα τὸ σύμβολον ἐκεῖνο;

8. Ὁ Εὐστάθιος εἶχεν ὑπογράψει ὅλας αὐτὰς τὰς ὁμολογίας καὶ ἄλλας ἀκόμη. Βλ. ἐπιστολὴν 226.

βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, ἡ δὲ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον βλασφημία οὐκ ἀφεθήσεται οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι[9]· φυλάξατε ἑαυτοὺς τῶν βλαβερῶν κατὰ τοῦ Πνεύματος διδαγμάτων. Στήκετε ἐν τῇ πίστει, περιβλέψασθε εἰς τὴν οἰκουμένην καὶ ἴδετε ὅτι μικρόν ἐστι τοῦτο τὸ μέρος τὸ νενοσηκός· ἡ δὲ λοιπὴ πᾶσα Ἐκκλησία, ἡ ἀπὸ περάτων εἰς πέρατα δεξαμένη τὸ Εὐαγγέλιον, ἐπὶ τῆς ὑγιοῦς ἐστι ταύτης καὶ ἀδιατρόφου διδασκαλίας. Ὧν καὶ ἡμεῖς εὐχόμεθα τῆς κοινωνίας μὴ ἐκπεσεῖν καὶ ὑμῖν συνευχόμεθα τὴν μερίδα λαβεῖν ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῇ δικαίᾳ, ὅταν ἔλθῃ δοῦναι ἡμῖν ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ.

9. Ματθ. 12, 31ἑ.

τοῖς ἀνθρώποις, ἡ δὲ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον βλασφημία οὐκ ἀφεθήσεται οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι»[9], νὰ προφυλαχθῆτε ἀπὸ τὰ ἐπιβλαβῆ κατὰ τοῦ Πνεύματος διδάγματα. Νὰ εἶσθε σταθεροὶ εἰς τὴν πίστιν, στρέψατε τὰ βλέμματά σας γύρω εἰς τὴν οἰκουμένην καὶ ἴδετε ὅτι τὸ μέρος τοῦτο τὸ νοσηρὸν εἶναι μικρόν, ἐνῷ ὅλη ἡ ὑπόλοιπος Ἐκκλησία, ἡ δεχθεῖσα τὸ Εὐαγγέλιον ἀπὸ τὰ πέρατα ἕως τὰ πέρατα, στέκεται ἐπάνω εἰς τὴν ὑγιῆ αὐτὴν καὶ ἀπαράλλακτον διδασκαλίαν. Αὐτῶν τῆς κοινωνίας εὐχόμεθα καὶ ἡμεῖς νὰ μὴ ἐκπέσωμεν καὶ συνευχόμεθα εἰς σᾶς νὰ λάβετε τὴν μερίδα κατὰ τὴν δικαίαν ἡμέραν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅταν ἔλθῃ νὰ δώσῃ εἰς τὸν καθένα ἀπὸ ἡμᾶς κατὰ τὰς πράξεις αὐτοῦ.

212

28. ΤΗ ΕΚΚΛΗΣΙΑ ΝΕΟΚΑΙΣΑΡΕΙΑΣ ΠΑΡΑΜΥΘΗΤΙΚΗ

1. Ἀπήτει μὲν τὰ συμβάντα τὴν ἡμῶν αὐτῶν παρουσίαν, τοῦ τε τὴν τιμὴν τῷ μακαρίῳ τοῖς οἰκειοτάτοις ὑμῖν συνεκπληρῶσαι καὶ τοῦ τῆς ἐπὶ τῷ πάθει κατηφείας ἀπ' αὐτῆς τῆς θέας τῶν σκυθρωποτέρων συμμετασχεῖν, καὶ ὥστε τῶν ἀναγκαίων βουλευμάτων ὑμῖν κοινωνῆσαι. Ἐπεὶ δὲ τὴν σωματικὴν συνάφειαν πολλὰ τὰ διακωλύοντα, λειπόμενον ἦν διὰ τοῦ γράμματος κοινωνεῖν ὑμῖν τῶν παρόντων. Τὰ μὲν οὖν τοῦ ἀνδρὸς θαύματα, ἐφ' οἷς καὶ μάλιστα τὴν ζημίαν ἡμῖν ἀφόρητον ὑπάρχειν λογιζόμεθα, οὔτ' ἂν ἐπιστολῆς μέτρον ὑποδέξαιτο, καὶ ἄλλως ἄωρον ἀνδραγαθημάτων πλήθει τὸν λόγον προσάγειν, οὕτω συμπεπτωκυίας τῆς ψυχῆς ἡμῶν ἐπὶ τῇ λύπῃ. Τί γὰρ τῶν ἐκείνου τοιοῦτον οἷον ἢ τῆς μνήμης ἡμῶν ἐκπεσεῖν ἢ σιωπᾶσθαι ἄξιον νομισθῆναι; Πάντα μὲν γὰρ ἀθρόως εἰσάπαξ εἰπεῖν ἀμήχανον, τὸ δὲ ἐκ μέρους λέγειν δέδοικα μὴ προδοσίαν ἔχῃ τῆς ἀληθείας. Οἴχεται ἀνὴρ διαφανέ-

---

Ἐπιστολὴ 28. Ἐγράφη τὸ 368 πρὸς παραμυθίαν τῶν Νεοκαισαρέων διὰ τὸν θάνατον τοῦ ἐπισκόπου των Μουσωνίου. Ἡ Νεοκαισάρεια ἦτο ἡ δευτέρα πατρὶς τοῦ Βασιλείου, ὁ ὁποῖος τὴν ἠγάπα ἰδιαιτέρως. Ἀλλ' ὁ

212

ΕΠΙΣΤΟΛΗ 28
ΠΡΟΣ ΤΗΝ ΕΚΚΛΗΣΙΑΝ ΝΕΟΚΑΙΣΑΡΕΙΑΣ ΠΑΡΑΜΥΘΗΤΙΚΗ

1. Τὰ συμβάντα βεβαίως ἀπαιτοῦσαν τὴν παρουσίαν ἡμῶν τῶν ἰδίων, τόσον διὰ νὰ ἀποδώσω τὴν τιμὴν εἰς τὸν μακαρίτην μαζὶ μὲ σᾶς τοὺς οἰκειοτάτους πρὸς αὐτόν, ὅσον καὶ διὰ νὰ συμμετάσχω εἰς τὸ βαρὺ πένθος διὰ τῆς ἰδίας τῆς θέας τῶν σκυθρωπῶν πραγμάτων, οὕτως ὥστε νὰ λάβω μέρος μαζί σας εἰς τὰς ἀναγκαίας ἀποφάσεις. Ἐπειδὴ ὅμως πολλὰ εἶναι ποὺ ἐμποδίζουν τὴν σωματικὴν συνάντησιν, ἔμεινε νὰ ἐπικοινωνήσω μαζί σας διὰ τοῦ γράμματος πρὸς ἀντιμετώπισιν τῆς παρούσης καταστάσεως.

Τὰ μὲν θαυμαστὰ προσόντα τοῦ ἀνδρὸς λοιπόν, διὰ τὰ ὁποῖα μάλιστα θεωροῦμεν ἀφόρητον τὴν ζημίαν ποὺ μᾶς εὗρε, δὲν χωροῦν εἰς τὴν ἔκτασιν μιᾶς ἐπιστολῆς, καὶ κατὰ τὰ ἄλλα εἶναι ἄκαιρον τώρα νὰ κάμωμεν λόγον περὶ πλήθους ἀνδραγαθημάτων, εἰς στιγμὴν ποὺ ἡ ψυχή μας εἶναι συντετριμμένη ἀπὸ τὴν λύπην. Διότι ποῖον ἀπὸ τὰ ἔργα ἐκείνου εἶναι τοιοῦτον ὥστε νὰ κριθῇ ἄξιον ἢ νὰ λησμονηθῇ ἀπὸ ἡμᾶς ἢ νὰ ἀποσιωπηθῇ; Βεβαίως τὸ νὰ τὰ εἴπω ὅλα μαζὶ διὰ μιᾶς εἶναι ἀδύνατον, τὸ δὲ νὰ εἴπω μέρος μόνον φοβοῦμαι μήπως προδώσῃ τὴν ἀλήθειαν.

διαδεχθεὶς τὸν Μουσώνιον Ἀτάρβιος, συγγενὴς τοῦ Βασιλείου, ἦτο δυσμενῶς διατεθειμένος ἔναντι αὐτοῦ.

στατα δὴ τῶν καθ' ἑαυτὸν πᾶσιν ὁμοῦ τοῖς ἀνθρωπίνοις ὑπερενεγκὼν ἀγαθοῖς, ἔρεισμα πατρίδος, Ἐκκλησιῶν κόσμος, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας, στερέωμα τῆς εἰς Χριστὸν πίστεως, οἰκείοις ἀσφάλεια, δυσμαχώτατος τοῖς ὑπεναντίοις, φύλαξ πατρῴων θεσμῶν, νεωτεροποιίας ἐχθρός· ἐν ἑαυτῷ δεικνὺς τὸ παλαιὸν τῆς Ἐκκλησίας σχῆμα, οἷον ἀπό τινος ἱεροπρεποῦς εἰκόνος τῆς ἀρχαίας καταστάσεως, τὸ εἶδος τῆς ὑπ' αὐτὸν Ἐκκλησίας διαμορφῶν, ὥστε τοὺς αὐτῷ συγγενομένους τοῖς πρὸ διακοσίων ἐτῶν καὶ ἐπέκεινα φωστῆρων τρόπον ἐκλάμψασι συγγεγονέναι δοκεῖν. Οὕτως οὐδὲν οἴκοθεν οὐδὲ νεωτέρας φρενὸς εὕρημα προέφερεν ὁ ἀνήρ, ἀλλά, κατὰ τὴν Μωσέως εὐλογίαν, ᾔδει προκομίζειν ἐκ τῶν ἀδύτων τῆς καρδίας αὐτοῦ ἀγαθῶν θησαυρῶν παλαιὰ παλαιῶν καὶ παλαιὰ ἀπὸ προσώπου νέων. Ταύτῃ τοι καὶ τῆς προτιμήσεως οὐ κατὰ τὴν ἡλικίαν ἐν τοῖς συλλόγοις τῶν ὁμοτίμων ἠξιοῦτο, ἀλλ' ὑπὲρ πάντας ἦν τῷ τῆς σοφίας ἀρχαίῳ, ἐκ κοινῆς συγχωρήσεως τὸ πρωτεῖον καρπούμενος. Ὅσον δὲ τῆς τοιαύτης ἀγωγῆς τὸ κέρδος οὐδεὶς ἂν ἐπιζητήσειε πρὸς ὑμᾶς ἀποβλέπων. Μόνοι γὰρ ὧν ἴσμεν, ἢ κομιδῇ γε ἐν ὀλίγοις, ἐν χειμῶνι τοσούτῳ καὶ λαίλαπι πραγμάτων ἀκύμαντον τῇ ἐκείνου κυβερνήσει τὴν ζωὴν διηγάγετε. Οὐ γὰρ ἥψατο ὑμῶν αἱρετικῶν πνευμάτων ζάλη καταποντισμοὺς ἐπάγουσα καὶ ναυάγια ταῖς εὐπεριτρέπτοις ψυχαῖς. Μήτε δὲ ἅψαιτό ποτε, ὦ Δέσποτα τῶν ἁπάντων, δς τῷ σῷ θεράποντι Γρηγορίῳ, τῷ ἐξ ἀρχῆς πηξαμένῳ τὴν κρηπῖδα τῆς Ἐκκλησίας τῆς ἐπὶ μήκιστον ἀταραξίας τὴν χάριν ἔδωκας. Ἦν μὴ προδῶτε ὑμεῖς ἐν τῷ παρόντι καιρῷ, μηδὲ θρήνων ἀμετρίᾳ καὶ τῷ ἐκδότους ἑαυτοὺς τοῖς

1. Ὁ Βασίλειος ἐννοεῖ τοὺς ἀποστολικοὺς πατέρας ἐδῶ.
2. Λευϊτ. 26, 10.
3. Γρηγόριος ὁ θαυματουργός, μαθητὴς τοῦ Ὠριγένους καὶ πρῶτος

Ἀπεδήμησεν ἄνδρας ποὺ ὁλοφάνερα ὑπερέβαλλεν ὅλους τοὺς συγχρόνους του εἰς ὅλα μαζὶ τὰ ἀνθρώπινα ἰδιώματα, ἔρεισμα τῆς πατρίδος, στόλισμα τῶν Ἐκκλησιῶν, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας, στερέωμα τῆς εἰς Χριστὸν πίστεως, ἀσφάλεια τῶν οἰκείων, δυσπολέμητος ἀπὸ τοὺς ἀντιπάλους, φύλαξ τῶν πατρικῶν θεσμῶν, ἐχθρὸς τοῦ νεωτερισμοῦ. Ἐδείκνυε δι' ἑαυτοῦ τὴν παλαιὰν μορφὴν τῆς Ἐκκλησίας, διαμορφώνων σὰν εἰς μίαν ἱεροπρεπῆ εἰκόνα τῆς ἀρχαίας καταστάσεως τὸ εἶδος τῆς ὑπὸ τὴν διαποίμανσίν του Ἐκκλησίας, ὥστε ἐκεῖνοι ποὺ ἐζοῦσαν μαζί του νὰ νομίζουν ὅτι ζοῦν μὲ τοὺς ἄνδρας ποὺ ἔλαμψαν σὰν φωστῆρες πρὸ διακοσίων καὶ ἄνω ἐτῶν [1]. Οὕτως ὁ ἄνδρας αὐτὸς δὲν ἐπρόφερεν οὔτε ἰδικόν του οὔτε νεωτέρου νοῦ εὕρημα, ἀλλὰ κατὰ τὴν εὐλογίαν τοῦ Μωυσέως ἐγνώριζε νὰ ἀνασύρῃ ἀπὸ τοὺς ἀδύτους ἀγαθοὺς θησαυροὺς τῆς καρδίας του καὶ νὰ φέρῃ ἐμπρὸς παλαιὰ παλαιῶν καὶ παλαιὰ ἐκ προσώπου νέων [2]. Οὕτω δὲ κατὰ τὰς συνελεύσεις τῶν ὁμοτίμων του δὲν ἠξιοῦτο τῆς προτιμήσεως λόγῳ τῆς ἡλικίας του, ἀλλ' ἐκαρποῦτο τὸ πρωτεῖον περισσότερον ὅλων κατὰ κοινὴν συμφωνίαν λόγῳ τῆς ἀρχαιότητος τῆς σοφίας. Πόσον δὲ εἶναι τὸ κέρδος ἀπὸ τοιαύτην διαγωγὴν κανεὶς δὲν θὰ τὸ ἀναζητήσῃ, ἐὰν ρίψῃ τὰ βλέμματά του πρὸς σᾶς. Διότι μόνοι σεῖς ἀπὸ ὅσους γνωρίζομεν, ἢ ἔστω μεταξὺ πολὺ ὀλίγων, ἐπεράσατε ζωὴν ἀκύμαντον μὲ τὴν διακυβέρνησιν ἐκείνου εἰς τόσον μεγάλην τρικυμίαν καὶ θύελλαν πραγμάτων. Πράγματι δὲν σᾶς ἤγγισεν ἡ ζάλη τῶν αἱρετικῶν ἀνέμων, ποὺ προξενεῖ καταποντισμοὺς καὶ ναυάγια εἰς τὰς εὐμεταβλήτους ψυχάς. Καὶ εἴθε νὰ μὴ σᾶς ἐγγίσῃ ποτέ, ὦ Δέσποτα τῶν ὅλων, ὁ ὁποῖος εἰς τὸν θεράποντά σου Γρηγόριον [3], ποὺ ἔστησε πρῶτος τὰ θεμέλια τῆς Ἐκκλησίας αὐτῆς, ἔδωσες τὴν χάριν τῆς ἀταραξίας ἐπὶ μακρότατον χρόνον. Αὐτὴν μὴ τὴν ἐγκαταλείψετε σεῖς κατὰ τὸν παρόντα καιρὸν καὶ μὴ χα-

---

ἐπίσκοπος Νεοκαισαρείας, ἀνελθὼν εἰς τὴν ἕδραν ἐκείνην πιθανῶς περὶ τὸ 240.

λυπηροῖς ποιῆσαι τοὺς τῶν ἀναγκαίων καιροὺς τοῖς ἐφεδρεύουσι πρόησθε. Ἀλλ' εἰ δεῖ πάντως θρηνεῖν (ὥσπερ οὖν οὔ φημι, ἵνα μὴ ὁμοιωθῶμεν ἐν τούτῳ τοῖς μὴ ἔχουσιν ἐλπίδα), ὑμεῖς, εἰ δοκεῖ, οἱόν τις χορὸς πενθήρης τὸν κορυφαῖον ἑαυτῶν προστησάμενοι, ἐμμελέστερον μετ' ἐκείνου τὸ συμβὰν ἀποκλαύσατε.

2. Καίτοιγε εἰ καὶ μὴ ἐπ' ἐσχάτου γήρως ἤλαυνεν ὁ ἀνήρ, ἀλλ' οὖν τοῦ γε χρόνου ἕνεκεν τῆς ὑμετέρας ἐπιστασίας οὐκ ἐνδεῶς εἶχε τοῦ βίου, τοῦ τε σώματος τοσοῦτον μετεῖχεν ὅσον τῆς ψυχῆς τὸ καρτερὸν ἐν ταῖς ἀλγηδόσιν αὐτοῦ δεικνύναι. Τυχὸν δ' ἂν τις ὑμῶν ὑπολάβοι ὅτι καὶ ὁ χρόνος αὔξησις συμπαθείας καὶ προσθήκη φίλτρου, οὐχὶ ἀφορμὴ κόρου τοῖς πειραθεῖσι γίνεται, ὥστε, ὅσῳ ἐν πλείονι χρόνῳ τῆς εὐεργεσίας πεπείρασθε, τοσούτῳ μᾶλλον τῆς ἀπολείψεως ἐπαισθάνεσθε· σώματος δὲ δικαίου καὶ σκιὰ τοῦ παντὸς ἀξία τοῖς εὐλαβέσι. (Καὶ εἴη γε πολλοὺς ὑμῶν ἐπὶ ταύτης εἶναι τῆς διανοίας (οὐδὲ γὰρ αὐτὸς ἀμελῶς ἔχειν τοῦ ἀνδρός φημι χρῆναι), ἀλλ' ἀνθρωπίνως συμβουλεύω τὸ λυπηρὸν διαφέρειν.) Ἐπεὶ ὅσα γέ ἐστιν εἰπεῖν ἀποκλαιομένους τὴν ζημίαν οὐδὲ ἐμὲ αὐτὸν διαφεύγει. Σιωπᾷ μὲν γλῶττα ποταμοῖς ἴσα τὰς ἀκοὰς ἐπικλύζουσα, καρδίας δὲ βάθος, οὐδενὶ τέως καταληπτόν, ὀνείρων ἀσθενέστερον, ὅσα γε πρὸς ἀνθρώπους, διιπτάμενον οἴχεται. Τίς ὀξύτερος ἐκείνου προϊδέσθαι τὸ μέλλον; Τίς ἐν οὕτω σταθερῷ καὶ παγίῳ τῆς ψυχῆς ἤθει ἀστραπῆς τάχιον τοῖς πράγμασιν ἐπελθεῖν ἱκανός; Ὦ πόλις πολλοῖς μὲν ἤδη προειλημμένη πάθεσιν, ὑπ' οὐδενός γε μὴν οὕτως εἰς αὐτὰ τὰ καίρια τοῦ βίου ζημιωθεῖσα! Νῦν ἀπήνθηκέ σοι κόσμος ὁ κάλλιστος· Ἐκκλησία δὲ μέμυκε

---

4. Α' Θεσσ. 4, 13.

5. Ἐννοεῖ νὰ ἐκλέξουν τὸν κορυφαῖον, τὸν νέον ἐπίσκοπον, διὰ νὰ μὴ προλάβουν οἱ αἱρετικοὶ καὶ ἐκλέξουν ἰδικόν των.

ρίσετε, μὲ τὴν ὑπερβολὴν τῶν θρήνων καὶ τὴν πλήρη παράδοσίν σας εἰς τὴν λύπην, τὴν εὐκαιρίαν διὰ τὴν λῆψιν τῶν ἀναγκαίων μέτρων εἰς τοὺς παραμονεύοντας. Ἀλλ' ἂν ὁπωσδήποτε πρέπει νὰ θρηνῶμεν —πρᾶγμα ποὺ δὲν τὸ παραδέχομαι, διὰ νὰ μὴ στασιάσωμεν εἰς αὐτὸ μὲ τοὺς μὴ ἔχοντας ἐλπίδα [4]—, σεῖς, ἂν τὸ κρίνετε πρέπον, νὰ βάλετε ὡς πένθιμος χορὸς τὸν κορυφαῖόν σας εἰς τὴν ἀρχήν, διὰ νὰ κλαύσετε ἁρμονικώτερα τὸ συμβὰν μαζὶ μὲ ἐκεῖνον [5].

2. Βεβαίως ὁ ἄνδρας αὐτός, ἂν καὶ δὲν εἶχε φθάσει εἰς ἔσχατον γῆρας, ἀλλ' ἂν ληφθῇ ὑπ' ὄψιν ὁ χρόνος ποὺ ἐκυβέρνησε τὴν Ἐκκλησίαν σας, δὲν εἶχε τόσον σύντομον ζωήν. Τοῦ δὲ σώματος μετεῖχε τόσον ὅσον νὰ δεικνύῃ πόσον μεγάλη ἦτο ἡ ψυχική του καρτερία εἰς τοὺς πόνους. Ἴσως δὲ κάποιος ἀπὸ σᾶς σκεφθῇ ὅτι καὶ ὁ χρόνος αὐξάνει τὴν συμπάθειαν καὶ προσθέτει φίλτρον, ἀντὶ νὰ γίνεται ἀφορμὴ κόρου εἰς αὐτοὺς ποὺ λαμβάνουν πεῖραν· οὕτως, ὅσον μακρότερον χρόνον ἔχετε δοκιμάσει τὴν εὐεργεσίαν, τόσον περισσότερον αἰσθάνεσθε τὴν ἀπώλειαν· ἄλλωστε καὶ ἡ σκιὰ τοῦ δικαίου σώματος εἶναι ἀξία πάσης τιμῆς διὰ τοὺς εὐλαβεῖς.

Εἴθε δὲ πολλοὶ ἀπὸ σᾶς νὰ ἔχουν αὐτὴν τὴν σκέψιν· οὔτε ἐγὼ δὲ λέγω ὅτι πρέπει νὰ καταφρονήσωμεν τὸν ἄνδρα, ἀλλὰ συμβουλεύω νὰ φέρετε τὴν λύπην ἀνθρωπίνως. Ἐπειδή, ὅσα εἶναι δυνατὸν νὰ εἴπετε, κλαίοντες διὰ τὴν ζημίαν, οὔτε ἐμοῦ τοῦ ἰδίου διαφεύγουν. Σιωπᾷ μὲν ἐκείνη ἡ γλῶσσα ποὺ σὰν ποταμὸς ἐπλημμύριζε τὰς ἀκοάς, τὸ δὲ βάθος τῆς καρδίας, ποὺ δὲν ἦτο καταληπτὸν ἀπὸ κανένα ἕως τώρα, ἐπέταξε καὶ ἔφυγε σὰν τὸ ἀσθενέστερον ἀπὸ τὰ ὄνειρα κατὰ τὰ ἀνθρώπινα κριτήρια. Ποῖος ἦτο ἱκανὸς εἰς τὸ νὰ προΐδῃ τὸ μέλλον ὀξύτερον ἀπὸ ἐκεῖνον; Ποῖος μὲ τὸ σταθερὸν καὶ στερεὸν ἦθος τῆς ψυχῆς ἦτο τόσον ἱκανός, ὥστε νὰ συλλαμβάνῃ τὰ πράγματα ταχύτερα ἀπὸ ἀστραπήν; Ὦ πόλις πού, ἂν καὶ σὲ ηὗραν πολλὰ ἕως τώρα πάθη, ἀπὸ κανένα δὲν ἐζημιώθης τόσον πολὺ εἰς τὰ καίρια τοῦ βίου! Τώρα ἐμαράνθη ὁ κάλλιστος στολισμός σου, ἡ δὲ Ἐκκλησία ἐσιώπη-

καὶ σκυθρωπάζουσι πανηγύρεις καὶ τὸ ἱερὸν συνέδριον τὸν κορυφαῖον ἐπιποθεῖ, λόγοι δὲ μυστικοὶ τὸν ἐξηγητὴν ἀναμένουσιν, οἱ παῖδες τὸν πατέρα, οἱ πρεσβῦται τὸν ἡλικιώτην, οἱ ἐν τέλει τὸν ἔξαρχον, ὁ δῆμος τὸν προστάτην, οἱ βίου δεόμενοι τὸν τροφέα· πάντες ἐκ τῶν οἰκειοτάτων αὐτὸν ὀνομάτων ἀνακαλούμενοι, ἐπὶ οἰκείῳ πάθει οἰκεῖον αὐτῷ καὶ προσήκοντα ἕκαστος τὸν θρῆνον αἴρουσιν. Ἀλλὰ ποῦ μοι ὁ λόγος ὑφ' ἡδονῆς τῶν δακρύων ἐκφέρεται; Οὐκ ἀνανήψομεν; Οὐχ ἡμῶν αὐτῶν γενησόμεθα; Οὐκ ἀποβλέψομεν πρὸς τὸν κοινὸν Δεσπότην, ὅς, ἕκαστον τῶν ἁγίων τῇ ἰδίᾳ γενεᾷ ἐπιτρέψας ὑπηρετήσασθαι, τοῖς καθήκουσι χρόνοις πρὸς ἑαυτὸν πάλιν ἀνεκαλέσατο; Νῦν ἐν καιρῷ τῶν ἐκείνου φωνῶν ὑπομνήσθητε, ὅς, ἐκκλησιάζων ὑμῖν ἀεὶ διεστέλλετο· «Βλέπετε, λέγων, τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας». Πολλοὶ οἱ κύνες. Τί λέγω κύνες; Λύκοι μὲν οὖν βαρεῖς, ἐν ἐπιφανείᾳ προβάτων τὸ δολερὸν ὑποκρύπτοντες, πανταχοῦ τῆς οἰκουμένης τὸ Χριστοῦ ποίμνιον διασπῶσιν. Οὓς φυλακτέον ὑμῖν ἐγρηγορικοῦ τινος ποιμένος ἐπιστασία. Ὃν ὑμέτερον μὲν αἰτῆσαι, φιλονικίας πάσης καὶ φιλοπρωτίας τὰς ψυχὰς καθαρεύοντας, τοῦ Κυρίου δὲ ἀναδεῖξαι, ὅς, ἀπὸ τοῦ μεγάλου προστάτου τῆς Ἐκκλησίας ὑμῶν Γρηγορίου μέχρι τοῦ μακαρίου τούτου, ἄλλον ἐπ' ἄλλῳ προστιθεὶς καὶ συναρμόζων ἀεί, οἷον ἔκ τινος ἁρμοῦ λίθων πολυτελῶν, θαυμαστὸν οἷον τὸ κάλλος τῆς Ἐκκλησίας ὑμῶν ἐχαρίσατο. Ὥστε οὐδὲ τῶν ἐφεξῆς ἀπελπιστέον. Οἶδε γὰρ Κύριος τοὺς ὄντας αὐτοῦ, καὶ ἀγάγοι ἂν εἰς τὸ μέσον τοὺς παρ' ἡμῶν τυχὸν οὐ προσδοκωμένους.

3. Πάλαι με θέλοντα τῶν λόγων παύσασθαι ἡ ὀδύνη τῆς καρδίας οὐκ ἐπιτρέπει. Ἀλλ' ἐπισκήπτω ὑμῖν πρὸς τῶν πατέρων,

---

6. Τοῦ ἀποθανόντος ἐπισκόπου.

σε καὶ αἱ πανηγύρεις εἶναι σκυθρωπαὶ καὶ τὸ ἱερὸν συνέδριον ἐπιποθεῖ τὸν κορυφαῖόν του, οἱ δὲ μυστικοὶ λόγοι ἀναμένουν τὸν ἐξηγητήν, τὰ παιδιὰ τὸν πατέρα, οἱ πρεσβῦται τὸν συνομήλικον, οἱ ἄρχοντες τὸν ἀρχηγόν των, ὁ δῆμος τὸν προστάτην, οἱ ἐνδεεῖς τὸν τροφέα. Ὅλοι τὸν ἐπονομάζουν μὲ τὰ οἰκειότερα εἰς αὐτοὺς ὀνόματα καὶ ὁ καθένας σηκώνει δι' οἰκεῖον πάθος οἰκεῖον εἰς αὐτὸν καὶ ἁρμόζοντα θρῆνον.

Ἀλλὰ ποῦ μοῦ ξεφεύγει ὁ λόγος ἀπὸ τὴν ἡδονὴν τῶν δακρύων; Δὲν θὰ συνέλθωμεν; Δὲν θὰ αὐτοκυριαρχηθῶμεν; Δὲν θ' ἀποβλέψωμεν πρὸς τὸν κοινὸν Δεσπότην, ὁ ὁποῖος, τὸν καθένα ἀπὸ τοὺς ἁγίους, ἀφοῦ τὸν ἄφησε νὰ ὑπηρετήσῃ εἰς τὴν γενεάν του, πάλιν τὸν ἀνεκάλεσε πλησίον του εἰς τὸν προσήκοντα χρόνον; Τώρα εἶναι καιρὸς νὰ ἐνθυμηθῆτε τοὺς λόγους ἐκείνου [6], ὁ ὁποῖος εἰς τὰς συναθροίσεις σας δὲν ἔπαυε νὰ σᾶς προτρέπῃ· «Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας» [7]. Πολλοὶ εἶναι οἱ σκύλοι, τί λέγω σκύλοι; Λύκοι ἄγριοι μάλιστα, κρύπτοντες τὴν δολιότητα μὲ ἔνδυμα προβάτων, διασποῦν τὸ ποίμνιον τοῦ Χριστοῦ εἰς ὅλα τὰ σημεῖα τῆς οἰκουμένης. Πρέπει νὰ προφυλαχθῆτε ἀπὸ αὐτοὺς μὲ τὴν ἐπιστασίαν ἑνὸς ξυπνητοῦ ποιμένος. Εἶναι δὲ ἰδικόν σας ἔργον νὰ τὸν ζητήσετε μὲ καθαρὰς τὰς ψυχὰς ἀπὸ κάθε φιλονικίαν καὶ φιλοπρωτίαν, τοῦ Κυρίου δὲ εἶναι εἰς χεῖρας νὰ τὸν ἀναδείξῃ· τοῦ Κυρίου, ὁ ὁποῖος ἀπὸ τὸν μέγαν προστάτην τῆς Ἐκκλησίας Γρηγόριον μέχρι τοῦ μακαρίου τούτου, προσθέτων καὶ συναρμόζων πάντοτε ἄλλον κατόπιν ἄλλου, σὰν μὲ κάποιαν συναρμολόγησιν λίθων πολυτελῶν, ἐχάρισεν αὐτὸ τὸ τόσον θαυμαστὸν κάλλος εἰς τὴν Ἐκκλησίαν σας. Ἑπομένως ἂς μὴ ἀπελπισθῆτε καὶ διὰ τοὺς διαδόχους των. Διότι ὁ Κύριος γνωρίζει ποῖος εἶναι ἰδικός του καὶ ἠμπορεῖ νὰ φέρῃ εἰς τὸ μέσον αὐτοὺς ποὺ ἴσως ἡμεῖς δὲν περιμένομεν.

3. Ἐνῷ ἤθελα νὰ σταματήσω τὸν λόγον ἀπὸ ὥραν, δὲν μοῦ τὸ ἐπιτρέπει ἡ ὀδύνη τῆς καρδίας. Ἀλλὰ σᾶς ἐξορκίζω εἰς τὸ

7. Φιλιππ. 3, 2.

πρὸς τῆς ὀρθῆς πίστεως, πρὸς τοῦ μακαρίου τούτου, διαναστῆναι τὴν ψυχήν, οἰκεῖον ἕκαστον ἑαυτοῦ τὸ σπουδαζόμενον κρίναντα καὶ τῆς ἐφ' ἑκάτερα τῶν πραγμάτων ἐκβάσεως πρῶτον αὐτὸν ἀπολαύσειν ἡγούμενον, μηδέ, τὸ τοῖς πολλοῖς συμβαῖνον, πρὸς τὸν πλησίον τὴν τῶν κοινῶν ἐπιμέλειαν ἀπωθεῖσθαι, εἶτα, ἑκάστου τῇ αὐτῇ διανοίᾳ τῶν πραγμάτων ὀλιγωροῦντος, λαθεῖν ἅπαντας ἴδιον ἑαυτοῖς κακὸν διὰ τῆς ἀμελείας ἐπισπασαμένους. Ταῦτα εἴτε ὡς γειτόνων συμπάθειαν, εἴτε ὡς ὁμοδοξούντων κοινωνίαν, εἴτε καί, ὅπερ ἀληθέστερόν ἐστι, τῷ τῆς ἀγάπης πειθομένων νόμῳ καὶ τὸν ἐκ τοῦ σιωπῆσαι κίνδυνον ἐκκλινόντων, μετὰ πάσης εὐνοίας δέξασθε, πεπεισμένοι ὅτι καύχημα ἡμῶν ἐστε, καθάπερ καὶ ἡμεῖς ὑμῶν εἰς τὴν ἡμέραν τοῦ Κυρίου, καὶ ὅτι ἐκ τοῦ δοθησομένου ποιμένος ὑμῖν ἢ ἐπὶ πλέον τῷ συνδέσμῳ τῆς ἀγάπης ἑνωθησόμεθα ἢ πρὸς παντελῆ διάστασιν· ὃ μὴ γένοιτο, οὐδὲ ἔσται τῇ τοῦ Θεοῦ χάριτι, οὐδ' ἂν αὐτὸς νῦν εἴποιμι βλάσφημον οὐδέν. Τοῦτο δὲ εἰδέναι ὑμᾶς βουλόμεθα, ὅτι εἰ καὶ πρὸς τὴν εἰρήνην τῶν Ἐκκλησιῶν συντρέχοντα ἡμῖν οὐκ ἔσχομεν τὸν μακάριον, διά τινας, ὡς αὐτὸς ἡμῖν διεβεβαιοῦτο, προλήψεις, ἀλλ' οὖν γε τῆς πρὸς αὐτὸν ὁμοδοξίας καὶ τοῦ ἀεὶ κοινωνὸν ἐπικαλεῖσθαι τῶν πρὸς τοὺς αἱρετικοὺς ἀγώνων, ὑπὸ μάρτυρι τῷ Θεῷ καὶ ἀνθρώποις τοῖς πεπειραμένοις ἡμῶν, οὐδένα καιρὸν ἀπελείφθημεν.

---

8. Τὸ θέμα τῆς ἐκλογῆς τοῦ νέου ἐπισκόπου.

9. Τὴν ἐκλογὴν τοῦ Ἀταρβίου ὁ Βασίλειος προφανῶς θὰ ἐξέλαβεν ἔπειτα ὡς ἔκβασιν πρὸς τὸ κακόν. Ἡ διάστασις ὑπῆρξε σχεδὸν πλήρης. Φαίνεται ὅτι κάτι ὑπωπτεύετο, ὅταν ἔγραφε τὰ ἀνωτέρω ὁ Βασίλειος.

ὄνομα τῶν πατέρων, εἰς τὸ ὄνομα τῆς ὀρθῆς πίστεως, εἰς τὸ ὄνομα τοῦ μακαρίου τούτου, νὰ ἐγείρετε τὴν ψυχήν σας. Πρέπει ὁ καθένας σας νὰ κρίνῃ ὡς ἰδικήν του ὑπόθεσιν τὸ προκείμενον θέμα [8] καὶ νὰ πιστεύῃ ὅτι πρῶτος αὐτὸς θὰ ὑποστῇ τὰς συνεπείας τῆς ἐκβάσεως τῶν πραγμάτων, εἴτε πρὸς τὸ καλὸν εἴτε πρὸς τὸ κακόν, καὶ νὰ μὴ ρίπτετε, ὅπως συμβαίνει μὲ τοὺς πολλούς, τὴν ἐπιμέλειαν τῶν κοινῶν εἰς τὸν πλησίον, μὲ ἀποτέλεσμα, ἀφοῦ ὁ καθένας ὡσὰν ἀπὸ συμφώνου ἀδιαφορεῖ διὰ τὰ πράγματα, νὰ προκαλέσετε χωρὶς νὰ τὸ καταλάβετε ὅλοι διὰ τῆς ἀμελείας σας τὴν συμφοράν σας.

Αὐτά, εἴτε ὡς συμπάθειαν γειτόνων εἴτε ὡς κοινωνίαν ὁμοδόξων εἴτε καί, πρᾶγμα ποὺ εἶναι ἀληθέστερον, ὡς ὑπακοὴν εἰς τὸν νόμον τῆς ἀγάπης καὶ ἀποφυγὴν τοῦ ἐκ τῆς ἀποσιωπήσεως κινδύνου, δεχθῆτε μὲ κάθε εὐμένειαν, ἔχοντες τὴν πεποίθησιν ὅτι εἶσθε καύχημά μας, ὅπως καὶ ἡμεῖς ἰδικόν σας εἰς τὴν ἡμέραν τοῦ Κυρίου, καὶ ὅτι ἀπὸ τὸν ποιμένα ποὺ θὰ σᾶς δοθῇ ἢ θὰ ἐνωθῶμεν περισσότερον μὲ τὸν σύνδεσμον τῆς ἀγάπης ἢ θὰ ὁδηγηθῶμεν εἰς πλήρη διάστασιν [9]. Εἴθε νὰ μὴ συμβῇ αὐτό, καὶ μὲ τὴν χάριν τοῦ Θεοῦ δὲν θὰ συμβῇ, καὶ ἐγὼ δὲν θέλω νὰ εἴπω τίποτε βλάσφημον αὐτὴν τὴν στιγμήν.

Τοῦτο δὲ θέλομεν νὰ γνωρίζετε, ὅτι, ἂν καὶ δὲν εἴχομεν τὸν μακαρίτην ὡς συνεργάτην διὰ τὴν εἰρήνην τῶν Ἐκκλησιῶν [10], ἐξ αἰτίας ὡρισμένων προκαταλήψεων, ὅπως μᾶς διεβεβαίωνεν ὁ ἴδιος, ἀλλὰ πάντως μάρτυς μας εἶναι ὁ Θεὸς καὶ οἱ στενῶς συνδεδεμένοι μὲ ἡμᾶς ὅτι δὲν ἐπαύσαμεν ποτὲ νὰ εἴμεθα μὲ αὐτὸν ὁμόδοξοι καὶ νὰ τὸν προσκαλῶμεν πάντοτε ὡς κοινωνὸν τῶν ἀγώνων πρὸς τοὺς αἱρετικούς.

---

10. Ὁ Βασίλειος, ἂν καὶ ἦτο ἀκόμη πρεσβύτερος, ἦτο ἤδη πρωτεργάτης εἰς τὴν στήριξιν τῆς Ὀρθοδοξίας καὶ τὴν εἰρήνευσιν τῶν Ἐκκλησιῶν.

213

126. ΑΤΑΡΒΙΩ

Παραγενόμενοι μέχρι τῆς Νικοπόλεως ἐπ' ἐλπίδι τοῦ καὶ τὰς κινηθείσας ταραχὰς ἐπανορθώσασθαι καὶ τὴν ἐνδεχομένην ἐπαγαγεῖν παραμυθίαν τοῖς ἀτάκτως καὶ παρὰ τὸν ἐκκλησιαστικὸν θεσμὸν γενομένοις, σφόδρα ἠθυμήσαμεν μὴ καταλαβόντες σου τὴν χρηστότητα, ἀλλὰ μαθόντες ἐξεληλακέναι σε πρὸς πᾶσαν ἔπειξιν καὶ ταῦτα μεσούσης σχεδὸν τῆς συνόδου τῆς παρ' ὑμῶν τελουμένης. Διὸ ἀναγκαίως ἐπὶ τὸ γράμμα ἤλθομεν δι' οὗ ὑπομιμνήσκομεν ἀπαντῆσαι πρὸς ἡμᾶς, ἵνα αὐτὸς διὰ σαυτοῦ παραμυθήσῃ ἡμῶν τὴν λύπην ἣν μέχρι θανάτου λελυπήμεθα ἀκούσαντες ἐπὶ μέσης τῆς Ἐκκλησίας τετολμῆσθαι πράγματα οὔπω μέχρι τῆς ἡμέρας ταύτης εἰς ἀκοὴν ἡμετέραν ἐλθόντα. Καὶ ταῦτα μὲν εἰ καὶ λυπηρὰ καὶ βαρέα, ἀλλ' ἔτι φορητὰ διὰ τὸ εἰς ἄνθρωπον γεγενῆσθαι ὅς, τὴν ὑπὲρ ὧν πέπονθεν ἐκδίκησιν τῷ Θεῷ ἐπιτρέψας, ὅλος ἐστὶ τῆς εἰρήνης καὶ τοῦ μηδὲν παρὰ τὴν αὐτοῦ αἰτίαν βλαβερὸν γίνεσθαι τῷ λαῷ τοῦ Θεοῦ. Ἐπειδὴ δέ τινες τῶν τιμίων καὶ πάσης πίστεως ἀξίων ἀδελφῶν ἀπήγγειλαν ἡμῖν ὡς περὶ τὴν πίστιν καινοτομουμένων τινῶν καὶ λαλουμένων παρὰ σοῦ ὑπεναντίως τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, ἐπὶ τούτοις πλέον συγκινηθέντες καὶ πολὺν ἀγῶνα ἀγωνιάσαντες μή πού τι πρὸς τοῖς μυρίοις τραύμασιν οἷς πέπονθεν ἡ Ἐκκλησία παρὰ τῶν εἰς τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου ἐξαμαρτόντων ἔτι καὶ ἄλλο ἀναφυῇ κακόν, ἀνανεωθείσης τῆς παλαιᾶς τοῦ ἐχθροῦ τῆς Ἐκκλησίας Σαβελλίου αἱ-

---

Ἐπιστολὴ 126. Ἐγράφη τὸ 373. Περὶ Ἀταρβίου βλ. ἐπιστ. 65 Β'τ. Ἂν καὶ συγγενὴς τοῦ Βασιλείου, ἡγεῖτο τῆς στάσεως τῶν Νεοκαισαρέων κατὰ τοῦ Βασιλείου καὶ ἦτο ἕνας ἀπὸ τοὺς χειροτέρους ἐχθροὺς του. Βλ. ἐπιστολὰς 204, 207 Β'τ. καὶ 210. Ἡ ἀφορμὴ τῆς ἐπιστολῆς εἶναι διπλῆ, πρῶ-

213

ΕΠΙΣΤΟΛΗ 126
ΠΡΟΣ ΤΟΝ ΑΤΑΡΒΙΟΝ

Φθάσαντες μέχρι τῆς Νικοπόλεως μὲ τὴν ἐλπίδα νὰ καταστείλωμεν τὰς ταραχὰς ποὺ συνέβησαν καὶ νὰ ἐπιφέρωμεν τὴν ἀπαραίτητον θεραπείαν εἰς τὰ ἀτάκτως καὶ παρὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας γενόμενα, πάρα πολὺ ἐστενοχωρήθημεν ποὺ δὲν συνηντήσαμεν τὴν χρηστότητά σου, ἀλλὰ ἐμάθαμεν ὅτι εἶχες ἀναχωρήσει ἐσπευσμένως, καὶ μάλιστα εἰς τὸ μέσον σχεδὸν τῆς συνόδου ποὺ ἔχει συγκληθῆ ἀπὸ σέ.

Διὰ τοῦτο ὑπεχρεώθημεν νὰ ἔλθωμεν εἰς τὸ γράμμα, μὲ τὸ ὁποῖον ὑπενθυμίζομεν ὅτι πρέπει νὰ μᾶς ἀπαντήσῃς, διὰ νὰ παρηγορήσῃς σὺ ὁ ἴδιος τὴν λύπην μας, ἡ ὁποία μᾶς κατέβαλε μέχρι θανάτου, ὅταν ἠκούσαμεν ὅτι εἰς τὸ μέσον τῆς ἐκκλησίας ἐτολμήθησαν πράγματα ποὺ δὲν ἤλθαν ποτὲ ἕως σήμερα εἰς τὴν ἀκοήν μας. Καὶ αὐτὰ μέν, ἂν καὶ λυπηρὰ καὶ βαρέα, εἶναι πάντως ἀνεκτά, διότι ἔγιναν εἰς ἄνθρωπον ὁ ὁποῖος, ἀναθέσας εἰς τὸν Θεὸν τὴν ἐκδίκησιν δι' ὅσα ἔπαθε, ποθεῖ ζωηρῶς τὴν εἰρήνην καὶ νὰ μὴ γίνῃ ἐξ αἰτίας αὐτοῦ τίποτε ἐπιβλαβὲς εἰς τὸν λαὸν τοῦ Θεοῦ.

Ἐπειδὴ δὲ μερικοὶ ἀπὸ τοὺς τιμίους καὶ πάσης ἐμπιστοσύνης ἀξίους ἀδελφούς μᾶς ἀπήγγειλαν ὅτι κηρύσσονται ἀπὸ σὲ μερικὰ νεωτεριστικὰ δόγματα, ἀντίθετα πρὸς τὴν γνησίαν διδασκαλίαν, συγκινηθέντες ἀπὸ αὐτὰ πάρα πολὺ καὶ καταληφθέντες ἀπὸ ἀγωνίαν, μήπως, ἐκτὸς τῶν μυρίων τραυμάτων ποὺ ὑπέστη ἡ Ἐκκλησία ἀπὸ τοὺς προσβαλόντας τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου, ἀναφυῇ καὶ κανένα ἄλλο κακόν, μὲ ἀνανέωσιν τῆς παλαιᾶς αἱρέσεως τοῦ ἐχθροῦ τῆς Ἐκκλησίας Σαβελλίου [1]

τον προσβλητικαὶ κατὰ τοῦ Βασιλείου ἐκφράσεις τοῦ Ἀταρβίου καὶ δεύτερον ἀνορθόδοξοι διδασκαλίαι τοῦ Ἀταρβίου.

1. Προφανῶς ὁ Ἀτάρβιος ἦτο μοναρχιανός, ἐπηρεασμένος ἀπὸ τὸν ὀλίγον προγενέστερον ἐπίσκοπον Ἀγκύρας Μάρκελλον.

ρέσεως (τούτοις γὰρ οἱ ἀδελφοὶ ἀπήγγειλον ἡμῖν συγγενῆ εἶναι τὰ εἰρημένα), τούτου ἕνεκεν ἐπεστείλαμεν, ἵνα μὴ ὀκνήσῃς μικρὸν διάστημα κινηθεὶς καταλαβεῖν ἡμᾶς καὶ τὴν ἐπὶ τούτοις πληροφορίαν παρασχόμενος ἡμῶν τε τὴν ὀδύνην καταπραῦναι καὶ τὰς τοῦ Θεοῦ Ἐκκλησίας παραμυθήσασθαι τὰς νῦν ἀφορήτως καὶ βαρέως ἐπί τε τοῖς πεπραγμένοις καὶ ἐπὶ τοῖς θρυλουμένοις εἰρῆσθαι παρὰ σοῦ λυπουμένας.

214

204. ΤΟΙΣ ΝΕΟΚΑΙΣΑΡΕΥΣΙ

1. Πολὺν χρόνον ἀπεσιωπήσαμεν πρὸς ἀλλήλους, ἀδελφοὶ τιμιώτατοι ἡμῖν καὶ περιπόθητοι, ὥσπερ οἱ πρὸς ὀργὴν διαναστάντες. Καίτοι τίς οὕτω βαρύμηνις καὶ δυσδιάλλακτος τῷ λελυπηκότι, ὥστε ὅλῃ σχεδὸν ἀνθρώπου γενεᾷ τὴν ἐκ τοῦ μίσους ὀργὴν συμπαρεκτεῖναι; Ὃ περὶ ἡμᾶς ἐστιν ἰδεῖν γινόμενον οὐδεμιᾶς τοῦ διεζεῦχθαι δικαίας ἀφορμῆς ὑπαρχούσης, οὐκοῦν ὅσα γε ἴσμεν αὐτοί, ἀλλὰ τὸ ἐναντίον πολλῶν καὶ μεγάλων πρὸς τὴν ἄκραν ἡμῖν φιλίαν καὶ ἕνωσιν ἐνυπαρχόντων τὸ ἐξ ἀρχῆς· ἑνὸς μὲν τοῦ μεγίστου καὶ πρώτου, τῆς ἐντολῆς τοῦ Κυρίου, διαρρήδην εἰπόντος ὅτι· «Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους»), καὶ πάλιν τοῦ ἀποστόλου σαφῶς τὸ τῆς ἀγάπης κα-

---

Ἐπιστολὴ 204. Ἐγράφη τὸ 375 κατὰ τὸ θέρος. Ὁ Ἀτάρβιος Νεοκαισαρείας παραμένει ἐχθρικὸς πρὸς τὸν Βασίλειον, διότι ἐξακολουθεῖ νὰ ἐμπνέεται ἀπὸ μοναρχιανικὰς ἀντιλήψεις (βλ. ἐπιστολὰς 65 Β′τ. καὶ 126), ἔχει δὲ παρασύρει πρὸς τὸ μέρος του ὅλους τοὺς κληρικοὺς τῆς Νεοκαισαρείας. Ὁ Βασίλειος εἶχεν εὐρύτατον κύκλον ἐκκλησιαστικῆς κοινωνίας εἰς Ἀνατολὴν καὶ Δύσιν, ἀλλ' ἐστενοχωρεῖτο ποὺ ἡ δευτέρα πατρίς του, ἡ Νεοκαισάρεια, ἐτηροῦσεν ἀπέναντί του στάσιν μὴ φιλικήν, πολὺ περισσότερον

— διότι οἱ ἀδελφοὶ μᾶς ἐπληροφόρησαν ὅτι τὰ λεχθέντα εἶναι συγγενῆ μὲ τὰ κηρύγματα τούτου —, διὰ τοῦτο σοῦ ἐγράψαμεν, νὰ μὴ διστάσῃς νὰ ἔλθῃς ἕως ἡμᾶς διανύων τὴν μικρὰν ἀπόστασιν ποὺ μᾶς χωρίζει καὶ παρέχων τὴν διαβεβαίωσιν σχετικῶς μὲ αὐτὰ νὰ καταπραΰνῃς τὴν ὀδύνην μας καὶ νὰ παρηγορήσῃς τὰς Ἐκκλησίας τοῦ Θεοῦ, αἱ ὁποῖαι τώρα ἔχουν καταληφθῆ ἀπὸ ἀφόρητον καὶ βαρεῖαν λύπην δι' ὅσα συνέβησαν καὶ δι' ὅσα φημολογοῦνται ὅτι ἐλέχθησαν ὑπὸ σοῦ.

214

ΕΠΙΣΤΟΛΗ 204
ΠΡΟΣ ΤΟΥΣ ΝΕΟΚΑΙΣΑΡΕΙΣ

1. Πολὺν χρόνον ἐτηρήσαμεν σιωπὴν πρὸς ἀλλήλους, ἀδελφοὶ τιμιώτατοι δι' ἡμᾶς καὶ περιπόθητοι, ὡσὰν οἱ χωρισμένοι ἀπὸ ὀργήν. Καὶ ὅμως ποῖος εἶναι τόσον πολὺ ὀργίλος καὶ ἀδιάλλακτος πρὸς τὸν λυπήσαντα, ὥστε νὰ συνεχίζῃ τὴν ἐκ τοῦ μίσους ὀργὴν σχεδὸν εἰς ὁλόκληρον γενεὰν ἀνθρώπου; Αὐτὸ εἶναι δυνατὸν νὰ ἴδῃ κανεὶς νὰ συμβαίνῃ εἰς ἡμᾶς χωρὶς νὰ ὑπάρχῃ καμμία δικαία ἀφορμὴ διαστάσεως, καθ' ὅσον τοὐλάχιστον ἡμεῖς γνωρίζομεν, ἐνῷ τοὐναντίον ὑπάρχουν ἀπὸ τὴν ἀρχὴν πολλοὶ σοβαροὶ λόγοι διὰ στενοτάτην φιλίαν καὶ ἕνωσιν. Εἶναι δὲ ἕνας λόγος, ὁ πρῶτος καὶ σπουδαιότερος, ἡ ἐντολὴ τοῦ Κυρίου ποὺ εἶπε ρητῶς ὅτι, «ἀπὸ τοῦτο θὰ γνωρίσουν ὅλοι ὅτι εἶσθε μαθηταί μου, ἀπὸ τὸ ἐὰν ἔχετε ἀγάπην μεταξύ σας»[1], ἐπίσης τοῦ ἀποστόλου ποὺ μᾶς παριστᾷ σαφῶς

τώρα ποὺ ἐξεδηλώθη ἐντόνως καὶ ἡ ἔχθρα τοῦ Εὐσταθίου Σεβαστείας. Διὰ τοῦτο καταβάλλει προσπάθειαν συμφιλιώσεως μὲ τοὺς κληρικούς της, — παραμερίζων τὸν Ἀτάρβιον —, διὰ νὰ ἔχῃ τὸ ἔδαφος ὁμαλὸν εἰς τὴν γενικωτέραν πρόθεσίν του νὰ ὀργανώσῃ τοὺς ἐπισκόπους τῶν παραλίων τοῦ Πόντου εἰς κοινὸν ὀρθόδοξον μέτωπον. Ἂν κρίνωμεν ἀπὸ τὴν ἐπιστολὴν 207 Β'τ., δὲν τὸ ἐπέτυχε.

1. Ἰω. 13,35.

λὸν παριστῶντος ἡμῖν τοῦτο μὲν ἐν οἷς ἀποφαίνεται πλήρωμα νόμου εἶναι τὴν ἀγάπην, τοῦτο δὲ ὅταν προτίθησι πάντων ὁμοῦ τῶν μεγάλων τὸ τῆς ἀγάπης καλόν, ἐν οἷς φησίν· «Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον. Καὶ ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν καὶ ἔχω πᾶσαν τὴν πίστιν ὥστε ὄρη μεθιστᾶν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. Κἂν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, κἂν παραδῷ τὸ σῶμά μου ἵνα καυθῇ, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι», οὐχ ὡς δυναμένου ποτὲ τῶν ἀπηριθμημένων ἑκάστου δίχα τῆς ἀγάπης ἐνεργηθῆναι, ἀλλὰ βουλομένου τοῦ ἁγίου, ὡς αὐτὸς εἶπε, τῷ καθ' ὑπερβολὴν τρόπῳ τὴν κατὰ πάντων ὑπεροχὴν προσμαρτυρῆσαι τῇ ἐντολῇ.

2. Δεύτερον δὲ ὅτι, εἴ τι μέγα συμβάλλεται πρὸς συνάφειαν καὶ τὸ τῶν αὐτῶν μετασχεῖν διδασκάλων, οἱ αὐτοὶ ὑμῖν τε εἰσὶ καὶ ἡμῖν διδάσκαλοί τε τῶν μυστηρίων τοῦ Θεοῦ καὶ πατέρας πνευματικοί, οἱ ἐξ ἀρχῆς τὴν Ἐκκλησίαν τὴν ὑμετέραν θεμελιώσαντες. Γρηγόριον λέγω τὸν πάνυ καὶ ὅσοι ἐφεξῆς ἐκείνῳ τῆς παρ' ὑμῖν ἐπισκοπῆς τὸν θρόνον διαδεξάμενοι, ἄλλος ἐπ' ἄλλῳ, ὥσπερ τινὲς ἀστέρες ἐπανατέλλοντες κατὰ τῶν αὐτῶν ἰχνῶν ἐπέβησαν, ὥστε διάγνωστα καταλιπεῖν τῆς κατ' οὐρανὸν πολιτείας τὰ σημεῖα τοῖς βουλομένοις. Ἔι δὲ καὶ αἱ σωματικαὶ οἰκειότητες οὐκ ἀπόβλητοι, ἀλλὰ καὶ μέγα συμβαλλόμεναι πρὸς ἀρραγῆ συνάφειαν καὶ κοινωνίαν βίου, καὶ ταῦτα ἡμῖν ὑπῆρξε πρὸς ὑμᾶς τὰ δίκαια. Τίνος οὖν ἕνεκεν, ὦ σεμνοτάτη πόλεων (δι' ὑμῶν γὰρ τῇ

2. Ρωμ. 13,10.

3. Α' Κορ. 13,1 - 3.

4. Τὸν Γρηγόριον τὸν θαυματουργόν, πρῶτον ἐπίσκοπον Νεοκαισαρείας, ἱδρύσαντα τὴν ἐπισκοπὴν αὐτὴν περὶ τὸ 240.

τὴν δύναμιν τῆς ἀγάπης, ἀφ' ἑνὸς μὲν μὲ τοὺς λόγους του ὅτι ἡ ἀγάπη εἶναι πλήρωμα τοῦ νόμου[2], ἀφ' ἑτέρου δὲ ὅταν θέτῃ ὑπεράνω ὅλων τὴν δύναμιν τῆς ἀγάπης μὲ τοὺς λόγους· «ἐὰν τὰς γλώσσας τῶν ἀνθρώπων ὁμιλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ δὲν ἔχω, ἔχω γίνει χάλκινον ἀγγεῖον ἠχοῦν ἢ κύμβαλον ἀλαλάζον. Καὶ ἐὰν ἔχω προφητικὸν χάρισμα καὶ γνωρίζω ὅλα τὰ μυστήρια καὶ ὅλην τὴν γνῶσιν, καὶ ἐὰν ἔχω ὅλην τὴν πίστιν, ὥστε νὰ μεταθέτω ὄρη, ἀγάπην δὲ δὲν ἔχω, δὲν εἶμαι τίποτε. Καὶ ἂν διανείμω ὅλα τὰ ὑπάρχοντά μου εἰς τοὺς πτωχοὺς καὶ ἂν παραδώσω τὸ σῶμά μου νὰ καυθῇ, ἀγάπην δὲ δὲν ἔχω, τίποτε δὲν ὠφελοῦμαι»[3], αὐτὰ δέ, ὄχι διότι τάχα εἶναι ποτὲ δυνατὸν νὰ ἐνεργήσῃ κάποιος τὸ καθένα ἀπὸ τὰ ἀπαριθμούμενα χωρὶς τὴν ἀγάπην, ἀλλὰ διότι ὁ ἅγιος θέλει, καθὼς ὁ ἴδιος εἶπε, νὰ ἐπιβεβαιώσῃ μὲ τὴν ὑπερβολὴν τῆς ἐκφράσεως τὴν ἀνωτερότητα τῆς ἐντολῆς περὶ ἀγάπης ἔναντι ὅλων τῶν ἄλλων.

2. Δεύτερον δὲ ὅτι, ἐὰν ἡ φοίτησις εἰς τοὺς ἰδίους διδασκάλους συμβάλλει κατὰ πολὺ εἰς τὴν ἕνωσιν, οἱ ἴδιοι ὑπῆρξαν καὶ εἰς σᾶς καὶ εἰς ἡμᾶς διδάσκαλοι τῶν μυστηρίων τοῦ Θεοῦ καὶ πνευματικοὶ πατέρες, οἱ ὁποῖοι ἐθεμελίωσαν ἀπὸ τὴν ἀρχὴν τὴν Ἐκκλησίαν σας. Ἐννοῶ τὸν μέγαν Γρηγόριον[4] καὶ τοὺς ἄλλους ποὺ διαδεχθέντες μετέπειτα ἐκεῖνον εἰς τὸν θρόνον τῆς ἐπισκοπῆς σας, ὁ ἕνας μετὰ τὸν ἄλλον, ὡσὰν ἀστέρες ἀνατέλλοντες, ἠκολούθησαν τὰ ἴδια ἴχνη, ὥστε ν' ἀφήσουν εἰς τοὺς θέλοντας εὐδιάγνωστα τὰ σημεῖα τοῦ οὐρανίου βίου των. Ἐὰν δὲ δὲν εἶναι ἀπορριπτέαι καὶ αἱ σωματικαὶ συγγένειαι, ἀλλὰ ἀντιθέτως πολὺ συμβάλλουν εἰς ἀδιατάρακτον ἕνωσιν καὶ κοινωνίαν βίου, καὶ αὐτὰ τὰ δικαιώματα ὑπῆρξαν ἀνάμεσα εἰς ἡμᾶς καὶ σᾶς[5].

Διὰ ποῖον λόγον λοιπόν, ὦ λαμπροτάτη τῶν πόλεων, —διότι διὰ μέσου ὑμῶν ἀπευθύνομαι εἰς ὅλην τὴν πόλιν—, δὲν ἔρ-

---

5. Ὁ πατέρας τοῦ Βασιλείου ἦτο ἀπὸ τὴν Νεοκαισάρειαν, ἴσως δὲ καὶ αὐτὸς νὰ εἶχε γεννηθῆ ἐκεῖ.

πόλει πάσῃ διαλέγομαι), οὐ γράμμα ἥμερον αὐτόθεν, οὐ φωνὴ δεξιά, ἀλλ' ἤνοικται μὲν ὑμῶν τὰ ὦτα τοῖς διαβάλλειν ἐπιχειροῦσιν; Ὥστε τοσοῦτον πλέον στενάζειν ὀφείλω, ὅσῳ περ ἂν μᾶλλον ἴδω τὸ σπουδαζόμενον αὐτοῖς κατορθούμενον, ἐπειδὴ τὸ τῆς διαβολῆς ἔργον φανερὸν ἔχει τὸν καθηγούμενον· ὃς ἀπὸ πολλῶν ὑπάρχων ἀδικημάτων γνώριμος ἀπὸ ταύτης μάλιστα τῆς πονηρίας χαρακτηρίζεται, ὥστε καὶ ὄνομα αὐτῷ γενέσθαι τὴν ἁμαρτίαν. Πλὴν ἀλλ' ὑμεῖς ἀνάσχεσθέ μου τῆς παρρησίας· ἀμφοτέρας τὰς ἀκοὰς τοῖς διαβάλλουσιν ἡμᾶς ἀναπετάσαντες πάντα ἀνεξετάστως ταῖς ψυχαῖς παραδέχεσθε, καὶ οὐδεὶς ὁ τοῦ ἀληθοῦς τὸ ψεῦδος φυλοκρινῶν. Τίς ἠπόρησέ ποτε πονηρῶν ἐγκλημάτων μόνος ἀγωνιζόμενος; Τίς ἠλέγχθη ψευδόμενος μὴ παρόντος τοῦ συκοφαντουμένου; Ποῖον ῥῆμα οὐκ ἔστι πιθανὸν τοῖς ἀκούουσιν, ἐὰν ὁ μὲν λοίδορος διατείνηται ἢ μὴν οὕτως ἔχειν, ὁ δὲ λοιδορούμενος μήτε παρῇ μήτε ἐπακούῃ τῶν βλασφημιῶν; Οὐδὲ αὐτὴ ἡ τοῦ βίου συνήθεια παιδεύει ὑμᾶς πρὸς ταῦτα, ὅτι δεῖ τὸν μέλλοντα ἴσον καὶ κοινὸν ἀκροατὴν γενήσεσθαι μὴ ὅλον ἀπάγεσθαι παρὰ τοῦ προλαβόντος, ἀλλ' ἀναμένειν καὶ τὴν ἀπολογίαν τοῦ ἐναγομένου, ἵν' οὕτως ἐκ τῆς παραθέσεως ἑκατέρων τῶν λόγων διαδειχθῇ ἡ ἀλήθεια; «Κρῖμα δίκαιον κρίνατε», πρόσταγμά ἐστιν ἓν τῶν ἀναγκαιοτάτων εἰς σωτηρίαν.

3. Καὶ ταῦτα λέγω οὐκ ἐπιλελησμένος τῶν ἀποστολικῶν ῥημάτων, ὅτι φεύγων ἐκεῖνος τὰ ἀνθρώπινα κριτήρια ὅλον ἑαυτοῦ τὸν βίον ταῖς εὐθύναις τοῦ ἀνεξαπατήτου δικαστηρίου ἐταμιεύετο, ἐν οἷς φησίν· «Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας». Ἀλλ' ὅμως, ἐπειδὴ προλαβοῦσαι διαβολαὶ ψευδεῖς κατέσχον ὑμῶν τὰς ἀκοὰς καὶ διαβέβληται

---

6. Ὁ διάβολος.

χεται γράμμα εὐγενὲς ἀπὸ αὐτοῦ, δὲν ἀκούεται φωνὴ γλυκεῖα, ἀλλ' ἔχουν ἀνοιχθῆ τὰ αὐτιά σας εἰς τοὺς ἐπιχειροῦντας νὰ διαβάλλουν; Ὥστε τόσον περισσότερον ὀφείλω νὰ στενάζω, ὅσον περισσότερον θὰ ἔβλεπα νὰ κατορθώνεται τὸ ἐπιδιωκόμενον ἀπὸ αὐτούς, ἐπειδὴ τὸ ἔργον τῆς διαβολῆς ἔχει φανερὸν τὸν πρωτεργάτην του, ὁ ὁποῖος, ἐνῷ εἶναι ἀπὸ πολλὰ ἀδικήματα γνώριμος, κυριώτατα ἀπὸ αὐτὴν τὴν πονηρίαν χαρακτηρίζεται, ὥστε ἡ ἁμαρτία αὐτὴ νὰ τοῦ δοθῇ ὡς ὄνομα [6]. Νὰ μοῦ συγχωρήσετε τὴν παρρησίαν· ἠνοίξατε τὰ δύο αὐτιά σας εἰς τοὺς διαβολεῖς μας καὶ δέχεσθε εἰς τὰς ψυχάς σας ὅλα ἀνεξετάστως, δὲν ὑπάρχει δὲ κανεὶς νὰ ξεχωρίσῃ τὸ ψεῦδος ἀπὸ τὴν ἀλήθειαν. Ποῖος ἀπηλλάγη ποτὲ ἀπὸ πονηρὰς κατηγορίας ἀγωνιζόμενος μόνος; Ποῖος ἀπεδείχθη ὅτι ψεύδεται χωρὶς νὰ παρίσταται ὁ συκοφαντούμενος; Ποῖος λόγος δὲν εἶναι πιθανοφανὴς εἰς τοὺς ἀκούοντας, ἐὰν ὁ μὲν προσβάλλων ἰσχυρίζεται ὅτι πράγματι εἶναι ἀκριβής, ὁ δὲ προσβαλλόμενος δὲν εἶναι παρὼν καὶ δὲν ἀκούει τὰς βλασφημίας; Δὲν σᾶς διδάσκουν αὐτὰ τὰ πράγματα οὔτε τὰ κοσμικὰ ἔθιμα, ὅτι δηλαδὴ αὐτὸς ποὺ πρόκειται νὰ γίνῃ δίκαιος καὶ ἀμερόληπτος ἀκροατὴς δὲν πρέπει νὰ ἀπάγεται ἀπὸ ἐκεῖνον ποὺ προλαμβάνει, ἀλλὰ νὰ περιμένῃ καὶ τὴν ἀπολογίαν τοῦ κατηγορουμένου, οὕτως ὥστε ἀπὸ τὴν παραβολὴν τῶν λόγων καὶ τῶν δύο νὰ δειχθῇ ἡ ἀλήθεια; «Κρῖμα δίκαιον κρίνατε», εἶναι ἕνα ἀπὸ τὰ ἀναγκαιότατα εἰς σωτηρίαν προστάγματα [7].

3. Καί, καθὼς λέγω αὐτά, δὲν λησμονῶ τὰ ἀποστολικὰ λόγια, ὅτι ἀποφεύγων ἐκεῖνος τὰ ἀνθρώπινα κριτήρια ἐκρατοῦσεν ὅλον τὸν βίον του διὰ τὴν ἐξέτασιν ἀπὸ τὸ ἀνεξαπάτητον δικαστήριον, ὅταν λέγῃ, «δι' ἐμὲ δὲ εἶναι πολὺ ἀσήμαντον τὸ νὰ ἀνακριθῶ ἀπὸ σᾶς ἢ ἀπὸ τὴν ἀνθρωπίνην ἡμέραν» [8]. Ἐπειδὴ ὅμως ἐπρόλαβαν καὶ κατέλαβαν τὰ αὐτιά σας ψευδεῖς διαβολαὶ καὶ ἔχει συκοφαντηθῇ ὁ βίος μας, ὅπως ἐπίσης ἔχει συκοφαν-

7. Ἰω. 7,24.
8. Α' Κορ. 4,3.

μὲν ἡμῶν ὁ βίος, διαβέβληται δὲ ἡ περὶ τὸν Θεὸν ἡμῶν πίστις, εἰδὼς ὅτι τρισὶν ὁμοῦ προσώποις τὴν βλάβην προστρίβεται ὁ διαβάλλων (τόν τε γὰρ συκοφαντούμενον ἀδικεῖ καὶ πρὸς οὓς ὁ λόγος ἐστὶν αὐτῷ καὶ αὐτὸς ἑαυτόν)· τῆς μὲν ἐμαυτοῦ βλάβης κἂν ἀπεσιώπησα, εὖ ἴστε, οὐ καταφρονῶν τῆς παρ' ὑμῖν ὑπολήψεως (πῶς γὰρ ὅς γε, ἵνα μὴ ταύτην ζημιωθῶ, ταῦτα ἐπιστέλλω καὶ ἀγωνίζομαι νῦν;), ἀλλ' ὁρῶν ὅτι ἐν τρισὶ τοῖς βλαπτομένοις ὁ τὰ ἐλάττονα ζημιούμενος εἰμὶ ἐγώ. Ἐγὼ μὲν γὰρ ὑμᾶς ἀποστεροῦμαι, ὑμεῖς δὲ τὴν ἀλήθειαν ἀφαιρεῖσθε, καὶ ὁ τούτων αἴτιος ἐμὲ μὲν ὑμῶν διίστησιν, ἑαυτὸν δὲ ἀλλοτριοῖ τοῦ Κυρίου, διότι οὐκ ἔστι Θεῷ ἐκ τῶν ἀπηγορευμένων οἰκειωθῆναι. Ὑμῶν οὖν μᾶλλον ἕνεκεν ἢ ἐμαυτοῦ ποιοῦμαι τοὺς λόγους καὶ τοῦ ὑμᾶς ἐξελέσθαι βλάβης οὐκ ἀνεκτῆς. Τί γὰρ ἂν καὶ μεῖζον πάθοι κακόν τις τὸ τιμιώτατον τῶν ὄντων ζημιωθεὶς τὴν ἀλήθειαν;

4. Τί οὖν φημί, ἀδελφοί; Οὐχ ὅτι ἀναμάρτητός τις ἐγὼ οὔθ' ὅτι ὁ βίος ὁ ἐμὸς οὐχὶ πλήρης ἐστὶ μυρίων ἐλαττωμάτων. Οἶδα γὰρ ἐμαυτὸν καὶ οὐ διαλείπω γε στάζων τὸ δάκρυον ὑπὲρ τῶν ἁμαρτημάτων, εἴ πως δυνηθείην ἐξιλάσασθαί μου τὸν Θεὸν καὶ διαφυγεῖν τὴν ἀπειληθεῖσαν κόλασιν. Ἀλλ' ὅτι ὁ τὰ ἡμέτερα κρίνων, εἰ μὲν καθαρὸν ἔχειν διαβεβαιοῦται τὸν ὀφθαλμόν, καρφολογείτω ἡμῶν τὸ ὄμμα. Ὁμολογοῦμεν γὰρ δεῖσθαι πολλῆς τῆς ἐκ τῶν ὑγιαινόντων ἐπιμελείας. Εἰ δὲ τοῦτο μὲν οὐκ ἂν εἴποι, καὶ τοσούτῳ γε πλέον οὐκ ἐρεῖ ὅσῳ περ ἂν μᾶλλον ᾖ καθαρὸς (διότι ἴδιον τῶν τελείων τὸ μὴ ἑαυτοὺς ὑπεραίρειν, ἐπεὶ πάντως ὑπόδικοι τῇ ἀλαζονείᾳ τοῦ φαρισαίου γενήσονται, ὃς ἑαυτὸν δικαιῶν κατέκρινε τὸν τελώνην), μετ' ἐμοῦ ζητείτω τὸν ἰατρὸν καὶ μὴ πρὸ καιροῦ κρινέτω, ἕως ἂν ἔλθῃ ὁ Κύριος ὃς ἀποκαλύψει τὰ κρυπτὰ τοῦ σκότους καὶ

9. Ματθ. 7,4 ἑ.
10. Βλ. Α' Κορ. 4,5.

τηθῆ ἡ πρὸς τὸν Θεὸν πίστις ἡμῶν, γνωρίζων ὅτι ὁ διαβολεὺς προκαλεῖ βλάβην εἰς τρία πρόσωπα — διότι καὶ τὸν συκοφαντούμενον ἀδικεῖ καὶ αὐτοὺς πρὸς τοὺς ὁποίους ἀπευθύνεται καὶ τὸν ἴδιον τὸν ἑαυτόν του —, ἂν ἀπεσιώπησα τὴν ἰδικὴν μου βλάβην, νὰ γνωρίζετε καλῶς, δὲν τὸ ἔκαμα διότι καταφρονῶ τὴν σημασίαν τῆς ἐκ μέρους σας ὑπολήψεως — πῶς θὰ τὸ ἔκαμα ἐγώ, ποὺ διὰ νὰ μὴ ὑποστῶ αὐτὴν τὴν ζημίαν, σᾶς γράφω αὐτὰ τώρα καὶ ἀγωνίζομαι; — ἀλλὰ διότι βλέπω ὅτι μεταξὺ τῶν τριῶν βλαπτομένων ἐγὼ εἶμαι ποὺ ζημιώνομαι τὰ ὀλιγώτερα. Ἐγὼ μὲν στεροῦμαι σᾶς, σεῖς δὲ στερεῖσθε τὴν ἀλήθειαν, καὶ ὁ αἴτιος τούτου ἐμὲ μὲν ἀποξενώνει ἀπὸ σᾶς, τὸν ἑαυτόν του δὲ ἀπαλλοτριώνει ἀπὸ τὸν Κύριον, διότι δὲν εἶναι δυνατὸν νὰ ἑνωθῇ μὲ τὸν Θεὸν δι' ἀπηγορευμένων ἐνεργειῶν. Τοὺς λόγους τούτους λοιπὸν διατυπώνω μᾶλλον πρὸς χάριν σας παρὰ πρὸς ἰδικήν μου καὶ διὰ νὰ σᾶς ἐξαγάγω ἀπὸ μίαν ἀνυπόφορον ζημίαν. Τί δὲ χειρότερον κακὸν θὰ ἠμποροῦσε νὰ πάθῃ κανεὶς ἀπὸ τὸ νὰ χάσῃ τὸ πολυτιμότερον τῶν ἀγαθῶν, τὴν ἀλήθειαν;

4. Τί λοιπὸν λέγω, ἀδελφοί; Ὄχι ὅτι ἐγὼ εἶμαι κανεὶς ἀναμάρτητος οὔτε ὅτι ὁ βίος μου δὲν εἶναι γεμᾶτος μυρίων ἐλαττωμάτων. Γνωρίζω τὸν ἑαυτόν μου καὶ δὲν παραλείπω νὰ στάζω δάκρυα διὰ τὰ ἁμαρτήματα, μήπως δυνηθῶ νὰ ἐξιλεώσω τὸν Θεὸν καὶ νὰ διαφύγω τὴν ἀπειλὴν τῆς κολάσεως. Ἀλλὰ λέγω ὅτι ἐκεῖνος ποὺ κρίνει τὰς πράξεις μας, μόνον ἐὰν βεβαιωθῇ ὅτι ἔχει καθαρὸν τὸν ὀφθαλμόν του, ἂς ἐξαγάγῃ τὸ κάρφος ἀπὸ τὸν ἰδικόν μας [9]. Ὁμολογοῦμεν πράγματι ὅτι χρειαζόμεθα πολλὴν ἐπιμέλειαν ἐκ μέρους τῶν ὑγιῶν. Ἐὰν δὲ δὲν εἴπῃ τοῦτο, καὶ τόσον περισσότερον δὲν θὰ τὸ εἴπῃ ὅσον καθαρώτερος εἶναι — εἶναι δὲ ἴδιον τῶν τελείων τὸ νὰ μὴ ὑπερυψώνουν τοὺς ἑαυτούς των, ἐπειδὴ ὁπωσδήποτε θὰ γίνουν ὑπόδικοι διὰ τὴν ἀλαζονείαν τοῦ φαρισαίου ποὺ κατέκρινε τὸν τελώνην δικαιώνων τὸν ἑαυτόν του — ἂς ζητῇ τὸν ἰατρὸν μαζί μου καὶ ἂς μὴ κρίνῃ παράκαιρα, ἕως ὅτου ἔλθῃ ὁ Κύριος ποὺ θ' ἀποκαλύψῃ τὰ κρυπτὰ τοῦ σκότους καὶ θὰ φανερώσῃ τὰς βουλὰς τῶν καρδιῶν [10]. Ἂς ἐνθυ-

φανερώσει τὰς βουλὰς τῶν καρδιῶν. Μεμνήσθω δὲ καὶ τοῦ εἰπόντος· «Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε» καὶ· «Μὴ καταδικάζετε, ἵνα μὴ καταδικασθῆτε». Ὅλως δέ, ἀδελφοί, εἰ μὲν ἰάσιμα ἡμῶν ἐστι τὰ πλημμελήματα, τί οὐχὶ πείθεται τῷ διδασκάλῳ τῶν Ἐκκλησιῶν λέγοντι· «Ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον»; Εἰ δὲ ἀνίατος ἡμῶν ἡ ἀνομία, τί οὐχὶ εἰς πρόσωπον ἡμῖν ἀντικαθίσταται καὶ δημοσιεύσας ἡμῶν τὰ ἀνομήματα ἐλευθεροῖ τῆς παρ' ἡμῶν βλάβης τὰς Ἐκκλησίας; Μὴ τοίνυν ἀνάσχησθε τῆς ὑπ' ὀδόντα λαλουμένης καθ' ἡμῶν λοιδορίας. Τοῦτο γὰρ κἂν παιδίσκη μία τῶν ἐκ μύλωνος ποιήσειε κἂν τῶν ἀγοραίων τις μεθ' ὑπερβολῆς ἐπιδείξαιτο, οἷς ἡ γλῶσσα πρὸς πᾶσαν ἠκόνηται λοιδορίαν. Ἀλλ' εἰσὶν ἐπίσκοποι· κληθῶσιν εἰς ἀκρόασιν. Ἔστι κλῆρος κατὰ πᾶσαν τοῦ Θεοῦ παροικίαν· συναχθήτωσαν οἱ δοκιμώτατοι. Λεγέτω μετὰ παρρησίας ὁ βουλόμενος, ἵνα ἔλεγχος ᾖ τὸ γινόμενον καὶ μὴ λοιδορία. Ὑπ' ὄψιν ἀγέτω τὰ λανθάνοντά μου τῆς πονηρίας· μισείτω δὲ μηδὲ τότε, ἀλλὰ νουθετείτω ὡς ἀδελφόν. Ἐλεεῖσθαί που δικαιότεροί ἐσμεν παρὰ τῶν μακαρίων ἀνδρῶν καὶ ἀναμαρτήτων οἱ ἁμαρτωλοὶ ἡμεῖς μᾶλλον ἢ χαλεπαίνεσθαι.

5. Εἰ δὲ περὶ πίστιν τὸ σφάλμα, δειχθήτω ἡμῖν ἡ συγγραφή· πάλιν ἴσον καὶ κοινὸν κριτήριον καθισάτω· ἀναγνωσθήτω τὸ ἔγκλημα· δοκιμασθήτω εἰ μὴ ἀγνοίᾳ τοῦ ἐγκαλοῦντος ἔγκλημα εἶναι δοκεῖ μᾶλλον ἢ τῇ ἑαυτοῦ φύσει κατεγνωσμένον ἐστὶ τὸ γράμμα. Πολλὰ γὰρ τῶν καλῶν οὐ δοκεῖ εἶναι τοιαῦτα τοῖς τὸ κριτήριον τῆς διανοίας οὐκ ἀκριβὲς κεκτημένοις, ἐπεὶ καὶ τὰ ἰσοβαρῆ τῶν ὄγκων οὐκ ἴσα εἶναι δοκεῖ, ὅταν μὴ ἰσορρόπως ἔχωσι πρὸς ἀλλήλας αἱ πλάστιγγες. Καὶ τὸ μέλι ἤδη πικρόν τισι κατεφάνη τὴν γευστικὴν αἴσθησιν ὑπὸ τοῦ πάθους διεφθαρμένοις. Ἀλλὰ καὶ

11. Ματθ. 7,1.

μῆται δὲ καὶ τὸν εἰπόντα, «μὴ κρίνετε, ἵνα μὴ κριθῆτε»[11] καὶ, «μὴ καταδικάζετε, ἵνα μὴ καταδικασθῆτε»[12]. Γενικῶς δέ, ἀδελφοί, ἐὰν μὲν τὰ πλημμελήματα ἡμῶν εἶναι θεραπεύσιμα, διατί δὲν πείθεται εἰς τὸν διδάσκαλον τῶν Ἐκκλησιῶν λέγοντα, «ἔλεγξον ἐπιτίμησον, παρακάλεσον»[13]; Ἐὰν δὲ εἶναι ἀνίατος ἡ ἀνομία μας, διατί δὲν στέκεται ἐνώπιόν μας καὶ δὲν ἀπαλλάσσει τὰς Ἐκκλησίας ἀπὸ τὴν ἐκ μέρους μας βλάβην κηρύσσων δημοσίᾳ τὰ ὀνόματά μας;

Μὴ ἀνέχεσθε λοιπὸν τὴν ἐναντίον μας ὕβριν ποὺ προφέρεται μέσα ἀπὸ τὰ δόντια. Διότι αὐτὸ ἠμπορεῖ νὰ τὸ κάμῃ καὶ μία ὑπηρέτρια εἰς τὸν μύλον, ἠμπορεῖ νὰ τὸ ἐπιδείξῃ ἐντυπωσιακὰ καὶ κάποιος ἀγοραῖος, ἄνθρωποι τῶν ὁποίων ἡ γλῶσσα εἶναι τροχισμένη διὰ κάθε λοιδορίαν. Ἀλλ' ὑπάρχουν ἐπίσκοποι· ἂς προσκληθοῦν εἰς ἀκρόασιν. Ὑπάρχει κλῆρος εἰς κάθε παροικίαν τοῦ Θεοῦ· ἂς συναχθοῦν οἱ δοκιμώτατοι. Ἂς λέγῃ μὲ παρρησίαν ὁ ἐπιθυμῶν, διὰ νὰ εἶναι ἔλεγχος καὶ ὄχι λοιδορία ἡ πρᾶξις. Ἂς ἔλθουν εἰς τὸ φῶς τὰ μυστικὰ τῆς πονηρίας μου· ἂς μὴ μὲ μισῇ δὲ οὔτε τότε, ἀλλὰ νὰ μὲ νουθετῇ ὡς ἀδελφόν. Ἡμεῖς οἱ ἁμαρτωλοὶ ἀξίζομεν μᾶλλον νὰ ἐλεούμεθα ἀπὸ τοὺς εὐτυχεῖς καὶ ἀναμαρτήτους ἄνδρας παρὰ νὰ γινώμεθα ἀντικείμενα ὀργῆς.

5. Ἐὰν δὲ τὸ σφάλμα ἀνάγεται εἰς τὴν πίστιν, ἂς μᾶς δειχθῇ ἡ συγγραφή· πάλιν δὲ ἂς συγκροτηθῇ δίκαιον καὶ ἀμερόληπτον δικαστήριον. Ἂς ἀναγνωσθῇ ἡ κατηγορία· ἂς ἐξετασθῇ ἐὰν δὲν ὀφείλεται εἰς ἄγνοιαν τοῦ κατηγορουμένου ἡ κατηγορία μᾶλλον καὶ ἐὰν τὸ κείμενον καταδικάζεται λόγῳ τῆς φύσεώς του. Πολλὰ ἀπὸ τὰ καλὰ πράγματα δὲν θεωροῦνται καλὰ ἀπὸ ἐκείνους ποὺ ἔχουν ἐπισφαλὲς τὸ κριτήριον τῆς διανοίας, καθ' ὅσον ἀκόμη καὶ οἱ ἰσοβαρεῖς ὄγκοι δὲν φαίνονται ἴσοι, ὅταν αἱ πλάστιγγες τῆς ζυγαριᾶς δὲν εἶναι ἰσορροπημέναι. Καὶ τὸ μέλι φαίνεται πικρὸν εἰς μερικοὺς ποὺ ἔχουν χαλασμένην ἀπὸ

12. Βλ. Λουκ. 6,37.
13. Β' Τιμ. 4,2.

ὀφθαλμὸς οὐχ ὑγιῶς ἔχων πολλὰ μὲν τῶν ὄντων οὐκ εἶδε, πολλὰ δὲ τῶν οὐκ ὄντων ὑπέθετο. Καὶ τοίνυν καὶ ἐπὶ τῆς τῶν λόγων δυνάμεως τὸ ἴσον ὁρῶ πολλάκις γινόμενον, ὅταν τῆς τῶν συγγραφαμένων ἕξεως ὁ κριτὴς ἀπολιμπάνηται. Δεῖ γὰρ σχεδὸν ἐκ τῆς αὐτῆς παρασκευῆς ὁρμᾶσθαι τόν τε κρίνοντα τοὺς λόγους καὶ τὸν συγγράφοντα. Ἢ τὰ μὲν γεωργίας ἔργα ἀδύνατός ἐστι κρίνειν ὅ γε μὴ γεωργικός, καὶ τὸ ἐκμελές τε καὶ ἐμμελὲς τῶν κατὰ μουσικὴν ῥυθμῶν οὐ διαγνώσεται ὁ μὴ τὴν ἐπιστήμην ἔχων τῆς μουσικῆς, λόγων δὲ κριτὴς εὐθὺς ὁ βουλόμενος ἔσται, ὁ μήτε διδάσκαλον ἔχων ἑαυτοῦ δεικνύναι οὔτε χρόνον ἐν ᾧ μεμάθηκεν οὔτε ὅλως ἐπαΐων τι μικρὸν ἢ μεῖζον τῶν περὶ λόγους. Ἐγὼ δὲ ὁρῶ ὅτι καὶ ἐν τοῖς λογίοις τοῦ Πνεύματος οὐ παντὶ ἐξῆν ἐπιβάλλειν τῇ ἐξετάσει τῶν εἰρημένων, ἀλλὰ τῷ ἔχοντι τὸ Πνεῦμα τῆς διακρίσεως, καθὼς ἐδίδαξεν ἡμᾶς ὁ ἀπόστολος ἐν ταῖς διαιρέσεσι τῶν χαρισμάτων εἰπών· «ὯΙ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα, ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ Πνεύματι, ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ προφητεία, ἄλλῳ διάκρισις πνευμάτων». Ὥστε, εἰ μὲν πνευματικὰ τὰ ἡμέτερα, δεικνύτω ἑαυτὸν ἔχοντα τὸ χάρισμα τῆς διακρίσεως τῶν πνευματικῶν ὁ τὰ ἡμέτερα κρίνειν βουλόμενος. Εἰ δέ, ὡς αὐτὸς λοιδορεῖ, ἀπὸ τῆς σοφίας ἐστὶ τοῦ κόσμου τούτου, δειξάτω ἑαυτὸν ἔμπειρον τῆς σοφίας τοῦ κόσμου, καὶ τότε αὐτῷ τὰς ψήφους τῆς κρίσεως ἐπιτρέψομεν. Καὶ μηδεὶς οἰέσθω ταῦτα πρὸς ἀποφυγὴν τῶν ἐλέγχων ἐπινοεῖσθαι παρ' ἡμῶν. Ὑμῖν γὰρ ἐπιτρέπω, ποθεινότατοι ἀδελφοί, ἐφ' ἑαυτῶν ποιήσασθαι τῶν ἐγκαλουμένων ἡμῖν τὴν ἐξέτασιν. Οὕτως ἐστὲ βραδεῖς τὴν διάνοιαν, ὥστε πάντων δεῖσθε τῶν συνηγόρων πρὸς τὴν τοῦ ἀληθοῦς εὕρεσιν; Ἀλλ' ἐὰν μὲν

---

14. Α' Κορ. 12,8 - 10.

τὴν ἀσθένειαν τὴν γευστικὴν αἴσθησιν. Ἀλλὰ καὶ ὀφθαλμὸς ποὺ δὲν εἶναι ὑγιὴς πολλὰ μὲν ἐκ τῶν ὄντων δὲν βλέπει, πολλὰ δὲ ἐκ τῶν μὴ ὄντων ὑποθέτει. Οὕτω λοιπὸν καὶ ὡς πρὸς τὴν δύναμιν τῶν λόγων βλέπω νὰ γίνεται πολλάκις κάτι παρόμοιον, ὅταν ὁ κριτὴς εἶναι κατώτερος τῆς ἐπιτηδειότητος τῶν συγγραφέων. Πρέπει ἀσφαλῶς νὰ ἐκκινοῦν ἀπὸ τὴν ἰδίαν προετοιμασίαν καὶ ὁ κρίνων καὶ ὁ συγγράφων τοὺς λόγους. Ἢ μήπως τὰ μὲν γεωργικὰ ἔργα εἶναι ἀδύνατον νὰ κρίνῃ ὁ μὴ γεωργικός, καὶ τὸ δυσαρμονικὸν ἢ ἁρμονικὸν τῶν μουσικῶν ρυθμῶν δὲν ἀντιλαμβάνεται ἐκεῖνος ποὺ δὲν κατέχει τὴν ἐπιστήμην τῆς μουσικῆς, τῶν λόγων δὲ κριτὴς θὰ εἶναι ὁ κάθε βουλόμενος, ὁ ὁποῖος οὔτε διδάσκαλόν του ἠμπορεῖ νὰ δείξῃ οὔτε χρόνον κατὰ τὸν ὁποῖον ἐμαθήτευσε οὔτε γενικῶς καταλαβαίνει κάτι, μικρὸν ἢ μεγάλον, ἀπὸ τὴν τέχνην τῶν λόγων;

Ἐγὼ δὲ βλέπω ὅτι καὶ εἰς τὴν περίπτωσιν τῶν λογίων τοῦ Πνεύματος δὲν ἦτο δυνατὸν εἰς τὸν καθένα νὰ ἐπιδοθῇ εἰς τὴν ἐξέτασιν τῶν λεχθέντων, ἀλλὰ μόνον εἰς τὸν ἔχοντα τὸ πνεῦμα τῆς διακρίσεως, ὅπως μᾶς ἐδίδαξεν ὁ ἀπόστολος ὁμιλῶν περὶ τῆς διαιρέσεως τῶν χαρισμάτων· «εἰς τὸν ἕνα μὲν δίδεται ὑπὸ τοῦ Πνεύματος λόγος σοφίας, εἰς τὸν ἄλλον δὲ λόγος γνώσεως εἰς τὸ αὐτὸ Πνεῦμα, εἰς ἄλλον δὲ πίστις εἰς τὸ ἴδιον Πνεῦμα, εἰς ἄλλον δὲ ἐνέργειαι θαυμάτων, εἰς ἄλλον προφητεία, εἰς ἄλλον διάκρισις πνευμάτων» [14]. Ὥστε, ἐὰν μὲν τὰ ἰδικά μας εἶναι πνευματικά, αὐτὸς ποὺ θέλει νὰ τὰ κρίνῃ ἂς δείξῃ ὅτι ἔχει ὁ ἴδιος τὸ χάρισμα τῆς διακρίσεως τῶν πνευματικῶν. Ἐὰν δέ, ὅπως αὐτὸς κατηγορεῖ, αὐτὰ εἶναι ἀπὸ τὴν σοφίαν τοῦ κόσμου τούτου, ἂς δείξῃ τὸν ἑαυτόν του ἔμπειρον τῆς σοφίας τοῦ κόσμου, καὶ ἔπειτα θὰ τοῦ ἐπιτρέψωμεν τὰς ψήφους τῆς κρίσεως. Κανεὶς ἂς μὴ εἴπῃ ὅτι αὐτὰ ἐπινοοῦνται ἀπὸ ἡμᾶς πρὸς ἀποφυγὴν τῶν ἐλέγχων. Σᾶς ἐπιτρέπω, ἀγαπητότατοι ἀδελφοί, νὰ ἐξετάσετε μόνοι σας τὰς εἰς βάρος μας κατηγορίας. Τόσον βραδεῖς εἰς τὴν διάνοιαν εἶσθε, ὥστε νὰ χρειάζεσθε ὅλους τοὺς συνηγόρους διὰ τὴν εὕρεσιν τῆς ἀληθείας; Ἀλλ' ἐὰν μὲν εἰς σᾶς τοὺς ἰδίους μόνους σας ὡς μὴ ἐπιδεχόμενα ἀν-

ἀναντίρρητα ὑμῖν φανῇ ἐφ' ἑαυτῶν, πείσατε τοὺς ἐρεσχελοῦντας ἀφέσθαι πάσης φιλονικίας. Ἐὰν δέ τι δοκῇ καὶ ἀμφίβολον ἔχειν, ἐρωτήσατε ἡμᾶς διά τινων μεσιτῶν δυναμένων πιστῶς διακονήσασθαι τὰ ἡμέτερα, ἢ καὶ ἐγγράφους, εἰ δοκεῖ, ἀπαιτήσατε ἡμᾶς τὰς ἀποδείξεις. Πάντως δὲ παντὶ τρόπῳ σπουδάσατε μὴ ἀνεξέταστα ταῦτα καταλιπεῖν.

6. Πίστεως δὲ τῆς ἡμετέρας τίς ἂν καὶ γένοιτο ἐναργεστέρα ἀπόδειξις ἢ ὅτι τραφέντες ἡμεῖς ὑπὸ τήθῃ μακαρίᾳ γυναικὶ παρ' ὑμῶν ὡρμημένῃ; Μακρίναν λέγω τὴν περιβόητον, παρ' ἧς ἐδιδάχθημεν τὰ τοῦ μακαριωτάτου Γρηγορίου ῥήματα ὅσα πρὸς αὐτὴν ἀκολουθίᾳ μνήμης διασωθέντα αὐτή τε ἐφύλασσε καὶ ἡμᾶς ἔτι νηπίους ὄντας ἔπλαττε καὶ ἐμόρφου τοῖς τῆς εὐσεβείας δόγμασιν. Ἐπεὶ δὲ καὶ αὐτοὶ τὴν τοῦ φρονεῖν δύναμιν ἀπελάβομεν, τοῦ λόγου ἡμῖν διὰ τῆς ἡλικίας συμπληρωθέντος, πολλὴν ἐπελθόντες γῆν τε καὶ θάλασσαν, εἴ τινας εὕρομεν τῷ παραδοθέντι κανόνι τῆς εὐσεβείας στοιχοῦντας, τούτους καὶ πατέρας ἐπεγραψάμεθα καὶ ὁδηγοὺς τῶν ψυχῶν ἡμῶν εἰς τὴν πρὸς Θεὸν πορείαν ἐποιησάμεθα. Καὶ μέχρι γε τῆς ὥρας ταύτης, χάριτι τοῦ καλέσαντος ἡμᾶς κλήσει ἁγίᾳ εἰς τὴν ἑαυτοῦ ἐπίγνωσιν, οὐδένα οἴδαμεν λόγον ἐχθρὸν τῆς ὑγιαινούσης διδασκαλίας ταῖς καρδίαις παραδεξάμενοι οὐδὲ μολυνθέντες ποτὲ τὰς ψυχὰς τῇ δυσωνύμῳ τῶν ἀρειανῶν βλασφημίᾳ. Ἀλλ' εἴ τινάς ποτε ὡρμημένους ἐξ ἐκείνου τοῦ διδασκάλου εἰς κοινωνίαν προσελαβόμεθα, ἐπικρυπτομένους τὴν ἐν τῷ βάθει νόσον καὶ ῥήματα λαλοῦντας εὐσεβῆ ἢ τοῖς γε παρ' ἡμῶν λεγομένοις μὴ ἀντιτείνοντας, οὕτω προσηκάμεθα οὔτε πᾶσαν ἑαυτοῖς τὴν κατ' αὐτοὺς κρίσιν ἐπιτρέψαντες, ἀλλὰ ταῖς προεξενεχθείσαις περὶ αὐτῶν ψήφοις παρὰ τῶν πατέρων ἡμῶν ἀκολουθήσαντες. Ἐγὼ γὰρ δεξάμενος γράμματα τοῦ μακαριωτάτου πατρὸς Ἀθανασίου τοῦ τῆς Ἀλεξανδρείας ἐπισκόπου, ἃ καὶ ἔχω

τίρρησιν, πείσατε τοὺς φλυαροῦντας νὰ ἀφήσουν κάθε φιλονικίαν. Ἐὰν δὲ κάτι φανῇ ὅτι περικλείει ἀμφίβολον ἔννοιαν, ἐρωτήσατε ἡμᾶς μὲ κάποιους μεσίτας δυναμένους νὰ ὑπηρετήσουν πιστῶς τὰς ὑποθέσεις μας, ἢ ἂν ἐπιθυμῆτε, ζητήσατέ μας ἐγγράφους ἀποδείξεις. Πάντως δὲ φροντίσατε μὲ κάθε τρόπον νὰ μὴ ἐγκαταλείψετε ἀνεξέταστα τὰ ζητήματα.

6. Τῆς δὲ ἰδικῆς μας πίστεως ποία ἀπόδειξις θὰ ἦτο σαφεστέρα ἀπὸ τὸ ὅτι ἡμεῖς ἀνετράφημεν ἀπὸ τὴν μάμμην, μακαρίαν γυναῖκα ποὺ προήρχετο ἀπὸ τὸ μέρος σας; Ἐννοῶ τὴν περιβόητον Μακρίναν, ἀπὸ τὴν ὁποίαν ἐδιδάχθημεν τὰ λόγια τοῦ μακαριωτάτου Γρηγορίου [15], τὰ ὁποῖα διασωθέντα μέχρις αὐτῆς μὲ τὴν ἀδιάσπαστον μνήμην ἐφύλασσεν ἡ ἰδία, καὶ μὲ τὰ ὁποῖα ἔπλαττε καὶ διεμόρφωνεν ἡμᾶς εἰς τὰ δόγματα τῆς εὐσεβείας. Ὅταν δὲ ἀπεκτήσαμεν καὶ ἡμεῖς τὴν δύναμιν τῆς διανοήσεως, καθὼς μὲ τὴν αὔξησιν τῆς ἡλικίας ἀνεπτύχθη μέσα μας ἡ λογική, ταξιδεύσαντες εἰς πολλὴν γῆν καὶ θάλασσαν, ὅσους ηὕραμεν ν' ἀκολουθοῦν τὸν παραδοθέντα κανόνα τῆς εὐσεβείας, τούτους ἐξελέξαμεν ὡς πατέρας καὶ κατεστήσαμεν ὁδηγοὺς τῶν ψυχῶν μας εἰς τὴν πορείαν πρὸς τὸν Θεόν.

Καὶ ἕως αὐτὴν τὴν ὥραν, διὰ τῆς χάριτος τοῦ καλέσαντος ἡμᾶς μὲ ἁγίαν κλῆσιν εἰς τὴν ἐπίγνωσιν αὐτοῦ, δὲν ἀντελήφθημεν νὰ παραδεχθῶμεν εἰς τὰς καρδίας κανένα λόγον ἀντίθετον πρὸς τὴν ὑγιῆ διδασκαλίαν οὔτε νὰ ἐμολύνθημεν ποτὲ εἰς τὰς ψυχὰς ἀπὸ τὴν δυσώνυμον βλασφημίαν τῶν ἀρειανῶν. Ἀλλὰ ἐὰν ποτὲ ἐδέχθημεν εἰς κοινωνίαν ἀνθρώπους ποὺ προήρχοντο ἀπὸ ἐκεῖνον τὸν διδάσκαλον, κρύπτοντας τὴν εἰς τὰ βάθη των νόσον καὶ προφέροντας εὐσεβεῖς λόγους, ἢ τοὐλάχιστον μὴ ἀντιτιθεμένους εἰς τὰ λεγόμενα ἐκ μέρους ἡμῶν, ἐπράξαμεν οὕτω διότι δὲν ἀνεθέσαμεν τὴν περὶ αὐτῶν κρίσιν ἀποκλειστικῶς εἰς τοὺς ἑαυτούς μας, ἀλλ' ἠκολουθήσαμεν τὰς ἀποφάσεις ποὺ ἐλήφθησαν περὶ αὐτῶν ὑπὸ τῶν πατέρων. Ἐγὼ δηλαδὴ ἔλαβα γράμματα τοῦ μακαριωτάτου πατρὸς Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας, τὰ ὁποῖα ἔχω εἰς τὰ χέρια μου

15. Γρηγορίου Νεοκαισαρείας τοῦ θαυματουργοῦ.

ἐν ταῖς χερσὶ καὶ προβάλλομαι τοῖς ἐπιζητοῦσιν, ἐν οἷς φανερῶς διηγόρευσεν, εἴ τις ἐκ τῆς τῶν ἀρειανῶν αἱρέσεως βούλοιτο μετατίθεσθαι ὁμολογῶν τὴν ἐν Νικαίᾳ πίστιν, τοῦτον προσίεσθαι μηδὲν διακρινομένους ἐπ' αὐτῷ, καὶ τούτου τοῦ δόγματος κοινωνούς μοι παρεχομένου τούς τε τῆς Μακεδονίας καὶ τῆς Ἀχαΐας ἐπισκόπους ἅπαντας, νομίζων ἀναγκαῖον εἶναι ἀκολουθεῖν ἀνδρὶ τοσούτῳ διὰ τὸ ἀξιόπιστον τῶν νομοθετησάντων, ὁμοῦ δὲ καὶ ἐπιθυμῶν τὸν τῆς εἰρηνοποιίας μισθὸν ὑποδέξασθαι, τοὺς ταύτην ὁμολογοῦντας τὴν πίστιν ἐγκατέτασσον τῇ μερίδι τῶν κοινωνικῶν.

7. Δικαιότερον δὲ τὰ καθ' ἡμᾶς κρίνεσθαι μὴ ἐξ ἑνὸς ἢ δευτέρου τῶν μὴ ὀρθοποδούντων πρὸς τὴν ἀλήθειαν, ἀλλ' ἐκ τοῦ πλήθους τῶν κατὰ τὴν οἰκουμένην ἐπισκόπων συνημμένων ἡμῖν χάριτι τοῦ Κυρίου. Ἐξετασθῶσι δὲ Πισίδαι, Λυκάονες, Ἴσαυροι, Φρύγες ἑκάτεροι, Ἀρμενίων ὅσον ὑμῖν ἐστὶ πρόσοικον, Μακεδόνες, Ἀχαιοί, Ἰλλυριοί, Γάλλοι, Σπάνοι, Ἰταλία σύμπασα, Σικελιῶται, Ἄφροι, Αἰγύπτου τὸ ὑγιαῖνον, τῆς Συρίας ὁπόσον λείψανον· οἵτινες πέμπουσί τε πρὸς ἡμᾶς γράμματα καὶ πάλιν δέχονται παρ' ἡμῶν. Ὧν ἐστιν ὑμῖν ἔκ τε τῶν ἐκεῖθεν φερομένων γραμμάτων μαθεῖν καὶ ἐκ τῶν ἐντεῦθεν πάλιν ἀντιπεμπομένων αὐτοῖς διδαχθῆναι ὅτι σύμψυχοι πάντες ἐσμέν, τὸ ἓν φρονοῦντες. Ὥστε ὁ τὴν πρὸς ἡμᾶς κοινωνίαν ἀποδιδράσκων μὴ λανθανέτω ὑμῶν τὴν ἀκρίβειαν πάσης ἑαυτὸν τῆς Ἐκκλησίας ἀπορρηγνύς. Περιβλέψασθε, ἀδελφοί, πρὸς τίνας ἐστὶν ὑμῖν ἡ κοινωνία· ἐπειδὰν παρ' ἡμῶν μὴ δεχθῆτε, τίς ὑμᾶς λοιπὸν ἐπιγνώσεται; Μὴ ἀγάγητε ἡμᾶς εἰς ἀνάγκην σκυθρωπόν τι βουλεύσασθαι περὶ τῆς φιλτάτης ἡμῖν Ἐκκλησίας. Μὴ ποιήσητέ με, ἃ νῦν ἐν τῇ καρδίᾳ κρύπτω τῇ ἐμαυτοῦ κατ' ἐμαυτὸν στενάζων καὶ ὀδυρόμενος τοῦ

---

16. Τοιοῦτοι ἦσαν π.χ. ἀπὸ τοὺς μοναρχιανοὺς ὁ Ἀτάρβιος Νεοκαι-

καὶ ἐπιδεικνύω εἰς τοὺς ζητοῦντας, μὲ τὰ ὁποῖα σαφῶς καθώρισεν ὅτι, ἐὰν κανεὶς θέλῃ νὰ μετατεθῇ ἀπὸ τὴν αἵρεσιν τῶν ἀρειανῶν ὁμολογῶν τὴν πίστιν τῆς Νικαίας, πρέπει νὰ τὸν δεχώμεθα χωρὶς διάκρισιν περὶ τῆς περιπτώσεώς του, μοῦ ἔφερε δὲ ὡς κοινωνοὺς αὐτῆς τῆς ἀποφάσεως ὅλους τοὺς ἐπισκόπους Μακεδονίας καὶ Ἀχαΐας. Νομίζων δὲ ὅτι εἶναι ἀναγκαῖον ν' ἀκολουθῶ τοιοῦτον ἄνδρα, λόγῳ τῆς ἀξιοπιστίας τῶν λαβόντων τὴν ἀπόφασιν, μαζὶ δὲ ἐπιθυμῶν νὰ κερδίσω τὸν μισθὸν τῆς εἰρηνοποιίας, τοὺς ὁμολογοῦντας αὐτὴν τὴν πίστιν κατέγραφον εἰς τὴν μερίδα τῶν κοινωνικῶν.

7. Δικαιότερον δὲ εἶναι νὰ κρίνωνται αἱ ὑποθέσεις μας ὄχι ἀπὸ ἕνα ἢ δύο ἀνθρώπους [16] ποὺ δὲν ἀκολουθοῦν τὸν ὀρθὸν δρόμον πρὸς τὴν ἀλήθειαν, ἀλλ' ἀπὸ τὸ πλῆθος τῶν ἐπισκόπων εἰς ὅλην τὴν οἰκουμένην ποὺ εἶναι μὲ τὴν χάριν τοῦ Θεοῦ συνδεδεμένοι μαζί μας. Ἂς ἐξετασθοῦν οἱ Πισίδαι, Λυκάονες, Ἴσαυροι, Φρύγες καὶ τῶν δύο ἐπαρχιῶν, Ἀρμένιοι τῆς γειτονικῆς ἐπαρχίας, Μακεδόνες, Ἀχαιοί, Ἰλλυριοί, Γάλλοι, Ἱσπανοί, Ἰταλοὶ γενικῶς, Σικελιῶται, Ἀφρικανοί, Αἰγύπτιοι οἱ ὑγιεῖς, Σῦροι ὅσοι ἀπέμειναν· οἱ ὁποῖοι στέλλουν πρὸς ἡμᾶς γράμματα καὶ ἐπίσης δέχονται ἀπὸ ἡμᾶς. Εἶναι δυνατὸν καὶ ἀπὸ τὰ ἐκεῖθεν ἐρχόμενα γράμματα νὰ μάθετε καὶ ἀπὸ τὰ ἐντεῦθεν πάλιν στελλόμενα νὰ διδαχθῆτε ὅτι ὅλοι εἴμεθα σύμψυχοι, ἔχοντες ἑνιαῖον φρόνημα. Ὥστε δὲν πρέπει νὰ διαφεύγῃ τὴν ἀκρίβειάν σας ὅτι, ὅποιος ἀπορρίπτει τὴν κοινωνίαν μὲ ἡμᾶς, ἀποκόπτει τὸν ἑαυτόν του ἀπὸ ὅλην τὴν Ἐκκλησίαν. Κυττάξετε γύρω, ἀδελφοί, μὲ ποίους ἔχετε σεῖς κοινωνίαν· ἐὰν δὲν γίνετε δεκτοὶ ἀπὸ ἡμᾶς, ποῖος θὰ σᾶς ἀναγνωρίσῃ; Μὴ μᾶς φέρετε εἰς τὴν ἀνάγκην ν' ἀποφασίσωμεν κάτι ὀδυνηρὸν διὰ τὴν φιλτάτην εἰς ἡμᾶς Ἐκκλησίαν σας. Μὴ μὲ κάμετε, αὐτὰ ποὺ κρύπτω τώρα εἰς τὴν καρδίαν μου, στενάζων κατ' ἰδίαν καὶ ὀδυρόμενος διὰ τὴν κακότητα τῶν καιρῶν μας, ὅτι δηλαδὴ

σαρείας, ἀπὸ τοὺς αὐστηροὺς ὀρθοδόξους ὁ Παυλῖνος Ἀντιοχείας, ἀπὸ τοὺς ἀρειανίζοντας ὁ Εὐστάθιος Σεβαστείας.

καιροῦ τὴν κακότητα, ὅτι αἰτίας οὐκ οὔσης αἱ μέγισται τῶν Ἐκκλησιῶν καὶ ἐκ παλαιοῦ πρὸς ἀλλήλας ἀδελφῶν τάξιν ἐπέχουσαι αὗται νῦν διεστήκασι· μή με ποιήσητε ταῦτα πρὸς πάντας ὁμοῦ τοὺς κοινωνικοὺς ἀποδύρασθαι. Μὴ ἐκβιάσησθέ με ἀφεῖναι ῥήματα ἃ μέχρι τοῦ νῦν τῷ ἐκ τοῦ λογισμοῦ χαλινῷ κεκρυμμένα ἔχω παρ' ἐμαυτῷ. Βέλτιόν ἐστιν ἡμᾶς ἐκποδὼν γενέσθαι, τὰς δὲ Ἐκκλησίας ὁμονοεῖν πρὸς ἀλλήλας, ἢ διὰ τὰς μειρακιώδεις ἡμῶν μικροψυχίας κακὸν τοσοῦτον ἐπάγεσθαι τοῖς λαοῖς τοῦ Θεοῦ. Ἐρωτήσατε τοὺς πατέρας ὑμῶν καὶ ἀναγγελοῦσιν ὑμῖν ὅτι, εἰ καὶ τῇ θέσει τοῦ τόπου διῃρῆσθαι ἐδόκουν αἱ παροικίαι, ἀλλὰ τῷ γε φρονήματι ἓν ἦσαν καὶ μιᾷ γνώμῃ ἐκυβερνῶντο. Συνεχεῖς μὲν τοῦ λαοῦ αἱ ἐπιμιξίαι, συνεχεῖς δὲ τοῦ κλήρου ἐπιδημίαι, αὐτοῖς δὲ τοῖς ποιμέσι τοσοῦτον περιῆν τῆς πρὸς ἀλλήλους ἀγάπης, ὥστε ἑκάτερον αὐτῶν διδασκάλῳ τῷ ἑτέρῳ καὶ ἡγεμόνι χρῆσθαι εἰς τὰ πρὸς Κύριον.

215

210. ΤΟΙΣ ΚΑΤΑ ΝΕΟΚΑΙΣΑΡΕΙΑΝ ΛΟΓΙΩΤΑΤΟΙΣ

1. Ὅλως μὲν οὐδὲν ἐδεόμην τὴν ἐμαυτοῦ γνώμην δημοσιεύειν ὑμῖν οὐδὲ τὰς αἰτίας λέγειν δι' ἃς ἐγὼ νῦν ἐπὶ τῶν τόπων εἰμὶ τούτων. Καὶ γὰρ οὐδὲ ἄλλως τῶν φανητιώντων ἐγώ, οὐδὲ τὸ πρᾶγμα τοσούτων μαρτύρων ἄξιον. Ἀλλ' οἶμαι, οὐχ ἃ βουλόμεθα ποιοῦμεν, ἀλλ' ἐφ' ἃ προκαλοῦνται ἡμᾶς οἱ καθηγούμενοι, ἐπεὶ ἔμοιγε τὸ παντελῶς ἀγνοεῖσθαι πλέον ἐσπούδασται ἢ τοῖς φιλοδόξοις τὸ

---

17. Ἐννοεῖ τὰς Ἐκκλησίας Καισαρείας καὶ Νεοκαισαρείας, αἱ ὁποῖαι ἦσαν αἱ μεγαλύτεραι εἰς τὸν χῶρον τῆς ἀνατολικῆς Μ. Ἀσίας.

18. Ἡ ἐπιστολὴ λήγει ἀποτόμως, τοῦτο δὲ ὀφείλεται μᾶλλον εἰς τὸ ὅτι ἐξέπεσε τὸ τέλος παρὰ εἰς τὸ ὅτι ὁ Βασίλειος ἀπὸ ἀγανάκτησιν δὲν προσέθεσε τὴν συνήθη εὐχήν.

Ἐπιστολὴ 210. Ἐγράφη τὸ 375 κατὰ τὴν προσπάθειαν τοῦ Βασιλείου

χωρὶς καμμίαν αἰτίαν αἱ μέγισται τῶν Ἐκκλησιῶν [17], ποὺ ἀπὸ παλαιὰ ἦσαν ὡσὰν ἀδελφαί, τώρα εὑρίσκονται εἰς διάστασιν· μὴ μὲ κάμετε νὰ παραπονεθῶ δι' αὐτὰ πρὸς ὅλους μαζὶ τοὺς κοινωνικούς. Μὴ μὲ ἀναγκάσετε ν' ἀφήσω λόγια ποὺ ἕως τώρα ἔχω κρυμμένα μέσα μὲ τὸν χαλινὸν τοῦ λογισμοῦ. Εἶναι προτιμότερον νὰ ἐξαφανισθῶμεν, αἱ δὲ Ἐκκλησίαι νὰ ὁμονοοῦν μεταξύ των, παρὰ νὰ προκαλῆται τόσον μέγα κακὸν εἰς τοὺς λαοὺς τοῦ Θεοῦ ἐξ αἰτίας τῶν μειρακιωδῶν μικροψυχιῶν μας. Ἐρωτήσατε τοὺς πατέρας σας καὶ θὰ σᾶς πληροφορήσουν ὅτι αἱ δύο παροικίαι, ἂν καὶ ἐφαίνοντο διῃρημέναι κατὰ τὴν γεωγραφικὴν των θέσιν, ἀλλὰ κατὰ τὸ φρόνημα ἦσαν ἕνα καὶ ἐκυβερνῶντο μὲ μίαν γνώμην. Συνεχεῖς ἦσαν αἱ ἐπικοινωνίαι τοῦ λαοῦ, συνεχεῖς αἱ ἐπισκέψεις τοῦ κλήρου, μεταξὺ δὲ τῶν ἀρχιποιμένων ὑπῆρχε τόση ἀγάπη, ὥστε ὁ καθένας ἀπὸ αὐτοὺς ἐχρησιμοποιοῦσε τὸν ἄλλον ὡς διδάσκαλον εἰς τὰ θέματα ποὺ ἀνεφέροντο εἰς τὸν Κύριον [18].

215

ΕΠΙΣΤΟΛΗ 210
ΠΡΟΣ ΤΟΥΣ ΛΟΓΙΩΤΑΤΟΥΣ ΤΗΣ ΝΕΟΚΑΙΣΑΡΕΙΑΣ

1. Δὲν εἶχα κατ' ἀρχὴν καμμίαν ὑποχρέωσιν νὰ σᾶς γνωστοποιήσω τὴν σκέψιν μου οὔτε νὰ σᾶς ἐκθέσω τοὺς λόγους διὰ τοὺς ὁποίους εἶμαι τώρα εἰς τὴν περιοχὴν αὐτήν. Ἄλλωστε ἐγὼ δὲν εἶμαι ἀπὸ τοὺς ἐπιδεικτικοὺς τύπους καὶ τὸ θέμα αὐτὸ δὲν ἀξίζει τόσων πολλῶν μαρτύρων. Ἀλλὰ νομίζω ὅτι δὲν πράττομεν ἐκεῖνα ποὺ θέλομεν, ἀλλὰ ἐκεῖνα εἰς τὰ ὁποῖα μᾶς παρακινοῦν οἱ προϊστάμενοί σας [1], ἐπειδὴ ἐγὼ τοὐλάχιστον

νὰ διασπάσῃ τὸ φράγμα ποὺ εἶχε θέσει μεταξὺ αὐτοῦ καὶ τῶν Νεοκαισαρέων ὁ σαβελλιανίζων ἐπίσκοπος Ἀτάρβιος. Βλ. ἐπιστολὰς 204 καὶ 207 Β΄τ.

1. Θέλει νὰ εἴπῃ ὅτι ἐνεργεῖ ἔναντι τῶν Νεοκαισαρέων ὄχι ὅπως θέλει ὁ ἴδιος, μὲ ἀγάπην, ἀλλὰ ὅπως ὁ ἐπίσκοπός των Ἀτάρβιος τὸν ἀναγκάζει, μὲ ἀδιαφορίαν.

διαφαίνεσθαι. Ἐπεὶ δὲ πάντων, ὡς ἀκούω, τῶν κατὰ τὴν ὑμετέραν πόλιν τὰ ὦτα διατεθρύληται, καὶ εἰσί τινες λογοποιοί, δημιουργοὶ τοῦ ψεύδους πρὸς αὐτὸ τοῦτο μεμισθωμένοι, οἳ τὰ ἐμὰ ὑμῖν ἐξηγοῦνται, οὐκ ᾠήθην δεῖν περιιδεῖν ὑμᾶς γνώμῃ πονηρᾷ καὶ φωνῇ ῥυπώσῃ διδασκομένους, ἀλλ' αὐτὸς εἰπεῖν τὰ ἐμαυτοῦ ὅπως ἔχει. Ἐγὼ καὶ διὰ τὴν ἐκ παιδός μοι πρὸς τὸ χωρίον τοῦτο συνήθειαν (ἐνταῦθα γὰρ ἐτράφην παρὰ τῇ ἐμαυτοῦ τήθῃ), καὶ διὰ τὴν μετὰ ταῦτα ἐπὶ πλεῖστον διατριβήν, ὅτε φεύγων τοὺς πολιτικοὺς θορύβους, ἐπιτήδειον ἐμφιλοσοφῆσαι διὰ τὴν ἐκ τῆς ἐρημίας ἡσυχίαν τὸ χωρίον τοῦτο καταμαθών, πολλῶν ἐτῶν ἐφεξῆς ἐνδιέτριψα χρόνον, καὶ διὰ τὴν νῦν τῶν ἀδελφῶν ἐνοίκησιν βραχείας ἀναπνοῆς ἐκ τῶν κατεχουσῶν ἡμᾶς ἀσχολιῶν ἐπιτυχών ἄσμενος ἦλθον ἐπὶ τὴν ἐσχατιὰν ταύτην, οὐχ ὡς ἑτέροις ἐντεῦθεν παρέξων πράγματα, ἀλλ' ὡς αὐτὸς τὴν ἐμαυτοῦ θεραπεύσων ἐπιθυμίαν.

2. Τί οὖν χρὴ πρὸς ὀνείρους καταφεύγειν καὶ ὀνειροσκόπους μισθοῦσθαι καὶ ἐν ταῖς πανδήμοις ἑστιάσεσιν ἡμᾶς ποιεῖσθαι παροίνιον διήγημα; Ἐγὼ γάρ, εἰ καὶ παρ' ἄλλοις τισὶν ἦσαν αἱ διαβολαί, ὑμᾶς ἂν τῆς ἐμαυτοῦ γνώμης μάρτυρας παρεστησάμην. Καὶ νῦν ἀξιῶ αὐτῶν ἕκαστον τῶν παλαιῶν ἐκείνων ἀναμνησθῆναι, ὅτε ἐκάλει μὲν ἡμᾶς ἡ πόλις ἐπὶ τὴν τῶν νέων ἐπιμέλειαν, πρεσβεία δὲ παρῆν τῶν παρ' ὑμῖν ἀνδρῶν, οἱ ἐν τέλει· μετὰ δὲ ταῦτα ὅπως πανδημεὶ πάντες περιχυθέντες ἡμᾶς τί μὲν οὐχὶ διδόντες, τί δὲ οὐχ ὑπισχνούμενοι; Ὅμως κατασχεῖν ἡμᾶς οὐκ ἠδυνήθησαν. Πῶς οὖν ὁ τότε καλούμενος οὐχ ὑπακούων, νῦν ἐπεχείρουν ἄκλητος εἰσωθίζεσθαι; Πῶς δὲ ὁ τοὺς ἐπαινοῦντάς με καὶ θαυμάζοντας

2. Ὁ ἀδελφὸς τοῦ Βασιλείου Πέτρος, ἡ ἀδελφή του Μακρίνα καὶ αἱ ἄλλαι ἀδελφαί του διέμεναν εἰς τὸ κτῆμά των εἰς τὸν Πόντον, βορείως τῆς Νεοκαισαρείας, τὸ ὁποῖον εἶχαν μεταβάλει εἰς μοναχικὸν κέντρον.

φροντίζω νὰ ἀγνοοῦμαι περισσότερον ἀπὸ ὅσον φροντίζουν οἱ ματαιόδοξοι νὰ φαίνωνται. Ἐπειδὴ δέ, ὅπως ἀκούω, τὰ αὐτιὰ ὅλων τῶν κατοίκων τῆς πόλεώς σας ἔχουν ξεκουφαθῆ καὶ ὑπάρχουν μερικοὶ λογοποιοί, δημιουργοὶ τοῦ ψεύδους μισθωμένοι ἀκριβῶς δι' αὐτὸ τὸ ἔργον, οἱ ὁποῖοι ἑρμηνεύουν εἰς σᾶς τὰς σκέψεις μου, δὲν ἐνόμισα ὅτι πρέπει νὰ σᾶς ἀφήσω νὰ διδάσκεσθε ἀπὸ πονηρὸν νοῦν καὶ διεφθαρμένην φωνήν, ἀλλ' ἀπεφάσισα νὰ εἴπω ὁ ἴδιος ποῖαι εἶναι αἱ γνῶμαί μου.

Ἐγὼ ἦλθα εὐχαρίστως εἰς τὴν γωνίαν αὐτήν, μόλις ηὗρα σύντομον ἀναπνοὴν ἀπὸ τὰς ἀσχολίας ποὺ μᾶς κατέχουν. Ἦλθα δὲ εὐχαρίστως λόγῳ τοῦ συνδέσμου μου μὲ τὸν τόπον αὐτὸν ἀπὸ τὴν παιδικήν μου ἡλικίαν —διότι ἐδῶ ἀνετράφην ἀπὸ τὴν μάμμην μου—, λόγῳ τῆς μετέπειτα κατὰ τὸν περισσότερον χρόνον παραμονῆς μου, ὅταν, ἀποφεύγων τοὺς ἀστικοὺς θορύβους καὶ ἀντιληφθεὶς ὅτι ἡ τοποθεσία αὐτὴ μὲ τὴν ἡσυχίαν ἐκ τῆς ἐρημικότητος εἶναι κατάλληλος εἰς τὴν φιλόσοφον ἄσκησιν, παρέμεινα συνεχῶς ἐπὶ πολὺν χρόνον καὶ λόγῳ τῆς ἐδῶ διαμονῆς τῶν ἀδελφῶν μου [2]. Πρόθεσίς μου δὲ δὲν ἦτο νὰ δημιουργήσω ἀπὸ ἐδῶ προβλήματα εἰς ἄλλους, ἀλλὰ νὰ ἱκανοποιήσω τὴν ἐπιθυμίαν μου.

2. Ποία ἀνάγκη λοιπὸν ὑπάρχει νὰ καταφεύγουν εἰς ὄνειρα καὶ νὰ μισθώνουν ὀνειροσκόπους καὶ νὰ μᾶς κάμνουν ἀντικείμενον μυθιστορίας κατὰ τὴν κρασοκατάνυξιν εἰς τὰς δημοσίας συνεστιάσεις; Ἐγὼ μάλιστα, ἐὰν αἱ διαβολαὶ αὐταὶ προήρχοντο ἀπὸ ἄλλους, θὰ ἐπεκαλούμην σᾶς ὡς μάρτυρας περὶ τῶν γνωμῶν μου. Καὶ τώρα ἔχω τὴν ἀξίωσιν ὁ καθένας σας νὰ ἐνθυμηθῇ τὰ παλαιὰ ἐκεῖνα γεγονότα, ὅταν ἡ πόλις σας μᾶς ἐκαλοῦσε διὰ τὴν ἐκπαίδευσιν τῶν νέων καὶ ἦλθαν εἰς ἐμὲ ὡς πρέσβεις οἱ προύχοντες ἀπὸ τοὺς ἄνδρας σας· ἀργότερα πῶς ἐξεχύθησαν ὅλοι πρὸς ἡμᾶς; Καὶ τί δὲν μᾶς προσέφεραν, τί δὲν μᾶς ὑπέσχοντο; Ὅμως δὲν ἠδυνήθησαν νὰ μᾶς κερδίσουν.

Πῶς λοιπὸν ἐγὼ ποὺ δὲν ἤρχόμην τότε προσκαλούμενος, θὰ ἐπιχειροῦσα τώρα νὰ εἰσβάλω ἀπρόσκλητος; Πῶς δὲ ἐγὼ ποὺ ἀπέφευγα τοὺς ἐπαινοῦντας καὶ θαυμάζοντάς με ἐπρόκειτο

ἀποφεύγων, ἔμελλον νῦν διώκειν τοὺς διαβάλλοντας; Μὴ οἰηθῆτε, ὦ ἄριστοι· οὐχ οὕτως εὔωνα τὰ ἡμέτερα. Οὔτε γὰρ ἄν τις ἀκυβερνήτου πλοίου σωφρονῶν ἐπιβαίη οὔτε Ἐκκλησίᾳ παραβάλοι ἢ τὸν κλύδωνα καὶ τὴν ζάλην αὐτοὶ οἱ ἐπὶ τῶν οἰάκων καθεζόμενοι ἐμποιοῦσι. Πόθεν γὰρ γέγονε θορύβου πλήρης ἡ πόλις ὅτε οἱ μὲν ἔφευγον οὐδενὸς διώκοντος, οἱ δὲ ὑπεξῄεσαν οὐδενὸς ἐπιόντος, χρησμολόγοι δὲ καὶ ὀνειροσκόποι πάντες ἐμορμολύττοντο; Πόθεν ἄλλοθεν ταῦτα; Ἢ οὐχὶ καὶ παιδὶ γνώριμον ὅτι ἐκ τῶν ἡγουμένων τοῦ πλήθους; Ὧν τὰς αἰτίας τῆς ἔχθρας ἐμοὶ μὲν οὐκ εὐπρεπὲς λέγειν, ὑμῖν δὲ συνορᾶν καὶ πάνυ ῥᾴδιον. Ὅταν γὰρ ἡ μὲν πικρία καὶ ἡ διάστασις μηδεμίαν ἔχῃ ὑπερβολὴν εἰς χαλεπότητα, ἡ δὲ τῆς αἰτίας ἐξήγησις ἀνυπόστατος παντελῶς καὶ καταγέλαστος ᾖ, δῆλόν ἐστι τῆς ψυχῆς τὸ ἀρρώστημα ἀλλοτρίοις μὲν ἀγαθοῖς ἐπισυμβαῖνον, οἰκεῖον δὲ καὶ πρῶτον κακὸν ὑπάρχον τῷ κεκτημένῳ. Οἷς καὶ ἄλλο δή τι χαρίεν πρόσεστιν. Ἀμυσσόμενοι γὰρ ἐν τῷ βάθει καὶ ὀδυνώμενοι ἐκλαλῆσαι τὴν συμφορὰν ὑπὸ τῆς αἰσχύνης οὐκ ἐπιτρέπονται. Τοῦτο μὲν οὖν οὐκ ἐκ τῶν πρὸς ἡμᾶς μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ λοιποῦ βίου γνώριμόν ἐστι τῆς ψυχῆς αὐτῶν τὸ πάθημα. Εἰ δὲ καὶ ἀγνοοῖτο, οὐ μεγάλη ζημία τοῖς πράγμασι. Τὴν δὲ ἀληθεστάτην αἰτίαν δι' ἣν φευκτὴν ἡμῶν τὴν συντυχίαν τίθενται, λανθάνουσαν ἴσως τοὺς πολλοὺς ὑμῶν, ἐγὼ διδάξω. Ἀλλ' ἀκούσατε.

3. Πίστεως διαστροφὴ παρ' ὑμῖν μελετᾶται ἐχθρὰ μὲν τοῖς ἀποστολικοῖς καὶ εὐαγγελικοῖς δόγμασιν, ἐχθρὰ δὲ τῇ παραδόσει

---

3. Εἰς τὸ ἄκουσμα τῆς πληροφορίας ὅτι ὁ Βασίλειος ἔρχεται εἰς τὴν Νεοκαισάρειαν ἐδημιουργήθη πανικὸς εἰς τοὺς ἐκεῖ κληρικοὺς καὶ εἰς τὸν λαόν, προφανῶς τὴν μερίδα ποὺ ἐνδιεφέρετο πολὺ διὰ τὰ ἐκκλησιαστικὰ

τώρα νὰ διώξω τοὺς διαβάλλοντας; Μὴ τὸ φαντασθῆτε αὐτό, ὦ ἄριστοι· δὲν εἶναι τόσον φθηνὴ ἡ συμπεριφορά μου. Κανεὶς σώφρων ἄνθρωπος δὲν εἶναι διατεθειμένος οὔτε εἰς ἀκυβέρνητον πλοῖον νὰ ἐπιβῇ οὔτε εἰς Ἐκκλησίαν, εἰς τὴν ὁποίαν προκαλοῦν τρικυμίαν καὶ ταραχὴν οἱ ἴδιοι οἱ κυβερνῆταί της, νὰ πλησιάσῃ. Ἀπὸ ποῦ πράγματι ἐγέμισε μὲ θόρυβον ὅλη ἡ πόλις, ὅταν ἄλλοι μὲν ἔφευγαν χωρὶς νὰ τοὺς διώκῃ κανείς, ἄλλοι δὲ ἐξήρχοντο εἰς ἄμυναν χωρὶς νὰ ἐπιτίθεται κανείς, ὅλοι δὲ οἱ χρησμολόγοι καὶ ὀνειροσκόποι διέσπειραν τὸν φόβον [3]; Ἀπὸ ποῦ ἀλλοῦ προῆλθαν αὐτά; Ἢ μήπως δὲν εἶναι γνωστὰ καὶ εἰς τὰ παιδιὰ ὅτι προῆλθαν ἀπὸ τοὺς ἡγέτας τοῦ πλήθους;

Τὰ αἴτια τῆς ἔχθρας αὐτῶν [4] εἰς ἐμὲ μὲν δὲν εἶναι εὐπρεπὲς νὰ φανερώσω, εἰς σᾶς ὅμως εἶναι πολὺ εὔκολον νὰ τὰ ἀντιληφθῆτε. Διότι, ὅταν ἡ πικρότης καὶ ἡ διάστασις δὲν ἔχουν τίποτε τὸ ἀνώτερον εἰς ἀγριότητα, ἡ δὲ ἐξήγησις τῆς αἰτίας εἶναι ἐντελῶς ἀνυπόστατος καὶ καταγέλαστος, εἶναι φανερὸν ὅτι τὸ ἀρρώστημα τῆς ψυχῆς, ἂν καὶ ἐπηρεάζει τὰ ἀγαθὰ ἄλλων, παραμένει εἰς τὸν κάτοχόν του ὡς οἰκεῖον καὶ πρωταρχικὸν κακόν. Αὐτὰ τὰ πρόσωπα παρουσιάζουν καὶ κάτι ἄλλο χαριτωμένον. Ἐνῷ σχίζονται εἰς τὸ βάθος καὶ θρηνοῦν, δὲν τολμοῦν ἀπὸ τὴν ἐντροπὴν νὰ ἐκδηλώσουν πρὸς τὰ ἔξω τὴν συμφοράν. Τὸ πάθημα αὐτὸ τῆς ψυχῆς των εἶναι γνώριμον ὄχι μόνον ἀπὸ τὴν ἔναντι ἡμῶν συμπεριφοράν των, ἀλλὰ καὶ ἀπὸ τὴν ἄλλην διαγωγήν των. Καὶ ἂν ἠγνοεῖτο δέ, δὲν θὰ ἦτο μεγάλη ζημία εἰς τὰ πράγματα. Τὴν δὲ ἀληθεστάτην αἰτίαν διὰ τὴν ὁποίαν ἀποφεύγουν τὴν ἐπικοινωνίαν μὲ ἡμᾶς, διαφεύγουσαν ἴσως τοὺς πολλοὺς ἀπὸ σᾶς, θὰ σᾶς γνωστοποιήσω ἐγώ. Ἀκούσατε λοιπόν.

3. Μεταξύ σας μελετᾶται διαστροφὴ τῆς πίστεως, ἐχθρικὴ μὲν πρὸς τὰ ἀποστολικὰ καὶ εὐαγγελικὰ δόγματα, ἐχθρικὴ

ζητήματα. Φαίνεται ὅτι ἐφοβήσαν ὅτι ὁ Βασίλειος ἡτοιμάζετο νὰ ἐγκαταστήσῃ ἄλλον ἐπίσκοπον εἰς τὴν πόλιν, ἀντὶ τοῦ Ἀταρβίου.

4. Δηλαδὴ τοῦ Ἀταρβίου.

τοῦ μεγάλου ὡς ἀληθῶς Γρηγορίου καὶ τῶν ἐφεξῆς ἀπ' ἐκείνου μέχρι τοῦ μακαρίου Μουσωνίου οὗ τὰ διδάγματα ἔναυλά ἐστιν ἔτι καὶ νῦν ὑμῖν δηλονότι. Τὸ γὰρ τοῦ Σαβελλίου κακὸν πάλαι μὲν κινηθέν, κατασβεσθὲν δὲ παρὰ τῶν πατέρων, ἐπιχειροῦσι νῦν ἀνανεοῦσθαι οὗτοι οἱ φόβῳ τῶν ἐλέγχων τοὺς καθ' ἡμῶν ὀνείρους πλάττοντες. Ἀλλ' ὑμεῖς τὰς οἰνοβαρεῖς κεφαλάς, ἃς ὁ ἐκ τῆς κραιπάλης ἀναφερόμενος ἀτμός, εἶτα ἐγκυμαίνων, καταφαντάζει, χαίρειν ἀφέντες, παρὰ τῶν ἐγρηγορότων ἡμῶν καὶ διὰ τὸν τοῦ Θεοῦ φόβον μὴ δυναμένων ἡσυχάζειν τὴν βλάβην ὑμῶν ἀκούσατε. Ἰουδαϊσμός ἐστιν ὁ σαβελλισμὸς ἐν προσχήματι Χριστιανισμοῦ τῷ εὐαγγελικῷ κηρύγματι ἐπεισαγόμενος. Ὁ γὰρ ἓν πρᾶγμα πολυπρόσωπον λέγων Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα, καὶ μίαν τῶν τριῶν τὴν ὑπόστασιν ἐκτιθέμενος, τί ἄλλο ποιεῖ ἢ οὐχὶ ἀρνεῖται μὲν τὴν προαιώνιον τοῦ Μονογενοῦς ὕπαρξιν; Ἀρνεῖται δὲ καὶ τὴν οἰκονομικὴν αὐτοῦ πρὸς ἀνθρώπους ἐπιδημίαν, τὴν εἰς ᾅδου κάθοδον, τὴν ἀνάστασιν, τὴν κρίσιν, ἀρνεῖται δὲ καὶ τὰς ἰδιαζούσας τοῦ Πνεύματος ἐνεργείας. Παρὰ δὲ ὑμῖν νῦν καὶ νεανικώτερα ἀκούω τολμᾶσθαι τοῦ ματαιόφρονος Σαβελλίου. Λέγουσι γάρ, ὡς οἱ ἀκηκοότες φασί, διατείνεσθαι τοὺς παρ' ὑμῖν σοφοὺς καὶ λέγειν ὅτι ὄνομα τοῦ Μονογενοῦς οὐ παραδέδοται, ὄνομα δὲ τοῦ ἀντικειμένου ἐστί, καὶ ἐπὶ τούτῳ γάνυσθαι μὲν καὶ μέγα φρονεῖν ὡς ἐπὶ οἰκείῳ εὑρήματι. Εἴρηται γάρ, φησίν· «Ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός μου καὶ οὐκ ἐλάβετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ἰδίῳ ὀνόματι, ἐκεῖνον λήψεσθε». Καὶ διὰ τὸ εἰρῆσθαι· «Μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ

---

5. Πρόκειται πάλιν περὶ τοῦ Γρηγορίου τοῦ θαυματουργοῦ, θεμελιωτοῦ τῆς Ἐκκλησίας Νεοκαισαρείας.

6. Ὁ ἐπίσκοπος Νεοκαισαρείας Μουσώνιος ἀπέθανε τὸ 368, ἤτοι προσφάτως τότε.

δὲ εἰς τὴν παράδοσιν τοῦ μεγάλου πράγματι Γρηγορίου [5] καὶ τῶν διαδόχων του μέχρι τοῦ μακαρίου Μουσωνίου [6], τοῦ ὁποίου τὰ διδάγματα εἶναι προφανῶς ἀκόμη ἕναυλα εἰς τὰ αὐτιά σας. Πράγματι αὐτοὶ ποὺ πράττουν τώρα τὰ φαντασιοκοπήματα ἐναντίον μας ἀπὸ φόβον τοῦ ἐλέγχου ἐπιχειροῦν ν' ἀνανεώσουν τὴν αἵρεσιν τοῦ Σαβελλίου, ποὺ εἶχε κινηθῆ παλαιὰ καὶ κατασβεσθῆ ἀπὸ τοὺς πατέρας. Ἀλλὰ σεῖς ἀφήνοντες ἡσύχους τὰς μεθυσμένας κεφαλάς, τὰς ὁποίας γεμίζει μὲ φαντασίας ὁ ἀπὸ τὴν κραιπάλην ἀναδυόμενος καὶ ἔπειτα ἀναδευόμενος ἀτμός, ἀκούσατε τὴν βλάβην ποὺ σᾶς προκαλοῦν ἀπὸ ἡμᾶς τοὺς ἀγρύπνους καὶ μὴ δυναμένους νὰ ἡσυχάσουν διὰ τὸν φόβον τοῦ Θεοῦ. Ὁ σαβελλιανισμὸς εἶναι ἰουδαϊσμὸς εἰσβάλλων εἰς τὸ εὐαγγελικὸν κήρυγμα ὑπὸ τὸ ἔνδυμα τοῦ Χριστιανισμοῦ. Διότι ἐκεῖνος ποὺ ὀνομάζει ἕνα πολυπρόσωπον ὂν τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα, καὶ ὁρίζει μίαν τὴν ὑπόστασιν καὶ τῶν τριῶν, τί ἄλλο κάμνει, παρὰ ἀρνεῖται τὴν προαιώνιον ὕπαρξιν τοῦ Μονογενοῦς, ἀρνεῖται τὴν σωτηριώδη ἐνανθρώπησιν αὐτοῦ πρὸς τοὺς ἀνθρώπους, τὴν εἰς ᾅδου κάθοδον, τὴν ἀνάστασιν, τὴν κρίσιν, ἀρνεῖται δὲ καὶ τὰς ἰδιαζούσας ἐνεργείας τοῦ Πνεύματος;

Ἀκούω δὲ τώρα ὅτι εἰς σᾶς ἐκεῖ τολμῶνται καὶ χειρότεραι διδασκαλίαι ἀπὸ τοῦ ματαιόφρονος Σαβελλίου. Λέγουν πράγματι, ὅπως βεβαιώνουν οἱ ἀκούσαντες, ὅτι οἱ αὐτοῦ σοφοὶ ἰσχυρίζονται ὅτι δὲν ἔχει παραδοθῆ ὄνομα τοῦ Μονογενοῦς, ἀλλ' ἔχει παραδοθῆ ὄνομα τοῦ ἀντικειμένου [7], χαίρουν δὲ διὰ τοῦτο καὶ ὑπερηφανεύονται ὡσὰν νὰ εἶναι ἰδικόν των εὕρημα. Διότι λέγει, «ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός μου καὶ οὐκ ἐλάβετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ἰδίῳ ὀνόματι, ἐκεῖνον λήψεσθε» [8]. Καὶ ἐπειδὴ ἔχει λεχθῆ, «μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ

7. Ἐννοεῖ προφανῶς τὸν διάβολον, τοῦ ὁποίου τὸ παραδοθὲν εἰς τὴν Γραφὴν ὄνομα εἶναι ἑωσφόρος.

8. Ἰω. 5,43.

τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος», δῆλόν ἐστι, φασίν, ὅτι ἓν ἐστιν ὄνομα. Οὐ γὰρ εἴρηται ὅτι εἰς τὰ ὀνόματα, ἀλλ' εἰς τὸ ὄνομα.

4. Ταῦτα ἐρυθριῶν ἔγραφον ὑμῖν, ὅτι ἀφ' αἵματος ἡμετέρου εἰσὶν οἱ τούτοις ἔνοχοι, καὶ καταστενάζων τῆς ἐμαυτοῦ ψυχῆς, ὅτι ἀναγκάζομαι, ὥσπερ οἱ πρὸς δύο πυκτεύοντες, τὰς ἐφ' ἑκάτερα τοῦ λόγου παρατροπὰς κρούων τοῖς ἐλέγχοις καὶ καταβάλλων, τὴν προσήκουσαν ἰσχὺν ἀποδιδόναι τῇ ἀληθείᾳ. Ἐντεῦθεν γὰρ ἡμᾶς ὁ Ἀνόμοιος σπαράσσει, ἑτέρωθεν δέ, ὡς ἔοικεν, ὁ Σαβέλλιος. Ἀλλ' ὑμᾶς παρακαλῶ τοῖς βδελυροῖς τούτοις καὶ μηδένα παρατρέψαι δυναμένοις σοφίσμασι μὴ προσέχειν τὸν νοῦν· εἰδέναι δὲ ὅτι ἐστὶ τὸ ὄνομα τοῦ Χριστοῦ, τὸ ὑπὲρ πᾶν ὄνομα, αὐτὸ τὸ καλεῖσθαι αὐτὸν Υἱὸν τοῦ Θεοῦ, καὶ κατὰ τὸν Πέτρου λόγον· «Οὐδέ ἐστιν ἕτερον ὄνομα ὑπὸ τὸν οὐρανόν, τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς». Πρὸς δὲ τὸ ὅτι· «Ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός μου», ἐκεῖνο εἰδέναι χρὴ ὅτι ἀρχὴν ἑαυτοῦ καὶ αἰτίαν ἐπιγραφόμενος τὸν Πατέρα ταῦτα λέγει. Εἰ δὲ εἴρηται· «Πορευθέντες βαπτίζετε εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος», οὐ παρὰ τοῦτο χρὴ νομίζειν ἓν ἡμῖν ὄνομα παραδεδόσθαι. Ὡς γὰρ ὁ εἰπὼν Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τρία μὲν εἶπεν ὀνόματα, συνέδησε δὲ αὐτὰ ἀλλήλοις διὰ τῆς συλλαβῆς· οὕτως ὁ εἰπὼν «ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος», τρία εἰπὼν συνέπλεξεν αὐτὰ τῷ συνδέσμῳ, ἑκάστῳ ὀνόματι ἴδιον ὑποβεβλῆσθαι τὸ σημαινόμενον ἐκδιδάσκων, διότι πραγμάτων ἐστὶ σημαντικὰ τὰ ὀνόματα. Τὰ δὲ πράγματα ἰδιάζουσαν καὶ αὐτοτελῆ τὴν ὕπαρξιν ἔχειν οὐδεὶς τῶν καὶ μικρὸν με-

9. Ματθ. 28,19.
10. Καὶ διὰ τὰ τρία πρόσωπα τῆς Τριάδος δηλαδή.
11. Ὁ Ἀτάβριος ἦτο συγγενὴς τοῦ Βασιλείου.

καὶ τοῦ 'Αγίου Πνεύματος» [9], εἶναι φανερὸν κατὰ τὴν γνώμην των ὅτι ἕνα ὄνομα ὑπάρχει [10]. Διότι δὲν ἐλέχθη «εἰς τὰ ὀνόματα» ἀλλ' «εἰς τὸ ὄνομα».

4. Καθὼς σᾶς γράφω αὐτά, κοκκινίζω, διότι οἱ ἔνοχοι αὐτῶν τῶν δοξασιῶν προέρχονται ἀπὸ ἰδικόν μας αἷμα [11] καὶ στενάζω ἀπὸ τὰ βάθη τῆς ψυχῆς μου ποὺ ἀναγκάζομαι, ὅπως οἱ πυγμαχοῦντες μὲ δύο ἀντιπάλους [12], κτυπῶ μὲ τοὺς ἐλέγχους τὰς παρατροπὰς τοῦ λόγου καὶ πρὸς τὰς δύο πλευρὰς καὶ ἀνασκευάζω αὐτάς, ν' ἀποδίδω τὴν ἁρμόζουσαν ἰσχὺν εἰς τὴν ἀλήθειαν. Διότι ἀπὸ ἐδῶ μᾶς σπαράσσει ὁ ἀνόμοιος, ἀπὸ ἐκεῖ δέ, ὅπως φαίνεται ὁ Σαβέλλιος. Παρακαλῶ ὅμως σᾶς νὰ προσέχετε αὐτὰ τὰ σοφίσματα, τὰ βδελυρὰ καὶ μὴ δυνάμενα νὰ ἐξαπατήσουν κανένα, νὰ γνωρίζετε δὲ ὅτι ὑπάρχει τὸ ὄνομα τοῦ Χριστοῦ, τὸ ὑπὲρ πᾶν ὄνομα, [13], αὐτὸ ποὺ εἶναι ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ ὅτι κατὰ τὸν λόγον τοῦ Πέτρου, «δὲν ὑπάρχει ἄλλο ὄνομα ὑπὸ τὸν οὐρανόν, δεδομένον εἰς ἀνθρώπους, διὰ τοῦ ὁποίου πρέπει νὰ σωθῶμεν» [14]. Ὡς πρὸς τὸ ὅτι δὲ «ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός μου», πρέπει νὰ γνωρίζωμεν ἐκεῖνο, ὅτι λέγει ταῦτα διὰ νὰ χαρακτηρίσῃ ὡς ἀρχὴν καὶ αἰτίαν αὐτοῦ τὸν Πατέρα. Ἐὰν δὲ ἔχει λεχθῇ, «πορευθέντες βαπτίζετε εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ 'Αγίου Πνεύματος», δὲν πρέπει διὰ τοῦτο νὰ νομίζωμεν ὅτι ἕνα μόνον ὄνομα μᾶς ἔχει παραδοθῇ. Ὅπως δηλαδὴ ὁ εἰπὼν «Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος» εἶπε τρία ὀνόματα καὶ τὰ συνέδεσε μεταξύ των μὲ τὸν σύνδεσμον, οὕτως ὁ εἰπὼν «ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ 'Αγίου Πνεύματος», λέγων τρία τὰ ἥνωσε μὲ τὸν σύνδεσμον, διδάσκων μὲ αὐτὸ ὅτι εἰς κάθε ὄνομα ἐνυπάρχει ἰδιαιτέρα ἔννοια, διότι τὰ ὀνόματα εἶναι σημαντικὰ πραγμάτων. Ὅτι δὲ τὰ πράγματα ἔχουν ἰδιαιτέραν καὶ αὐτοτελῆ ὕπαρξιν κανεὶς ἀπὸ αὐτοὺς ποὺ ἔχουν καὶ μικρὸν ἔστω νοῦν

12. Οἱ ἀντίπαλοι τοὺς ὁποίους πολεμεῖ ὁ Βασίλειος εἶναι ἀπὸ τὰ ἀριστερὰ οἱ 'Αρειανοί, ἰδίως οἱ 'Ανόμοιοι, ἀπὸ τὰ δεξιὰ οἱ Σαβελλιανισταί.

13. Φιλιπ. 2,9.

14. Πράξ. 4, 12.

τεχόντων τοῦ φρονεῖν ἀμφιβάλλει. Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος φύσις μὲν ἡ αὐτὴ καὶ θεότης μία, ὀνόματα δὲ διάφορα περιωρισμένας καὶ ἀπηρτισμένας τὰς ἐννοίας ἡμῖν παριστῶντα. Ἀμήχανον γάρ, μὴ ἐν τοῖς ἑκάστου ἰδιώμασι τὴν διάνοιαν γενομένην ἀσύγχυτον, δυνηθῆναι Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι τὴν δοξολογίαν ἀποπληρῶσαι. Ἐὰν μὲν οὖν ἀρνῶνται μὴ λέγειν ταῦτα μηδὲ διδάσκειν οὕτω, κατώρθωται ἡμῖν τὰ σπουδαζόμενα. Καίτοι χαλεπὴν αὐτοῖς οὖσαν ὁρῶ τὴν ἄρνησιν, διὰ τὸ πολλοὺς ἔχειν τῶν λόγων τούτων τοὺς μάρτυρας. Πλὴν ἀλλ' οὐ σκοποῦμεν τὰ παρελθόντα, τὰ παρόντα μόνον ὑγιαινέτωσαν. Ἐὰν δὲ τοῖς αὐτοῖς ἐπιμένωσιν, ἀνάγκη καὶ πρὸς ἄλλας Ἐκκλησίας ἐκβοῆσαι ἡμᾶς τὴν καθ' ὑμᾶς συμφορὰν καὶ ποιῆσαι παρὰ πλειόνων ἐπισκόπων γράμματα ὑμῖν ἀφικέσθαι, τὸ μέγεθος τοῦτο τῆς ὑποκατασκευαζομένης ἀσεβείας καταρρηγνύντα. Ἢ γὰρ προὔργου τι ἔσται εἰς τὴν σπουδὴν ἢ πάντως ἡ παροῦσα διαμαρτυρία ἀφίησιν ἡμᾶς τῆς αἰτίας ἐπὶ τοῦ κριτηρίου.

5. Ἤδη δὲ καὶ ἐν συντάγμασιν οἰκείοις κατεβάλοντο τοὺς λόγους τούτους· οὕσπερ καὶ ἀπέστειλαν πρῶτον τῷ ἀνθρώπῳ τοῦ Θεοῦ Μελετίῳ τῷ ἐπισκόπῳ καὶ λαβόντες παρ' αὐτοῦ τὰς προσηκούσας ἀποκρίσεις, ὡς αἱ τῶν τεράτων μητέρες ἐπαισχυνόμεναι τοῖς πηρώμασι τῆς φύσεως, οὕτω καὶ αὐτοὶ τὰς αἰσχρὰς ἑαυτῶν ὠδῖνας τῷ προσήκοντι σκότῳ κατακρύψαντες τιθηνοῦνται. Καθῆκαν δέ τινα πεῖραν δι' ἐπιστολῆς καὶ πρὸς τὸν ὁμόψυχον ἡμῶν Ἄνθιμον τὸν Τυάνων ἐπίσκοπον, ὡς ἄρα Γρηγορίου εἰπόντος ἐν Ἐκθέσει πίστεως Πατέρα καὶ Υἱὸν ἐπινοίᾳ μὲν εἶναι δύο, ὑποστάσει δὲ ἕν. Τοῦτο δὲ ὅτι οὐ δογματικῶς εἴρηται, ἀλλ' ἀγω-

15. Τὸν ἐπίσκοπον Ἀντιοχείας Μελέτιον, φίλον τοῦ Βασιλείου καὶ ἐξόριστον τότε εἰς τὴν γενέτειράν του.

16. Ὁ Βασίλειος εἶχε φιλικὰς σχέσεις μὲ τὸν Ἄνθιμον, πλὴν μικρᾶς

δὲν ἀμφιβάλλει. Τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος ἡ μὲν φύσις καὶ θεότης εἶναι μία, τὰ ὀνόματα δὲ εἶναι διάφορα, παριστάνοντα εἰς ἡμᾶς διακεκριμένας καὶ πλήρεις τὰς ἐννοίας. Εἶναι δὲ ἀδύνατον εἰς τὴν διάνοιαν νὰ ἀποδώσῃ τὴν πρέπουσαν δοξολογίαν εἰς τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα, ἐὰν δὲν ἀπαλλαγῇ ἀπὸ τὴν σύγχυσιν ὡς πρὸς τὰ ἰδιώματα τοῦ καθενός.

Ἐὰν λοιπὸν ἀρνοῦνται ὅτι λέγουν ἢ διδάσκουν αὐτά, ὁ σκοπός μας ἐξεπληρώθη. Βλέπω ὅμως δύσκολον τὴν ἄρνησίν των, διότι ἔχω πολλοὺς μάρτυρας τῶν λόγων τούτων. Ἀλλὰ δὲν μᾶς ἀπασχολοῦν τώρα τὰ περασμένα, ἀρκεῖ νὰ εἶναι ὑγιῆ τὰ παρόντα. Ἐὰν δὲ ἐπιμένουν εἰς τὰς αὐτὰς ἀντιλήψεις, εἶναι ἀνάγκη νὰ γνωστοποιήσωμεν καὶ εἰς τὰς ἄλλας Ἐκκλησίας τὴν συμφορὰν ποὺ σᾶς εὗρε καὶ νὰ προκαλέσωμεν νὰ ἔλθουν εἰς σᾶς γράμματα ἀπὸ περισσοτέρους ἐπισκόπους, διὰ νὰ θραύσουν τὸν ὄγκον αὐτὸν τῆς κρυφίως κατασκευαζομένης ἀσεβείας. Ἡ παροῦσα δὲ διαμαρτυρία ἢ θὰ ἀποβῇ ὠφέλιμος εἰς τὸν σκοπόν μας ἢ πάντως θὰ μᾶς ἀπαλλάξῃ τῆς κατηγορίας ἐνώπιον τοῦ θείου κριτηρίου.

5. Ἤδη δὲ ἔχουν καταστρώσει τοὺς λόγους τούτους καὶ εἰς συγγράμματά των, τὰ ὁποῖα καὶ ἀπέστειλαν πρῶτον εἰς τὸν ἄνθρωπον τοῦ Θεοῦ Μελέτιον τὸν ἐπίσκοπον [15] καί, ἀφοῦ ἔλαβαν ἀπὸ αὐτὸν τὰς δεούσας ἀπαντήσεις, ὅπως αἱ μητέρες τῶν τεράτων ἐντρεπόμεναι ἀπὸ τὰ ἐλαττώματα τῆς φύσεως, οὕτω καὶ αὐτοὶ ἀνατρέφουν τὰ αἰσχρὰ γεννήματά των κρύπτοντες αὐτὰ εἰς τὸ ἀπαραίτητον σκότος. Κατέβαλαν ἐπίσης κάποιαν προσπάθειαν ἐπαφῆς δι' ἐπιστολῆς καὶ μὲ τὸν ὁμόψυχόν μας Ἀνθιμον, ἐπίσκοπον Τυάνων [16], ὅπου ἔγραφαν ὅτι τάχα ὁ Γρηγόριος εἰς τὴν Ἔκθεσιν Πίστεως εἶπεν ὅτι ὁ Πατὴρ καὶ ὁ Υἱὸς εἶναι κατ' ἔννοιαν μὲν δύο, καθ' ὑπόστασιν δὲ πραγματικὴν ἕνα. Αὐτοὶ οἱ ὁποῖοι μακαρίζουν ἑαυτοὺς διὰ τὴν λεπτότη-

---

περιόδου κατὰ τὴν ἐποχὴν τῆς διαιρέσεως τῆς Καππαδοκίας εἰς δύο διοικήσεις.

νιστικῶς ἐν τῇ πρὸς Αἰλιανὸν Διαλέξει, οὐκ ἠδυνήθησαν συνιδεῖν οἱ ἐπὶ λεπτότητι τῶν φρενῶν ἑαυτοὺς μακαρίζοντες. Ἐν ᾗ πολλὰ τῶν ἀπογραψαμένων ἐστὶ σφάλματα, ὡς ἐπ' αὐτῶν τῶν λέξεων δείξομεν ἡμεῖς, ἐὰν ὁ Θεὸς θέλῃ. Ἔπειτα μέντοι τὸν Ἕλληνα πείθων οὐχ ἡγεῖτο χρῆναι ἀκριβολογεῖσθαι περὶ τὰ ῥήματα, ἀλλ' ἔστιν ὅπη καὶ συνδιδόναι τῷ ἔθει τοῦ ἐναγομένου, ὡς ἂν μὴ ἀντιτείνοι πρὸς τὰ καίρια. Διὸ δὴ καὶ πολλὰς ἂν εὕροις ἐκεῖ φωνὰς τὰς νῦν τοῖς αἱρετικοῖς μεγίστην ἰσχὺν παρεχομένας, ὡς τὸ κτίσμα καὶ τὸ ποίημα καὶ εἴ τι τοιοῦτον. Πολλὰ δὲ καὶ περὶ τῆς πρὸς τὸν ἄνθρωπον συναφείας εἰρημένα εἰς τὸν περὶ τῆς θεότητος ἀναφέρουσι λόγον οἱ ἀπαιδεύτως τῶν γεγραμμένων ἀκούοντες, ὁποῖόν ἐστι καὶ τοῦτο τὸ παρὰ τούτων περιφερόμενον. Εὖ γὰρ εἰδέναι χρὴ ὅτι ὥσπερ ὁ τὸ κοινὸν τῆς οὐσίας μὴ ὁμολογῶν εἰς πολυθεΐαν ἐκπίπτει, οὕτως ὁ τὸ ἰδιάζον τῶν ὑποστάσεων μὴ διδοὺς εἰς τὸν Ἰουδαϊσμὸν ὑποφέρεται. Δεῖ γὰρ τὴν διάνοιαν ἡμῶν οἱονεὶ ἐπερεισθεῖσαν ὑποκειμένῳ τινὶ καὶ ἐναργεῖς αὐτοῦ ἐντυπωσαμένην τοὺς χαρακτῆρας, οὕτως ἐν περινοίᾳ γενέσθαι τοῦ ποθουμένου. Μὴ γὰρ νοήσαντας τὴν πατρότητα μηδὲ περὶ ὃν ἀφώρισται τὸ ἰδίωμα τοῦτο ἐνθυμηθέντας, πῶς δυνατὸν Θεοῦ Πατρὸς ἔννοιαν παραδέξασθαι; Οὐ γὰρ ἐξαρκεῖ διαφορὰς προσώπων ἀπαριθμήσασθαι, ἀλλὰ χρὴ ἕκαστον πρόσωπον ἐν ὑποστάσει ἀληθινῇ ὑπάρχον ὁμολογεῖν. Ἐπεὶ τόν γε ἀνυπόστατον τῶν προσώπων ἀναπλασμὸν οὐδὲ Σαβέλλιος παρῃτήσατο, εἰπὼν τὸν αὐτὸν Θεόν, ἕνα τῷ ὑποκειμένῳ ὄντα πρὸς τὰς ἑκάστοτε παραπιπτούσας χρείας μεταμορφούμενον, νῦν μὲν ὡς Πατέρα, νῦν δὲ ὡς Υἱόν, νῦν δὲ ὡς Πνεῦμα Ἅγιον διαλέγεσθαι. Ταύτην πάλαι κατασβεσθεῖσαν τὴν πλάνην ἀνανεοῦνται νῦν οἱ τῆς ἀνωνύμου ταύτης αἱρέσεως ἐφευρεταί, οἱ τὰς

17. Ὁ Διάλογος πρὸς Αἰλιανόν, εἰδωλολάτρην, ἐχάθη.

τα σκέψεως δὲν ἠδυνήθησαν νὰ κατανοήσουν ὅτι τοῦτο δὲν ἐλέχθη δογματικῶς ἀλλὰ ἀντιρρητικῶς εἰς τὸν Διάλογον πρὸς Αἰλιανόν [17]. Εἰς τὸν Διάλογον αὐτὸν ὑπάρχουν πολλὰ σφάλματα τῶν ἀντιγραφέων, ὅπως θὰ ἀποδείξωμεν μὲ τὰς ἰδίας τὰς λέξεις, ἐὰν θέλῃ ὁ Θεός. Ἐξ ἄλλου, προσπαθῶν νὰ πείσῃ ἕνα εἰδωλολάτρην, δὲν ἐνόμισεν ὁ Γρηγόριος ὅτι χρειάζεται ν' ἀκριβολογήσῃ εἰς τὰς ἐκφράσεις, ἀλλ' ὅτι ἐνίοτε ἔπρεπε νὰ προσχωρῇ πρὸς τὰς συνηθείας ἐκείνου ποὺ ἤθελε νὰ κερδίσῃ, διὰ νὰ μὴ ἀντιτείνῃ αὐτὸς πρὸς τὰ θεμελιώδη. Διὰ τοῦτο ἄλλωστε ἠμπορεῖς νὰ εὕρῃς ἐκεῖ πολλὰς ἐκφράσεις, αἱ ὁποῖαι προσφέρουν τώρα πολλὴν ἰσχὺν εἰς τοὺς αἱρετικούς, ὅπως τὸ κτίσμα καὶ τὸ ποίημα καὶ τὰ παρόμοια. Πολλὰ δὲ καὶ ἀπὸ ἐκεῖνα ποὺ ἔχουν σχέσιν μὲ τὴν ἕνωσιν πρὸς τὸν ἄνθρωπον, ὅταν τὰ ἀκούουν οἱ ἀδαεῖς, τὰ ἀναφέρουν εἰς τὸ περὶ θεότητος δόγμα· τοιοῦτον εἶναι καὶ αὐτὸ ποὺ περιφέρεται ἀπὸ τοὺς ἀνθρώπους τούτους.

Πρέπει δὲ νὰ γνωρίζῃ κανεὶς ὅτι, ὅπως ἐκεῖνος ποὺ δὲν παραδέχεται τὴν κοινότητα τῆς θείας οὐσίας, ἐκπίπτει εἰς πολυθεΐαν, οὕτω καὶ ὁ ἀπορρίπτων τὴν διάκρισιν τῶν ὑποστάσεων ὁδηγεῖται εἰς τὸν Ἰουδαϊσμόν. Ἡ διάνοιά μας ὀφείλει νὰ φθάσῃ εἰς τὴν γνῶσιν τοῦ ποθουμένου μόνον ὅταν στηριχθῇ οὕτως εἰπεῖν εἰς κάποιον ἀντικείμενον καὶ ἀφοῦ ἐντυπώσῃ σαφῶς τοὺς χαρακτῆρας αὐτοῦ. Διότι, ἐὰν δὲν κατανοήσωμεν τὴν πατρότητα καὶ δὲν λάβωμεν ὑπ' ὄψιν τὸ πρόσωπον εἰς τὸ ὁποῖον περιορίζεται τὸ ἰδίωμα τοῦτο, πῶς εἶναι δυνατὸν νὰ συλλάβωμεν τὴν ἔννοιαν τοῦ Θεοῦ Πατρός; Δὲν ἀρκεῖ νὰ ἀπαριθμήσωμεν τὰς διαφορὰς τῶν προσώπων, ἀλλὰ χρειάζεται νὰ ὁμολογῶμεν κάθε πρόσωπον ὡς ὑπάρχον εἰς ἀληθινὴν ὑπόστασιν. Καθ' ὅσον οὔτε ὁ Σαβέλλιος δὲν ἀπέρριψε τὴν πλασματικὴν ὑπόστασιν τῶν προσώπων, λέγων ὅτι ὁ ἴδιος Θεὸς ποὺ εἶναι εἷς κατὰ τὸ ὑποκείμενον μεταμορφώνεται κατὰ τὰς ἑκάστοτε ἀνάγκας, καὶ ὁμιλεῖ ἄλλοτε μὲν ὡς Πατήρ, ἄλλοτε δὲ ὡς Υἱὸς καὶ ἄλλοτε ὡς Ἅγιον Πνεῦμα. Τὴν πλάνην αὐτήν, σβησθεῖσαν παλαιότερα, ἀνανεώνουν τώρα οἱ ἐφευρέται τῆς ἀνωνύμου

ὑποστάσεις ἀθετοῦντες καὶ τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ ἀπαρνούμενοι. Οὕς, ἐὰν μὴ παύσωνται λαλοῦντες κατὰ τοῦ Θεοῦ ἀδικίαν, ὀδύρεσθαι χρὴ μετὰ τῶν ἀρνησιχρίστων.

6. Ταῦτα ἀναγκαίως ὑμῖν διεστειλάμεθα, ἵνα τὰς ἀπὸ τῶν πονηρῶν διδαγμάτων βλάβας φυλάξησθε. Τῷ ὄντι γάρ, εἰ χρὴ τὰς πονηρὰς διδασκαλίας τοῖς ὀλεθρίοις φαρμάκοις ἐξομοιοῦν, ὡς οἱ παρ' ὑμῖν ὀνειροσκόποι φασί, ταῦτά ἐστι καὶ κώνειον καὶ ἀκόνιτον καὶ εἴ τι ἕτερον φάρμακον ἀνδροφόνον. Ταῦτα ψυχῶν δηλητήρια, οὐχ οἱ ἡμέτεροι λόγοι, ἅπερ αἱ οἰνόπληκτοι μήνιγγες ἐκβοῶσι πολυφάνταστοι οὖσαι διὰ τὸ πάθος· οὕς, εἴπερ ἐσωφρόνουν, ἐχρῆν εἰδέναι ὅτι ταῖς ἀχράντοις καὶ πάσης κηλῖδος κεκαθαρμέναις ψυχαῖς τὸ προφητικὸν ἐναυγάζει χάρισμα. Οὔτε γὰρ κατόπτρῳ ῥυπῶντι δυνατὸν τῶν εἰκόνων δέξασθαι τὰς ἐμφάσεις, οὔτε ψυχὴν ταῖς βιοτικαῖς προειλημμένην μερίμναις καὶ τοῖς ἐκ τοῦ φρονήματος τῆς σαρκὸς ἐπισκοτουμένην πάθεσι δυνατὸν ὑποδέξασθαι τοῦ Ἁγίου Πνεύματος τὰς ἐλλάμψεις. Οὐ γὰρ πᾶν ἐνύπνιον εὐθὺς προφητεία, ὥς φησι Ζαχαρίας· «Κύριος ἐποίησε φαντασίαν καὶ ὑετὸν χειμερινόν, διότι οἱ ἀποφθεγγόμενοι ἐλάλησαν κόπους καὶ τὰ ἐνύπνια ψευδῆ ἐλάλουν». Οὗτοι δὲ κἀκεῖνο ἀγνοοῦσιν, οἱ κατὰ τὸν Ἡσαΐαν ἐνυπνιαζόμενοι κοίτην φιλοῦντες νυστάξαι, ὅτι πολλάκις ἐνέργεια πλάνης ἀποστέλλεται ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. Καὶ ἔστι πνεῦμα ψευδὲς δ ἐν τοῖς ψευδοπροφήταις γενόμενον Ἀχαὰβ ἐξηπάτησε. Ταῦτα εἰδότας ἔδει μὴ τοσοῦτον ὑπεραρθῆναι ὥστε ἑαυτοῖς προφητείαν προσμαρτυρεῖν, οἵ γε δείκνυνται

---

18. Τῆς αἱρέσεως τοῦ Ἀταρβίου ποὺ δὲν δέχεται χωριστὸν ὄνομα διὰ τὸν Υἱόν.

19. Ζαχ. 10,1ἑ.

20. Ἡσ. 29, 8.

21. Ἐφεσ. 2,2.

ταύτης αἱρέσεως [18], οἱ ὁποῖοι ἀθετοῦν τὰς ὑποστάσεις καὶ ἀρνοῦνται τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ. Τούτους, ἐὰν δὲν παύσουν νὰ ὁμιλοῦν ἀνόμως κατὰ τοῦ Θεοῦ, πρέπει νὰ τοὺς θρηνῶμεν μαζὶ μὲ τοὺς ἀρνητὰς τοῦ Χριστοῦ.

6. Τὰς ἐξηγήσεις αὐτὰς σᾶς προσεφέραμεν, διὰ νὰ φυλαχθῆτε ἀπὸ τὰς βλάβας τῶν πονηρῶν διδαγμάτων. Πράγματι δέ, ἐὰν χρειασθῇ νὰ παρομοιάσωμεν τὰς πονηρὰς διδασκαλίας μὲ τὰ καταστρεπτικὰ δηλητήρια, ὅπως λέγουν οἱ ὀνειροσκόποι τοῦ τόπου σας, αὐτὰ εἶναι τὸ κώνειον καὶ τὸ ἀκόνιτον καὶ κάθε ἄλλο ἀνθρωποκτόνον φάρμακον. Αὐτὰ εἶναι δηλητήρια τῶν ψυχῶν, ὄχι οἱ ἰδικοί μας λόγοι, τὰ ὁποῖα οἱ κτυπημένοι ἀπὸ τὸ κρασὶ μήνιγγες, φαντασιόπληκτοι λόγῳ τοῦ πάθους, φωνάζουν. Ἂν οὗτοι ἦσαν σωφρονισμένοι, ἔπρεπε νὰ γνωρίζουν ὅτι τὰς ἁγνὰς καὶ καθαρὰς ἀπὸ κάθε κηλῖδα ψυχὰς φωτίζει τὸ προφητικὸν χάρισμα. Διότι οὔτε ἀκάθαρτος καθρέπτης εἶναι δυνατὸν νὰ δεχθῇ τὰς ἀντανακλάσεις τῶν εἰκόνων, οὔτε ψυχὴ κατειλημμένη ἀπὸ βιοτικὰς φροντίδας καὶ σκοτισμένη ἀπὸ τὰ πάθη τοῦ σαρκικοῦ φρονήματος εἶναι δυνατὸν νὰ ὑποδεχθῇ τὰς ἐλλάμψεις τοῦ Ἁγίου Πνεύματος. Δὲν εἶναι κάθε ἐνύπνιον προφητεία, ὅπως λέγει ὁ Ζαχαρίας· «ὁ Κύριος ἔκαμε μίαν φαντασίαν καὶ χειμερινὴν βροχήν, διότι οἱ χρησμοδόται ὠμίλησαν διὰ κόπους καὶ ἐλάλησαν ψευδῆ ἐνύπνια» [19].

Αὐτοὶ δὲ οἱ ἄνθρωποι, οἱ ὁποῖοι κατὰ τὸν Ἡσαΐαν ὀνειρεύονται καὶ ἀγαποῦν νὰ κοιμῶνται εἰς τὴν κλίνην των [20], ἀγνοοῦν καὶ ἐκεῖνο, ὅτι πολλάκις εἰς τοὺς υἱοὺς τῆς ἀπειθείας ἀποστέλλεται ἐνέργεια πλάνης [21]. Ὑπάρχει ἐπίσης πνεῦμα ψεύδους, τὸ ὁποῖον ἐλθὸν εἰς τοὺς ψευδοπροφήτας ἐξηπάτησε τὸν Ἀχαάβ [22]. Γνωρίζοντες αὐτὰ δὲν ἔπρεπε νὰ ἀνυψωθοῦν τόσον πολύ, ὥστε νὰ ἀποδώσουν εἰς ἑαυτοὺς προφητικὸν χάρισμα, αὐτοὶ ποὺ ἀποδεικνύονται ὅτι στεροῦνται τῆς ἀκρι-

---

22. Γ' Βασ. 22, 22.

καὶ τοῦ οἰωνοσκόπου Βαλαὰμ τῆς ἀκριβείας ἀπολειπόμενοι. Ὃς ὑπὸ τοῦ βασιλέως τῶν Μωαβιτῶν ἐπὶ μεγίσταις δωρεαῖς μετακληθεὶς οὐκ ἠνέσχετο ἀφεῖναι φωνὴν παρὰ τὸ βούλημα τοῦ Θεοῦ οὐδὲ ἀράσασθαι τὸν Ἰσραὴλ ὃν οὐκ ἀρᾶται Κύριος. Εἰ μὲν οὖν ταῖς ἐντολαῖς τοῦ Κυρίου αἱ κατὰ τὸν ὕπνον αὐτῶν φαντασίαι συντρέχουσιν, ἀρκείσθωσαν τοῖς Εὐαγγελίοις οὐδεμιᾶς βοηθείας ἐκ τῶν ὀνείρων εἰς τὴν ἀξιοπιστίαν προσδεομένοις. Εἰ δὲ ὁ μὲν Κύριος τὴν ἑαυτοῦ εἰρήνην ἀφῆκεν ἡμῖν καὶ ἐντολὴν καινὴν ἔδωκεν ἡμῖν ἵνα ἀγαπῶμεν ἀλλήλους, τὰ δὲ ὀνείρατα μάχην καὶ διάστασιν καὶ ἀγάπης ἀφανισμὸν ὑφηγεῖται, μὴ διδότωσαν καιρὸν τῷ διαβόλῳ διὰ τοῦ ὕπνου ταῖς ψυχαῖς αὐτῶν ἐπιβαίνειν, μηδὲ κυριώτερα ποιείτωσαν τὰ παρ' αὐτοῦ φαντάσματα τῶν σωτηρίων διδαγμάτων.

216

208. ΕΥΛΑΓΚΙΩ

Μακρὸν ἀπεσιώπησας χρόνον, καὶ ταῦτα λαλίστατος ὢν καὶ μελέτην τοῦτο καὶ τέχνην ποιησάμενος, ἀεί τι λαλεῖν καὶ σεαυτὸν δεικνύναι διὰ τῶν λόγων. Ἀλλ' ἔοικεν ἡ Νεοκαισάρεια αἰτία εἶναί σοι τῆς πρὸς ἡμᾶς σιωπῆς. Καὶ ἐοίκαμεν ἀντὶ χάριτος δέχεσθαι τὸ μὴ μνημονεύεσθαι παρὰ τοῖς αὐτοῦ, ἐπειδὴ ἡ μνήμη οὐκ ἀγαθή ἐστιν, ὡς ὁ τῶν ἀκουόντων λόγος. Ἀλλὰ σὺ πάλαι τῶν μισουμένων ἦσθα δι' ἡμᾶς, οὐ τῶν δι' ἑτέρους ἡμᾶς μισεῖν

---

23. Ἀρ. 22, 11 ἑ.
24. Ἰω. 14, 27.
25. Ἰω. 13, 34.

Ἐπιστολὴ 208. Ἐγράφη τὸ 375. Ὁ Εὐλάγκιος ἦτο, ὅπως φαίνεται,

βείας ἀκόμη καὶ τοῦ οἰωνοσκόπου Βαλαάμ[23]. Οὗτος μετακληθεὶς ἀπὸ τὸν βασιλέα τῶν Μωαβιτῶν μὲ ὑπόσχεσιν μεγάλων δωρεῶν δὲν ἐδέχετο νὰ ἀφήσῃ φωνὴν παρὰ τὴν βούλησιν τοῦ Θεοῦ οὔτε νὰ καταρασθῇ τὸν Ἰσραὴλ τὸν ὁποῖον δὲν κατηράσθη ὁ Κύριος.

Ἐὰν λοιπὸν αἱ κατὰ τὸν ὕπνον των φαντασίαι συμφωνοῦν μὲ τὰς ἐντολὰς τοῦ Κυρίου, ἂς ἀρκεσθοῦν εἰς τὰ Εὐαγγέλια, διότι δὲν ἔχουν ἀνάγκην τῆς βοηθείας ἀπὸ τὰ ὄνειρα διὰ τὴν ἀπόκτησιν ἀξιοπιστίας. Ἐὰν δὲ ὁ μὲν Κύριος ἄφησεν εἰς ἡμᾶς τὴν εἰρήνην του[24] καὶ ἔδωσεν εἰς ἡμᾶς καινὴν ἐντολήν, νὰ ἀγαπῶμεν ἀλλήλους[25], τὰ δὲ ὄνειρα ὑποδεικνύουν μάχην καὶ διάστασιν καὶ ἀφανισμὸν τῆς ἀγάπης, ἂς μὴ δίδουν καιρὸν εἰς τὸν διάβολον νὰ ἐπιβῇ εἰς τὰς ψυχάς των διὰ τὸν ὕπνον, καὶ ἂς μὴ καθιστοῦν τὰ ἀπὸ αὐτὸν προερχόμενα φαντάσματα ὡς σπουδαιότερα ἀπὸ τὰ σωτήρια διδάγματα.

216

ΕΠΙΣΤΟΛΗ 208
ΠΡΟΣ ΤΟΝ ΕΥΛΑΓΚΙΟΝ

Πολὺν καιρὸν ἐκράτησες σιωπήν, μολονότι εἶσαι λαλίστατος καὶ ἔχεις κάμει μελέτην καὶ ἐπάγγελμα νὰ λέγῃς πάντοτε κάτι καὶ νὰ ἐπιδεικνύῃς τὸν ἑαυτόν σου διὰ τῶν λόγων. Φαίνεται ὅμως ὅτι ἡ Νεοκαισάρεια εἶναι αἰτία τῆς πρὸς ἡμᾶς σιωπῆς σου. Καὶ φαίνεται νὰ δεχώμεθα τὴν ἔλλειψιν μνείας ἀπὸ τοὺς αὐτοῦ ὡσὰν χάριν, ἐπειδὴ ἡ μνεία δὲν εἶναι ἀγαθή, καθὼς βεβαιώνουν οἱ ἀκούοντες. Σὺ ὅμως παλαιότερα ἦσο εἷς ἀπὸ τοὺς μισουμένους ἐξ αἰτίας μας, ὄχι εἷς ἀπὸ τοὺς τολμῶντας νὰ μι-

---

ρήτωρ εἰς τὴν Νεοκαισάρειαν καὶ φίλος τοῦ Βασιλείου. Τώρα ποὺ οἱ Νεοκαισαρεῖς ἦσαν ὅλοι ἐχθρικοὶ πρὸς τὸν Βασίλειον, ἐσιωποῦσε καὶ αὐτός. Ἡ ἐπιστολὴ θέλει νὰ τοῦ ὑπενθυμίσῃ τὴν παλαιὰν φιλίαν.

ἀνεχομένων. Ὁ αὐτὸς τοίνυν ἔσο καὶ ἐπιστέλλων οὗπερ ἂν ᾖς καὶ μεμνημένος ἡμῶν τὰ εἰκότα, εἴ τί σοι μέλει τοῦ δικαίου. Δίκαιον δέ που τῆς ἀγάπης τοῖς ἴσοις ἀμείβεσθαι τοὺς ὑπάρξαντας.

217

51. ΒΟΣΠΟΡΙΩ ΕΠΙΣΚΟΠΩ

1. Πῶς μου οἴει τὴν ψυχὴν ὠδύνησεν ἡ ἀκοὴ τῆς συκοφαντίας ἐκείνης, ἣν κατέχεάν μού τινες τῶν μὴ φοβουμένων τὸν κριτήν, ὃς ἀπολεῖ πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος; Ὥστε πᾶσαν τὴν νύκτα ἐπὶ τοῖς ῥήμασι τῆς ἀγάπης σου ὀλίγου δεῖν ἄυπνον διαμεῖναι, οὕτω μέσης ἥψατό μου τῆς καρδίας ἡ λύπη. Ὄντως γάρ, κατὰ τὸν Σολομῶντα, «Συκοφαντία ἄνδρα ταπεινοῖ», καὶ οὐδεὶς οὕτως ἀνάλγητος ὡς μὴ παθεῖν τὴν ψυχὴν καὶ κατακαμφθῆναι εἰς γῆν, στόμασιν εἰς ψευδολογίαν εὐκόλοις παραπεσών. Ἀλλὰ γὰρ ἀνάγκη πάντα στέγειν, πάντα ὑπομένειν, τὴν ὑπὲρ ἑαυτῶν ἐκδίκησιν ἐπιρρίψαντας τῷ Κυρίῳ, ὃς οὐ περιόψεται ἡμᾶς, διότι «Ὁ συκοφαντῶν πένητα παροξύνει τὸν ποιήσαντα αὐτόν». Οἱ μέντοι τὸ καινὸν τοῦτο δρᾶμα τῆς καθ' ἡμῶν βλασφημίας συνθέντες ἐοίκασι παντελῶς ἀπιστεῖν τῷ Κυρίῳ, ὃς καὶ περὶ ἀργοῦ ῥήματος δώσειν ἡμᾶς λόγον ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ἀπεφήνατο. Ἐγὼ δέ,

---

Ἐπιστολὴ 51. Ἐγράφη εἰς τὴν ἀρχὴν τῆς ἀρχιερατείας τοῦ Βασιλείου καὶ ἀπευθύνεται πρὸς τὸν ἐπίσκοπον Κολωνίας Βοσπόριον, φίλον τούτου. Θέμα τῆς ἐπιστολῆς εἶναι ἡ φήμη ὅτι ὁ Βασίλειος εἶχεν ἀναθεματίσει τὸν ἐπίσκοπον Καισαρείας Διάνιον, ὁ ὁποῖος μάλιστα τὸν εἶχε βαπτίσει. Ὁ Βασίλειος ἀρνεῖται τοῦτο καὶ ἐκθέτει ποία ἀκριβῶς ἦτο ἡ στάσις του.

1. Ψαλμ. 5, 7.

σοῦν ἡμᾶς ἐξ αἰτίας ἄλλων. Νὰ μείνῃς λοιπὸν ὁ ἴδιος, νὰ μᾶς γράφῃς ἀπὸ ὅπου καὶ ἂν εἶσαι καὶ νὰ μᾶς ἐνθυμῆσαι κατὰ τρόπον εὔλογον, ἐὰν σ' ἐνδιαφέρῃ τὸ δίκαιον. Δίκαιον δὲ εἶναι νὰ ἀμείβωνται μὲ ἴσην ἀγάπην ἐκεῖνοι ποὺ ἤρχισαν ν' ἀγαποῦν πρῶτοι.

217

ΕΠΙΣΤΟΛΗ 51
ΠΡΟΣ ΤΟΝ ΕΠΙΣΚΟΠΟΝ ΒΟΣΠΟΡΙΟΝ

1. Πόσον νομίζεις ὅτι μοῦ ἐστενοχώρησε τὴν ψυχὴν τὸ ἄκουσμα τῆς συκοφαντίας ἐκείνης, ποὺ μοῦ ἐπέρριψαν μερικοὶ ἀπὸ τοὺς μὴ φοβουμένους τὸν κριτήν, ὁ ὁποῖος θὰ ἀπολέσῃ ὅλους τοὺς λέγοντας ψεύδη; [1] Ὅλην τὴν νύκτα ἔμεινα σχεδὸν ἄυπνος ἀπὸ τοὺς λόγους τῆς ἀγάπης σου· τόσον ἤγγισε τὰ βάθη τῆς καρδίας μου ἡ λύπη. Πράγματι δέ, ὅπως λέγει ὁ Σολομῶν, «συκοφαντία ἄνδρα ταπεινοῖ» [2], καὶ κανεὶς δὲν εἶναι τόσον ἀνάλγητος ὥστε νὰ μὴ ὑποφέρῃ ψυχικὰ καὶ νὰ μὴ καμφθῇ εἰς τὴν γῆν, ἂν περιπέσῃ εἰς στόματα εὔκολα εἰς ψευδολογίαν. Ἀλλὰ βεβαίως εἶναι ἀνάγκη ὅλα νὰ τὰ βαστάζωμεν, ὅλα νὰ τὰ ὑπομένωμεν ἀναθέτοντες τὴν φροντίδα δι' ἐκδίκησίν μας εἰς τὸν Κύριον, ὁ ὁποῖος δὲν θὰ μᾶς παραβλέψῃ, διότι «ὁ συκοφαντῶν πένητα παροξύνει τὸν ποιήσαντα αὐτόν» [3].

Κατὰ τὰ ἄλλα οἱ συνθέσαντες τὸ νέον τοῦτο δρᾶμα τῆς ἐναντίον μας βλασφημίας φαίνονται ν' ἀπιστοῦν ἐντελῶς εἰς τὸν Κύριον, ὁ ὁποῖος εἶπεν ὅτι θὰ ἀπολογηθῶμεν τὴν ἡμέραν τῆς κρίσεως ἀκόμη καὶ δι' ἕνα μάταιον λόγον [4]. Ἐγὼ δέ, εἰ-

2. Παροιμ. 29,23.
3. Παροιμ. 14, 31.
4. Ματθ. 12, 36.

εἰπέ μοι, τὸν μακαριώτατον Διάνιον ἀνεθεμάτισα; Τοῦτο γὰρ ἡμῶν κατήγγειλαν. Ποῦ ἢ πότε; Τίνων παρόντων; Ἐπὶ ποίᾳ προφάσει; Ψιλοῖς ῥήμασιν ἢ ἐγγράφοις; Ἑτέροις ἀκολουθῶν ἢ αὐτὸς κατάρχων καὶ αὐθεντῶν τοῦ τολμήματος; Ὦ τῆς ἀναιδείας τῶν πάντα φθεγγομένων ῥᾳδίως! Ὦ τῆς καταφρονήσεως τῶν τοῦ Θεοῦ κριμάτων! Πλὴν εἰ μὴ ἄρα τῷ πλάσματι αὐτῶν καὶ τοῦτο προστραγῳδήσουσιν, ὅτι ἐγενόμην καὶ ἔκφρων ποτέ, ὥστε ἀγνοεῖν αὐτὸς τὰ ἑαυτοῦ ῥήματα. Ἐπὶ γὰρ τῶν λογισμῶν ὑπάρχων τῶν ἐμαυτοῦ, οὐδὲν οἶδα ποιήσας τοιοῦτον, οὐδὲ προελόμενος τὴν ἀρχήν. Ἀλλ' ἐκεῖνο μᾶλλον ἐμαυτῷ συνεπίσταμαι, ὅτι ἐκ πρώτης ἡλικίας συνετράφην τῷ περὶ αὐτὸν φίλτρῳ, καὶ ἀπέβλεπον πρὸς τὸν ἄνδρα, ὡς μὲν γεραρὸς ἰδεῖν, ὡς δὲ μεγαλοπρεπής, ὅσον δὲ ἔχων τὸ ἱεροπρεπὲς ἐν τῷ εἴδει. Ἐπεὶ δέ μοι λοιπὸν καὶ ὁ λόγος παρῆν, τότε δὴ καὶ ἀπὸ τῶν τῆς ψυχῆς ἀγαθῶν αὐτὸν ἐπεγίνωσκον, καὶ ἔχαιρον αὐτοῦ τῇ συνουσίᾳ, τὸ ἁπλοῦν καὶ γενναῖον καὶ ἐλευθέριον τῶν τρόπων καταμανθάνων καὶ ὅσα ἄλλα ἦν τοῦ ἀνδρὸς ἴδια, ἡ τῆς ψυχῆς ἡμερότης, τὸ μεγαλοφυές τε ὁμοῦ καὶ πρᾶον, τὸ εὐπρεπές, τὸ ἀόργητον, τὸ φαιδρὸν καὶ εὐπρόσιτον τῇ σεμνότητι κεκραμένον. Ὥστε αὐτὸν ἐναρίθμιον εἶχον τοῖς περιφανεστάτοις κατ' ἀρετήν.

2. Περὶ μέντοι τὰ τελευταῖα τοῦ βίου (οὐ γὰρ ἀποκρύψομαι ταληθὲς) ἐλυπήθημεν ἐπ' αὐτῷ λύπην οὐκ ἀνεκτήν, μετὰ πολλῶν τῶν ἐν τῇ πατρίδι φοβουμένων τὸν Κύριον, ἐπὶ τῇ ὑπογραφῇ τῆς πίστεως, τῆς ὑπὸ τῶν περὶ Γεώργιον ἀπὸ Κωνσταντινουπόλεως κομισθείσης. Εἶτα, οἷος ἐκεῖνος πραότητι τρόπου καὶ ἐπιεικείᾳ

---

5. Ὁ Διάνιος ἀπέθανε τὸ 362 καὶ τὸν διεδέχθη ὁ Εὐσέβιος, προκάτοχος τοῦ Βασιλείου.

6. Γεώργιος ὁ Καππαδόκης, ἀντεπίσκοπος Ἀλεξανδρείας, τοποθετηθεὶς ὑπὸ τοῦ ἀρειανοφίλου αὐτοκράτορος Κωνσταντίου.

πέ μου, ἀνεθεμάτισα τὸν μακαριώτατον Διάνιον[5]; Διότι δι' αὐτὸ μὲ κατηγόρησαν. Ποῦ ἢ πότε; Ἐπὶ παρουσίᾳ ποίων; Διὰ ποίαν ἀφορμήν; Μὲ ἁπλᾶ λόγια ἢ μὲ ἔγγραφα; Ἀκολουθῶν ἄλλους ἢ ὁ ἴδιος ἀναλαμβάνων τὴν πρωτοβουλίαν καὶ τὴν εὐθύνην τοῦ τολμήματος; Πόσον ἀναιδεῖς εἶναι αὐτοὶ ποὺ εὔκολα προφέρουν τὰ πάντα! Πόσον καταφρονοῦν τὰ κρίματα τοῦ Θεοῦ! Ἐκτὸς ἐὰν εἰς τὰ πλάσματα τῆς φαντασίας των προσθέσουν καὶ αὐτὴν τὴν τραγῳδίαν, ὅτι δηλαδὴ κάποτε ἔγινα παράφρων, ὥστε ν' ἀγνοῶ τὰ λόγια μου. Διότι, ὅσον εἶμαι εἰς τὰ λογικά μου, δὲν γνωρίζω νὰ ἔκαμα τίποτε τέτοιο οὔτε νὰ τὸ ἔχω σκεφθῆ κἄν. Ἀλλὰ μᾶλλον ἐκεῖνο γνωρίζω καλά, ὅτι ἀπὸ τὴν παιδικήν μου ἡλικίαν ἀνετράφην μὲ τὴν ἀγάπην πρὸς αὐτὸν καὶ ἔβλεπα τὸν ἄνδρα μὲ θαυμασμὸν διὰ τὴν ἐπιβλητικότητα τῆς ἐμφανίσεως, τὴν μεγαλοπρέπειαν καὶ τὴν ἱεροπρέπειαν τῆς μορφῆς του. Ὅταν δὲ ἀπέκτησα καὶ λογικὴν κρίσιν, τότε τὸν ἐγνώρισα καὶ ἀπὸ τὰ ψυχικὰ ἀγαθά του καὶ ἐδοκίμαζα χαρὰν ἀπὸ τὴν συναναστροφήν μαζί του παρατηρῶν τὴν γενναιότητα καὶ εὐγένειαν τῶν τρόπων καὶ τὰς ἄλλας ἰδιότητας τοῦ ἀνδρός, ὅπως εἶναι ἡ ἡμερότης τῆς ψυχῆς, ἡ μεγαλοφυΐα μαζὶ μὲ τὴν πραότητα, ἡ εὐπρέπεια, ἡ ἀοργησία, ἡ φαιδρότης καὶ τὸ εὐπρόσιτον ἀνάμικτον μὲ τὴν σεμνότητα. Οὕτω τὸν εἶχα συγκαταριθμήσει εἰς τοὺς περιφημοτέρους διὰ τὴν ἀρετὴν ἄνδρας.

2. Κατὰ τὸ τέλος τοῦ βίου του ὅμως —δὲν θὰ ἀποκρύψω τὴν ἀλήθειαν— ἐλυπήθημεν δι' αὐτὸν ὑπερβολικά, μαζὶ μὲ πολλοὺς συμπατριώτας μας ποὺ σέβονται τὸν Κύριον, διὰ τὴν ὑπογραφὴν τῆς ὁμολογίας πίστεως, ποὺ ἔφεραν οἱ περὶ τὸν Γεώργιον[6] ἀπὸ τὴν Κωνσταντινούπολιν[7]. Ἔπειτα, ὅπως κατεδέχετο αὐτὸς μὲ τὴν πραότητα καὶ ἐπιείκειαν τῶν τρό-

7. Τὸ σύμβολον τῆς Κωνσταντινουπόλεως ἐξέφραζε τὰς ἀπόψεις τῶν Ὁμοίων, δηλαδὴ τῶν μέσων Ἀρειανῶν. Ἔλεγεν ὅτι ὁ Υἱὸς «εἶναι ὅμοιος τῷ γεννήσαντι αὐτὸν Πατρὶ κατὰ τὰς Γραφάς». Ὁ Διάνιος, χωρὶς ν' ἀντιληφθῇ τὴν παρέκκλισιν καὶ χάριν εἰρηνεύσεως τῶν ἐκκλησιαστικῶν πραγμάτων, τὸ ὑπέγραψε.

πάντας πληροφορεῖν ἐν σπλάγχνοις πατρικοῖς ἀνεχόμενος, ἤδη καταπεσὼν εἰς τὴν ἀρρωστίαν ὑφ' ἧς καὶ μετῆλθεν ἀπὸ τοῦ βίου, προσκαλεσάμενος ἡμᾶς ἔφη ὑπὸ μάρτυρι τῷ Κυρίῳ συντεθεῖσθαι μὲν τῷ ἀπὸ Κωνσταντινουπόλεως γραμματείῳ, μηδὲν δὲ ἐπ' ἀθετήσει τῆς κατὰ Νίκαιαν ὑπὸ τῶν ἁγίων πατέρων ἐκτεθείσης πίστεως προελέσθαι· μηδὲ ἄλλως ἔχειν ἐν τῇ καρδίᾳ ἢ ὡς παρέλαβεν ἐξ ἀρχῆς, ἀλλὰ καὶ εὔχεσθαι μὴ χωρισθῆναι τῆς μερίδος τῶν μακαρίων ἐκείνων ἐπισκόπων, τῶν τριακοσίων δέκα καὶ ὀκτώ, τῶν τὸ εὐσεβὲς κήρυγμα διαγγειλάντων τῇ οἰκουμένῃ· ὥστε ἡμᾶς λύσαντας πᾶσαν τῶν καρδιῶν τὴν διάκρισιν προσελθεῖν τῇ κοινωνίᾳ καὶ λυπουμένους παύσασθαι. Τὰ μὲν οὖν ἡμέτερα πρὸς τὸν ἄνδρα τοιαῦτα. Εἰ δέ τις λέγοι τινὰ βλασφημίαν εἰς αὐτὸν ἡμῖν συνεγνωκέναι, μὴ κατὰ γωνίαν θρυλείτω δουλοπρεπῶς, ἀλλ' εἰς τὸ φανερὸν ἀντικαταστὰς διελεγχέτω μετὰ παρρησίας.

218

52. ΚΑΝΟΝΙΚΑΙΣ

1. Ὅσον ἠνίασεν ἡμᾶς πρότερον φήμη λυπηρὰ τὰς ἀκοὰς ἡμῶν περιηχήσασα, τοσοῦτον ηὔφρανεν ἡμᾶς ὁ θεοφιλέστατος

---

8. Ἀπὸ αὐτὸ συνάγεται ὅτι ὁ Βασίλειος τότε, διάκονος ἀκόμη, εἶχε διακόψει τὴν κοινωνίαν μὲ τὸν ἐπίσκοπόν του, καὶ ὅτι ἐκοινώνησεν ὀλίγον πρὸ τοῦ θανάτου του. Ἀλλὰ δὲν τὸν ἀνεθεμάτισε ποτέ.

9. Προφανῶς αἱ διαδόσεις ἀπέβλεπαν εἰς τὸ νὰ κλονίσουν τὴν θέσιν τοῦ Βασιλείου κατὰ τὴν ἀρχὴν τοῦ ἀρχιεπισκοπικοῦ του σταδίου. Ὡς συκοφαντικαὶ δὲ διεσπείροντο κρυφίως.

πων νὰ ἱκανοποιῇ τοὺς πάντας ὡς εὐσπλαγχνικὸς πατήρ, μόλις ἔπεσεν εἰς τὴν ἀρρώστειαν ἀπὸ τὴν ὁποίαν καὶ ἀπέθανε, μᾶς προσεκάλεσε καὶ εἶπε, μὲ μάρτυρα τὸν Κύριον, ὅτι, ἂν καὶ συνεφώνησε μὲν μὲ τὸ ἐκ Κωνσταντινουπόλεως κείμενον, δὲν εἶχε καθόλου σκεφθῇ ν' ἀθετήσῃ τὴν ὁμολογίαν πίστεως ποὺ εἶχε διατυπωθῇ εἰς τὴν Νίκαιαν ἀπὸ τοὺς ἁγίους πατέρας, καὶ ὅτι δὲν εἶχε τίποτε ἄλλο εἰς τὴν καρδίαν του παρὰ ἐκεῖνο ποὺ παρέλαβεν ἀπὸ τὴν ἀρχήν, καὶ ὅτι εὔχεται μάλιστα νὰ μὴ χωρισθῶμεν ἀπὸ τὴν μερίδα τῶν μακαρίων ἐκείνων ἐπισκόπων, τῶν τριακοσίων δέκα ὀκτώ, οἱ ὁποῖοι διεκοίνωσαν τὸ εὐσεβὲς κήρυγμα εἰς τὴν οἰκουμένην. Καὶ μᾶς παρεκάλεσε νὰ ἄρωμεν τὰς ἐπιφυλάξεις μας, νὰ προσέλθωμεν εἰς κοινωνίαν μὲ αὐτὸν καὶ νὰ παύσωμεν νὰ λυπούμεθα [8].

Ἡ ἰδική μας λοιπὸν συμπεριφορὰ πρὸς τὸν ἄνδρα τοιαύτη ἦτο. Ἐὰν δὲ κανεὶς ἰσχυρίζεται ὅτι γνωρίζει βλάσφημον λόγον μας ἐναντίον αὐτοῦ, ἂς μὴ τὸν διαδίδῃ δουλοπρεπῶς εἰς τὰς γωνίας, ἀλλ' ἂς ἔλθῃ φανερὰ ἐνώπιόν μας διὰ νὰ προσπαθήσῃ νὰ μᾶς ἐλέγξῃ μὲ παρρησίαν [9].

218

ΕΠΙΣΤΟΛΗ 52
ΠΡΟΣ ΚΑΝΟΝΙΚΑΣ

1. Ὅσον μᾶς ἔθλιψεν ἡ προηγουμένως ἐνοχλήσασα τὴν ἀκοήν μας λυπηρὰ φήμη, τόσον μᾶς ηὔφρανεν ὁ θεοφιλέστατος

Ἐπιστολὴ 52. Ἐγράφη εἰς τὰς ἀρχὰς τῆς ἀρχιερατείας τοῦ Βασιλείου καὶ ἴσως πρέπει νὰ συνδυασθῇ μὲ τὴν προηγουμένην. Ἀπευθύνεται εἰς μίαν γυναικείαν μοναχικὴν κοινότητα, ἡ ὁποία δὲν ἐξετίμα ἐπαρκῶς τὸν Βασίλειον, ὅπως καὶ αὐτὸς δὲν ἐξετίμα τὰς μοναχὰς τῆς κοινότητος ταύτης. Ὁ Βοσπόριος ἐμεσολάβησε νὰ ἀρθοῦν αἱ παρανοήσεις, αἱ ὁποῖαι ἀνεφέροντο εἰς τὴν ὀρθότητα τοῦ φρονήματος τῶν δύο πλευρῶν. Ἡ ἐπιστολὴ κατὰ τὸ πλεῖστον ἀποτελεῖ ἑρμηνείαν τοῦ ὅρου «ὁμοούσιος» τῆς Νικαίας.

ἐπίσκοπος, ὁ ἀδελφὸς ἡμῶν Βοσπόριος, τὰ χρηστότερα τῆς εὐλαβείας ὑμῶν διηγησάμενος. Ἔφη γὰρ τῇ τοῦ Θεοῦ χάριτι πάντα ἐκεῖνα τὰ θρυληθέντα ἀνθρώπων εἶναι κατασκευάσματα οὐκ ἀκριβῶς τὴν καθ' ὑμᾶς ἐπισταμένων ἀλήθειαν. Προσετίθει δὲ ὅτι καὶ διαβολὰς εὗρε παρ' ὑμῖν καθ' ἡμῶν ἀνοσίας καὶ τοιαύτας οἵας εἴποιεν ἂν οἱ μὴ ἐκδεχόμενοι καὶ περὶ ἀργοῦ ῥήματος δώσειν λόγον τῷ κριτῇ ἐν ἡμέρᾳ τῆς ἀνταποδόσεως αὐτοῦ τῆς δικαίας. Ὥστε ηὐχαρίστησα τῷ Κυρίῳ αὐτός τε ἰαθεὶς τὴν ἐφ' ὑμῖν βλάβην, ἥν, ὡς ἔοικεν, ἐκ συκοφαντίας ἀνθρώπων ἤμην παραδεξάμενος, ὑμᾶς τε ἀκούσας ἀποτεθεῖσθαι τὰς ψευδεῖς περὶ ἡμῶν ὑπολήψεις, ἐξ ὧν ἠκούσατε τοῦ ἀδελφοῦ ἡμῶν βεβαιωσαμένου· ὃς ἐν οἷς τὸ καθ' ἑαυτὸν ὑμῖν παρέστησε συναπέδειξε πάντως καὶ τὸ ἡμέτερον. Ἓν γὰρ ἐν ἀμφοτέροις ἡμῖν τὸ τῆς πίστεως φρόνημα, ἐπειδὴ καὶ τῶν αὐτῶν πατέρων κληρονόμοι τῶν κατὰ τὴν Νίκαιαν ποτὲ τὸ μέγα τῆς εὐσεβείας ἐξαγγειλάντων κήρυγμα· οὗ τὰ μὲν ἄλλα πάντα πᾶσίν ἐστιν ἀσυκοφάντητα, τὴν δὲ τοῦ ὁμοουσίου φωνήν, κακῶς παρά τινων ἐκληφθεῖσαν, εἰσί τινες οἱ μήπω παραδεξάμενοι· οὓς καὶ μέμψαιτο ἄν τις δικαίως καὶ πάλιν μέντοι συγγνώμης αὐτοὺς ἀξιώσειεν. Τὸ μὲν γὰρ πατράσι μὴ ἀκολουθεῖν καὶ τὴν ἐκείνων φωνὴν κυριωτέραν τίθεσθαι τῆς ἑαυτῶν γνώμης ἐγκλήματος ἄξιον, ὡς αὐθαδείας γέμον· τὸ δὲ πάλιν ὑφ' ἑτέρων διαβληθεῖσαν αὐτὴν ὕποπτον ἔχειν, τοῦτο δή πως δοκεῖ τοῦ ἐγκλήματος αὐτοὺς μετρίως ἐλευθεροῦν. Καὶ γὰρ τῷ ὄντι οἱ ἐπὶ Παύλῳ τῷ Σαμοσατεῖ συν-

1. Ὁ ἐπίσκοπος Βοσπόριος.

2. Ὁ Παῦλος αὐτός, ἐπίσκοπος Ἀντιοχείας, εἶναι ἡγέτης ἀντιτριαδικῆς αἱρέσεως, κατὰ τὴν ὁποίαν ὁ Λόγος καὶ τὸ Πνεῦμα δὲν εἶναι πρόσωπα, ἀλλὰ δυνάμεις ἢ ἐνέργειαι τοῦ Θεοῦ. Σειρὰ συνόδων εἰς τὴν Ἀντιόχειαν ἠσχολήθη μὲ τὴν ὑπόθεσίν του καὶ ἡ τελευταία (270) τὸν κατεδίκασε καὶ τὸν ἀπεμάκρυνεν ἀπὸ τὴν ἕδραν του.

3. Ἐπειδὴ τότε δὲν ὑπῆρχεν ἀκόμη σαφὴς διδασκαλία περὶ ὑποστάσεως τριαδικῆς (Πατρὸς Υἱοῦ Πνεύματος) καὶ οὐσίας (ἀνηκούσης εἰς τὸ σύνολον

ἐπίσκοπος, ὁ ἀδελφός μας Βοσπόριος, μεταδώσας εἰς ἡμᾶς τὰς καλυτέρας εἰδήσεις περὶ τῆς εὐλαβείας σας. Πράγματι εἶπεν ὅτι μὲ τὴν χάριν τοῦ Θεοῦ ὅλα ἐκεῖνα τὰ θρυληθέντα εἶναι κατασκευάσματα ἀνθρώπων ποὺ δὲν γνωρίζουν μὲ ἀκρίβειαν τὴν σχετικῶς μὲ σᾶς ἀλήθειαν.

Προσέθεσε δὲ εἰς αὐτὰ ὅτι εὗρεν εἰς σᾶς καὶ συκοφαντίας ἐναντίον ἡμῶν ἀσεβεῖς καὶ τοιαύτας ποὺ θὰ ἔλεγαν μόνον ἐκεῖνοι ποὺ δὲν παραδέχονται ὅτι θὰ δώσουν λογαριασμὸν εἰς τὸν κριτὴν κατὰ τὴν ἡμέραν τῆς δικαίας ἀνταποδόσεως ἀκόμη καὶ διὰ κάθε μάταιον λόγον. Ὥστε ηὐχαρίστησα τὸν Κύριον ποὺ καὶ ἐγὼ ὁ ἴδιος ἐθεραπεύθην ἀπὸ τὴν ἐπιβλαβῆ διὰ σᾶς γνώμην, τὴν ὁποίαν προφανῶς ἐσχημάτισα ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ διὰ σᾶς ἤκουσα ὅτι ἀπερρίψατε τὰς ψευδεῖς ἀντιλήψεις δι' ἡμᾶς ἔπειτα ἀπὸ ὅσα σᾶς διεβεβαίωσεν ὁ ἀδελφὸς ἡμῶν [1]. Διότι αὐτός, ὅταν ἐξέφραζεν εἰς σᾶς τὰς ἰδικάς του διαθέσεις, ἐδείκνυε τελείως καὶ τὰς ἰδικάς μας.

Πράγματι τὸ φρόνημα τῆς πίστεως εἶναι ἕνα καὶ εἰς τοὺς δύο ἡμᾶς, διότι εἴμεθα κληρονόμοι τῶν ἰδίων πατέρων, ἐκείνων ποὺ ἐξήγγειλαν παλαιὰ εἰς τὴν Νίκαιαν τὸ μέγα κήρυγμα τῆς εὐσεβείας. Τοῦ δόγματος τούτου, τὰ μὲν ἄλλα εἶναι ὅλα ἀσυκοφάντητα, τὸν δὲ ὅρον τοῦ ὁμοουσίου, ἐπειδὴ ὡρισμένοι τὸν ἐξέλαβαν ἐσφαλμένως, μερικοὶ δὲν τὸν παρεδέχθησαν ἀκόμη, αὐτοὺς δὲ καὶ νὰ τοὺς μεμφθῇ θὰ ἐδικαιοῦτο κανεὶς καὶ νὰ τοὺς συγχωρήσῃ θὰ ἤξιζε. Διότι τὸ νὰ μὴ ἀκολουθοῦν τοὺς πατέρας καὶ νὰ μὴ θεωροῦν ἐγκυροτέραν τὴν φωνὴν ἐκείνων ἀπὸ τὴν ἰδικήν των γνώμην εἶναι ἄξιον κατηγορίας, ὡς δεῖγμα ἐγωκεντρισμοῦ· ἀπὸ τὸ ἄλλο μέρος τὸ νὰ ὑποπτεύωνται τὸν ὅρον λόγῳ τοῦ ὅτι ἔχει διαβληθῆ ἀπὸ ἄλλους, τοῦτο τότε φαίνεται ὅτι τοὺς ἀπαλλάσσει κάπως ἀπὸ τὴν κατηγορίαν. Διότι πράγματι οἱ συναθροισθέντες διὰ τὴν ὑπόθεσιν τοῦ Παύλου Σαμοσατέως [2] ἐπέκριναν τὸν ὅρον ὡς ἀσαφῆ [3]. Εἶπαν δη-

τῆς θεότητος) ὁ ὅρος ὁμοούσιος ἠδύνατο νὰ παρεξηγηθῇ. Μετὰ τὴν σύνοδον τῆς Νικαίας (325) ἠδύνατο νὰ χρησιμοποιῆται ἀφόβως λόγῳ τῆς διακρίσεως οὐσίας τοῦ Θεοῦ καὶ ὑποστάσεως τῶν προσώπων.

ελθόντες διέβαλον τὴν λέξιν ὡς οὐκ εὔσημον. Ἔφασαν γὰρ ἐκεῖνοι τὴν τοῦ ὁμοουσίου φωνὴν παριστᾶν ἔννοιαν οὐσίας τε καὶ τῶν ἀπ' αὐτῆς, ὥστε καταμερισθεῖσαν τὴν οὐσίαν παρέχειν τοῦ ὁμοουσίου τὴν προσηγορίαν τοῖς εἰς ἃ διῃρέθη. Τοῦτο δὲ ἐπὶ χαλκοῦ μὲν καὶ τῶν ἀπ' αὐτοῦ νομισμάτων ἔχει τινὰ λόγον τὸ διανόημα, ἐπὶ Θεοῦ δὲ Πατρὸς καὶ Θεοῦ Υἱοῦ οὐκ οὐσία πρεσβυτέρα οὐδ' ὑπερκειμένη ἀμφοῖν θεωρεῖται· ἀσεβείας γὰρ ἐπέκεινα τοῦτο καὶ νοῆσαι καὶ φθέγξασθαι. Τί γὰρ ἂν γένοιτο τοῦ ἀγεννήτου πρεσβύτερον; Ἀναιρεῖται δὲ ἐκ τῆς βλασφημίας ταύτης καὶ ἡ εἰς τὸν Πατέρα καὶ Υἱὸν πίστις· ἀδελφὰ γὰρ ἀλλήλοις τὰ ἐξ ἑνὸς ὑφεστῶτα.

2. Καὶ ἐπειδὴ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παρῆχθαι τὸν Υἱὸν ἔτι τότε ἦσαν οἱ λέγοντες, ἵνα καὶ ταύτην ἐκτέμωσι τὴν ἀσέβειαν, τὸ ὁμοούσιον προσειρήκασιν. Ἄχρονος γὰρ καὶ ἀδιάστατος ἡ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα συνάφεια. Δηλοῖ δὲ καὶ τὰ προλαβόντα ῥήματα ταύτην εἶναι τῶν ἀνδρῶν τὴν διάνοιαν. Εἰπόντες γὰρ φῶς ἐκ φωτὸς καὶ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱὸν γεγενῆσθαι, οὐχὶ δὲ πεποιῆσθαι, ἐπήγαγον τούτοις τὸ ὁμοούσιον, παραδεικνύντες ὅτι ὅνπερ ἄν τις ἀποδῷ φωτὸς λόγον ἐπὶ Πατρός, οὗτος ἁρμόσει καὶ ἐπὶ Υἱοῦ. Φῶς γὰρ ἀληθινὸν πρὸς φῶς ἀληθινόν, κατ' αὐτὴν τοῦ φωτὸς τὴν ἔννοιαν, οὐδεμίαν ἔξει παραλλαγήν. Ἐπεὶ οὖν ἐστιν ἄναρχον φῶς ὁ Πατήρ, γεννητὸν δὲ φῶς ὁ Υἱός, φῶς δὲ καὶ φῶς ἑκάτερον, ὁμοούσιον εἶπαν δικαίως, ἵνα τὸ τῆς φύσεως ὁμότιμον παραστήσωσιν. Οὐ γὰρ τὰ ἀδελφὰ ἀλλήλοις ὁμοούσια λέγεται, ὅπερ τινὲς ὑπειλήφασιν, ἀλλ' ὅταν καὶ τὸ αἴτιον καὶ τὸ ἐκ

4. Τότε, ὑπὸ τὴν ἔννοιαν τῆς ἐποχῆς τῆς συνόδου τῆς Νικαίας (325).

5. Τὸ σύμβολον τῆς Νικαίας ἔλεγεν εἰς τὸ σημεῖον αὐτό,
«Γεννηθέντα ἐκ τοῦ Πατρὸς μονογενῆ,
τουτέστιν ἐκ τῆς οὐσίας τοῦ Πατρός,
Θεὸν ἐκ Θεοῦ,
φῶς ἐκ φωτός,

λαδὴ ἐκεῖνοι ὅτι ὁ ὅρος ὁμοούσιος ἀποδίδει τὴν ἔννοιαν τῆς οὐσίας καὶ τῶν προερχομένων ἀπὸ τὴν οὐσίαν, ὥστε ὅταν μοιρασθῇ ἡ οὐσία νὰ παρέχῃ τὴν ὀνομασίαν τοῦ ὁμοουσίου εἰς τὰ μέρη ποὺ διῃρέθη. Βέβαια εἰς τὴν περίπτωσιν τοῦ χαλκοῦ καὶ τῶν ἐξ αὐτοῦ νομισμάτων ἡ ἐπιχειρηματολογία αὐτὴ ἔχει κάποιον νόημα, ἀλλ' εἰς τὴν περίπτωσιν τοῦ Θεοῦ Πατρὸς καὶ τοῦ Θεοῦ Υἱοῦ δὲν ὑπάρχει οὐσία πρεσβυτέρα αὐτῶν καὶ δυναμένη νὰ θεωρηθῇ ὡς ὑπερκειμένη αὐτῶν· τοῦτο ἄλλωστε καὶ νὰ τὸ σκεφθῇ καὶ νὰ τὸ εἴπῃ κανεὶς θὰ ὑπερέβαινε κάθε ἀσέβειαν. Διότι τί ἠμπορεῖ νὰ εἶναι πρεσβύτερον τοῦ ἀγεννήτου; Ἀναιρεῖται δὲ ἀπὸ τὴν βλασφημίαν ταύτην καὶ ἡ πίστις εἰς τὸν Πατέρα καὶ τὸν Υἱόν· διότι ἐκεῖνα ποὺ προέρχονται ἀπὸ ἕνα, εἶναι μεταξύ των ἀδελφά.

2. Καὶ ἐπειδὴ ἦσαν ἤδη καὶ τότε [4] μερικοὶ ποὺ ἰσχυρίζοντο ὅτι ὁ Υἱὸς παρήχθη ἐκ τοῦ μηδενὸς εἰς τὴν ὕπαρξιν, προσέθεσαν τὸ ὁμοούσιον διὰ νὰ ἀποκόψουν καὶ αὐτὴν τὴν ἀσέβειαν. Πράγματι ἡ συνάφεια τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα εἶναι ἄχρονος καὶ ἀδιάσπαστος. Δηλώνουν δὲ καὶ τὰ προηγούμενα εἰς τὸ σύμβολον λόγια ὅτι αὐτὴ ἦτο ἡ σκέψις τῶν ἀνδρῶν. Λέγοντες δηλαδὴ ὅτι ὁ Υἱὸς εἶναι φῶς ἐκ φωτὸς καὶ ἐγεννήθη ἀπὸ τὴν οὐσίαν τοῦ Πατρὸς [5] καὶ δὲν ἐποιήθη, προσέθεσαν τέλος εἰς αὐτὰ τὸ ὁμοούσιον δεικνύοντες ὅτι ἡ ἔννοια, ποὺ θ' ἀπέδιδε κανεὶς εἰς τὴν λέξιν φῶς ὡς πρὸς τὸν Πατέρα, ἁρμόζει καὶ ὡς πρὸς τὸν Υἱόν. Διότι καμμίαν διαφορὰν δὲν ἔχει τὸ ἀληθινὸν φῶς ἀπὸ τὸ ἀληθινὸν φῶς κατὰ τὴν ἰδίαν τὴν ἔννοιαν τοῦ φωτός. Ἐπειδὴ λοιπὸν ὁ Πατὴρ εἶναι ἄναρχον φῶς, γεννητὸν δὲ φῶς ὁ Υἱός, ὁ καθένας τους δὲ εἶναι φῶς καὶ φῶς, δικαίως τὸ εἶπαν ὁμοούσιον, διὰ νὰ παραστήσουν τὸ ὁμότιμον τῆς φύσεως. Πράγματι δὲν λέγονται ὁμοούσια τὰ μεταξύ των ἀδελφά, ὅπως νομίζουν μερικοί, ἀλ-

---

Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ,
γεννηθέντα οὐ ποιηθέντα,
ὁμοούσιον τῷ Πατρί».

τοῦ αἰτίου τὴν ὕπαρξιν ἔχον τῆς αὐτῆς ὑπάρχῃ φύσεως, ὁμοούσια λέγεται.

3. Αὕτη δὲ ἡ φωνὴ καὶ τὸ τοῦ Σαβελλίου κακὸν ἐπανορθοῦται· ἀναιρεῖ γὰρ τὴν ταυτότητα τῆς ὑποστάσεως καὶ εἰσάγει τελείαν τῶν προσώπων τὴν ἔννοιαν (οὐ γὰρ αὐτό τί ἐστιν ἑαυτῷ ὁμοούσιον, ἀλλ' ἕτερον ἑτέρῳ)· ὥστε καλῶς ἔχει καὶ εὐσεβῶς, τῶν τε ὑποστάσεων τὴν ἰδιότητα διορίζουσα καὶ τῆς φύσεως τὸ ἀπαράλλακτον παριστῶσα. Ὅταν δὲ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱὸν εἶναι διδασκώμεθα καὶ γεννηθέντα, ἀλλ' οὐχὶ ποιηθέντα, μὴ καταπίπτωμεν ἐπὶ τὰς σωματικὰς τῶν παθῶν ἐννοίας. Οὐ γὰρ ἐμερίσθη ἡ οὐσία ἀπὸ Πατρὸς εἰς Υἱόν, οὐδὲ ῥυεῖσα ἐγέννησεν, οὐδὲ προβαλοῦσα, ὡς τὰ φυτὰ τοὺς καρπούς, ἀλλ' ἄρρητος καὶ ἀνεπινόητος λογισμοῖς ἀνθρώπων τῆς θείας γεννήσεως ὁ τρόπος. Ταπεινῆς γὰρ τῷ ὄντι καὶ σαρκίνης ἐστὶ διανοίας τοῖς φθαρτοῖς καὶ προσκαίροις ἀφομοιοῦν τὰ ἀΐδια καὶ οἴεσθαι ὅτι, ὡς τὰ σωματικά, οὕτω γεννᾷ καὶ ὁ Θεὸς ὁμοίως, δέον ἐκ τῶν ἐναντίων λαμβάνειν τὰς ἀφορμὰς πρὸς τὴν εὐσέβειαν, ὅτι, ἐπειδὴ τὰ θνητὰ οὕτως, ὁ ἀθάνατος οὐχ οὕτως. Οὔτε οὖν ἀρνεῖσθαι δεῖ τὴν θείαν γέννησιν, οὔτε σωματικαῖς ἐννοίαις καταρρυποῦν ἑαυτοῦ τὴν διάνοιαν.

4. Τὸ δὲ Πνεῦμα τὸ Ἅγιον Πατρὶ μὲν καὶ Υἱῷ συναριθμεῖται, διὸ καὶ ὑπὲρ τὴν κτίσιν ἐστί, τέτακται δὲ ὡς ἐν Εὐαγγελίῳ δεδιδάγμεθα παρὰ τοῦ Κυρίου εἰπόντος· «Πορευθέντες βαπτίζετε εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος». Ὁ δὲ προτιθεὶς Υἱοῦ ἢ πρεσβύτερον λέγων Πατρός, οὗτος ἀνθίσταται μὲν τῇ τοῦ Θεοῦ διαταγῇ, ἀλλότριος δὲ τῆς ὑγι-

---

6. Ὁ Σαβέλλιος εἶναι αἱρεσιάρχης τοῦ 3ου αἰῶνος προερχόμενος ἀπὸ τὴν Λιβύην. Τὸν Θεὸν ἐξελάμβανεν ὡς ἑνιαῖον ὄν, τὸ ὁποῖον κατὰ περιστάσεις ἐκδηλώνεται καὶ ἐμφανίζεται ὡς Πατὴρ ἢ ὡς Υἱὸς ἢ ὡς Πνεῦμα. Εἰς

λὰ λέγονται ὁμοούσια ἐκεῖνα, εἰς τὰ ὁποῖα καὶ τὸ αἴτιον καὶ τὸ προερχόμενον ἀπὸ τὸ αἴτιον ἔχουν τὴν ἰδίαν φύσιν.

3. Αὐτὸς δὲ ὁ ὅρος διορθώνει καὶ τὸ κακὸν τοῦ Σαβελλίου [6], ἀφοῦ ἀναιρεῖ τὴν ταυτότητα τῆς ὑποστάσεως καὶ εἰσάγει πλήρη τὴν ἔννοιαν τῶν προσώπων. —Πράγματι ὁμοούσιον δὲν εἶναι ἕνα πρᾶγμα πρὸς ἑαυτό, ἀλλὰ ἕνα πρᾶγμα πρὸς ἕτερον—. Ἑπομένως καλῶς καὶ εὐσεβῶς ἔχει, ἀφοῦ καὶ τὴν διάκρισιν τῶν ὑποστάσεων καθορίζει καὶ τὸ ἀπαράλλακτον τῆς φύσεως παριστᾷ. Ὅταν δὲ διδασκώμεθα ὅτι ὁ Υἱὸς εἶναι ἀπὸ τὴν οὐσίαν τοῦ Πατρὸς καὶ ἐγεννήθη, δὲν ἐποιήθη, δὲν πρέπει νὰ κατέλθωμεν εἰς τὰς σωματικὰς ἐννοίας τῶν παθῶν. Δὲν ἐμερίσθη βέβαια ἡ οὐσία ἀπὸ τὸν Πατέρα εἰς τὸν Υἱόν, οὔτε ἐγέννησεν, εἴτε διὰ ροῆς εἴτε διὰ προβολῆς, ὅπως τὰ φυτὰ τοὺς καρπούς· ὁ τρόπος τῆς θείας γεννήσεως εἶναι ἄρρητος καὶ ἀνεπινόητος εἰς τοὺς λογισμοὺς τῶν ἀνθρώπων. Εἶναι ἰδιότης ταπεινῆς πράγματι καὶ σαρκίνης διανοίας τὸ νὰ ἐξομοιώνῃ τὰ ἄϊδια μὲ τὰ φθαρτὰ καὶ πρόσκαιρα καὶ νὰ νομίζουν ὅτι, ὅπως τὰ σωματικά, οὕτω γεννᾷ καὶ ὁ Θεὸς ὁμοίως. Τὰ ἐπιχειρήματα διὰ τὴν εὐσεβῆ διδασκαλίαν πρέπει νὰ λαμβάνωμεν ἀπὸ τὰ ἀντίθετα, σκεπτόμενοι ὅτι, ἐπειδὴ τὰ θνητὰ πράττουν οὕτως, ὁ Ἀθάνατος ὄχι οὕτως. Λοιπὸν δὲν πρέπει οὔτε ν' ἀρνῆται κανεὶς τὴν θείαν γέννησιν οὔτε μὲ σωματικὰς ἐννοίας νὰ καταρρυπώνῃ τὴν διάνοιάν του.

4. Τὸ δὲ Ἅγιον Πνεῦμα συναριθμεῖται μὲν μὲ τὸν Πατέρα καὶ τὸν Υἱόν, διὸ καὶ εἶναι ὑπὲρ τὴν κτίσιν, συντάσσεται δέ, ὅπως ἔχομεν διδαχθῆ εἰς τὸ Εὐαγγέλιον ἀπὸ τὸν Κύριον ποὺ εἶπε· «Πορευθέντες βαπτίζετε εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος» [7]. Ἐκεῖνος δὲ ποὺ τὸ τοποθετεῖ πρὸ τοῦ Υἱοῦ ἢ τὸ θεωρεῖ παλαιότερον τοῦ Πατρός, αὐτὸς ἀνθίσταται εἰς τὴν διαταγὴν τοῦ Θεοῦ, εἶναι δὲ ξένος πρὸς τὴν

τὴν πραγματικότητα αὐτὰ εἶναι προσωπεῖα, ὄχι πραγματικαὶ ὑποστάσεις, προσωπικότητες.

7. Ματθ. 28, 19.

αινούσης πίστεως, μὴ δν παρέλαβε τρόπον δοξολογίας φυλάττων, ἀλλ' ἑαυτῷ καινοφωνίαν εἰς ἀρέσκειαν ἀνθρώπων ἐπινοῶν. Εἰ γὰρ ἀνώτερον Θεοῦ, οὐκ ἐκ τοῦ Θεοῦ. Γέγραπται γάρ· «Τὸ δὲ Πνεῦμα ἐκ τοῦ Θεοῦ». Εἰ δὲ ἐκ τοῦ Θεοῦ, πῶς πρεσβύτερόν ἐστι τοῦ ἐξ οὗ ἐστι; Τίς δὲ καὶ ἡ παράνοια, ἑνὸς ὄντος τοῦ ἀγεννήτου, ἄλλο τι λέγειν τοῦ ἀγεννήτου ἀνώτερον; Ἀλλ' οὐδὲ τοῦ Μονογενοῦς πρότερον· οὐδὲν γὰρ μέσον Υἱοῦ καὶ Πατρός. Εἰ δὲ μή ἐστιν ἐκ Θεοῦ, διὰ Χριστοῦ δέ ἐστιν, οὐδέ ἐστι τὸ παράπαν. Ὥστε ἡ περὶ τὴν τάξιν καινοτομία αὐτῆς τῆς ὑπάρξεως ἀθέτησιν ἔχει καὶ ὅλης τῆς πίστεώς ἐστιν ἄρνησις. Ὁμοίως οὖν ἐστιν ἀσεβὲς καὶ ἐπὶ τὴν κτίσιν καταγαγεῖν καὶ ὑπερτιθέναι αὐτὸ Υἱοῦ ἢ Πατρός, ἢ κατὰ τὸν χρόνον ἢ κατὰ τὴν τάξιν. Ἃ μὲν οὖν ἤκουσα ἐπιζητεῖσθαι παρὰ τῆς εὐλαβείας ὑμῶν, ταῦτά ἐστιν· ἐὰν δὲ δῷ ὁ Κύριος καὶ εἰς ταὐτὸν ἡμᾶς ἀλλήλοις γενέσθαι, τάχα ἄν τι καὶ περὶ τούτων πλέον εἴποιμεν καὶ αὐτοὶ δ' ἂν περὶ ὧν ἐπιζητοῦμεν εὕροιμέν τινα παρ' ὑμῶν πληροφορίαν.

219

102. ΤΟΙΣ ΣΑΤΑΛΕΥΣΙ ΠΟΛΙΤΑΙΣ

Ἐγὼ τάς τε ἰδίας ὑμῶν παρακλήσεις καὶ τὰς τοῦ λαοῦ παντὸς δυσωπηθεὶς καὶ ἐδεξάμην τὴν φροντίδα τῆς καθ' ὑμᾶς Ἐκ-

8. Α' Κορ. 2, 12.

9. Εἶναι προφανὲς ὅτι αἱ μοναχαὶ ἐκεῖναι δὲν ὑποτιμοῦσαν τὸ Ἅγιον Πνεῦμα, ἀλλὰ τὸ ὑπερτιμοῦσαν ὡς ρίζαν τῆς θεότητος.

ὑγιῆ πίστιν, ἀφοῦ δὲν φυλάττει τὸν τρόπον δοξολογίας ποὺ παρέλαβεν, ἀλλ' ἐφευρίσκει ὁ ἴδιος νεολογισμοὺς διὰ νὰ ἀρέσῃ εἰς τοὺς ἀνθρώπους. Διότι, ἐὰν εἶναι ἀνώτερον τοῦ Θεοῦ, δὲν εἶναι ἀπὸ τὸν Θεόν. Ἔχει πράγματι γραφῆ· «τὸ δὲ Πνεῦμα ἐκ τοῦ Θεοῦ» [8]. Ἐὰν δὲ εἶναι ἀπὸ τὸν Θεόν, πῶς εἶναι πρεσβύτερον αὐτοῦ ἀπὸ τὸ ὁποῖον προέρχεται; Ποία δὲ εἶναι καὶ ἡ παραφροσύνη ποὺ ἐπιτρέπει νὰ λέγῃ κανεὶς κάτι ἄλλο ἀνώτερον τοῦ ἀγεννήτου, ἐνῷ τὸ ἀγέννητον εἶναι ἕνα;

Ἀλλ' οὔτε τοῦ Μονογενοῦς προηγεῖται, ἀφοῦ δὲν ὑπάρχει τίποτε μέσον μεταξὺ τοῦ Υἱοῦ καὶ τοῦ Πατρός. Ἐὰν δὲ δὲν εἶναι ἀπὸ τὸν Θεόν, εἶναι δὲ διὰ τοῦ Χριστοῦ, τότε δὲν ὑπάρχει κἄν. Ὥστε ἡ καινοτομία ὡς πρὸς τὴν κατάταξιν τοῦ Πνεύματος σημαίνει ἀθέτησιν τῆς ἰδίας τῆς ὑπάρξεως καὶ εἶναι ἄρνησις ὁλοκλήρου τῆς πίστεως. Εἶναι λοιπὸν ἐξ ἴσου ἀσεβὲς καὶ εἰς τὴν κτίσιν νὰ τὸ ὑποβιβάζῃς καὶ νὰ τὸ τοποθετῇς ὑψηλότερα ἀπὸ τὸν Υἱὸν καὶ τὸν Πατέρα ἢ κατὰ τὸν χρόνον ἢ κατὰ τὴν τάξιν [9].

Ἐκεῖνα λοιπὸν ποὺ ἤκουσα ὅτι ἡ εὐλάβειά σας ἐζήτησε νὰ διασαφηθοῦν αὐτὰ εἶναι. Ἐὰν δὲ δώσῃ ὁ Κύριος νὰ συναντηθῶμεν κάποτε, θὰ εἴπωμεν ἴσως κάτι περισσότερον ἀπὸ αὐτὰ καὶ ἡμεῖς δὲ ἴσως εὕρωμεν κάποιαν πληροφορίαν ἀπὸ σᾶς δι' ὅσα ἐρευνῶμεν.

219

ΕΠΙΣΤΟΛΗ 102
ΠΡΟΣ ΤΟΥΣ ΠΟΛΙΤΑΣ ΤΩΝ ΣΑΤΑΛΩΝ

Ἐγὼ συγκινηθεὶς ἀπὸ τὰς παρακλήσεις τὰς ἰδικάς σας καὶ ὁλοκλήρου τοῦ λαοῦ ἐδέχθην νὰ φροντίσω διὰ τὴν Ἐκ-

Ἐπιστολὴ 102. Ἐγράφη τὸ φθινόπωρον τοῦ 372 πρὸς τοὺς «πολίτας», δηλαδὴ τὰ μέλη τῆς τοπικῆς βουλῆς τῶν Σατάλων. Ὅταν ὁ Βασίλειος μετέβη εἰς τὰ Σάταλα, ἐκκλησιαστικὴν πρωτεύουσαν τῆς βυζαντινῆς Ἀρμενίας, τὸ 372, οἱ κάτοικοι τοῦ ἐζήτησαν ἐπίσκοπον, αὐτὸς ὅμως, ἐπειδὴ δὲν τὸν

κλησίας καὶ ὑπεσχόμην ὑμῖν ἐνώπιον Κυρίου μηδὲν ἐλλείψειν τῶν εἰς δύναμιν ἐμὴν ἡκόντων. Διὸ ἠναγκάσθην, κατὰ τὸ γεγραμμένον, οἷον τῆς κόρης τοῦ ἐμοῦ ὀφθαλμοῦ ἅψασθαι. Οὕτως τὸ ὑπερβάλλον τῆς καθ' ὑμᾶς τιμῆς οὐδενὸς μοι συνεχώρησεν εἰς μνήμην ἐλθεῖν, οὐ συγγενείας, οὐ τῆς ἐκ παιδὸς συνηθείας τῆς ὑπαρχούσης μοι πρὸς τὸν ἄνδρα, πρὸ τῶν παρ' ὑμῶν αἰτηθέντων· ἀλλὰ πάντων μὲν τῶν ἰδίᾳ μοι ὑπαρχόντων πρὸς αὐτὸν εἰς οἰκειότητος λόγον ἐπιλαθόμενος, μὴ ὑπολογισάμενος δὲ μηδὲ τοῦ στεναγμοῦ τὸ πλῆθος ὃ καταστενάξει μου ὁ λαὸς ὁ τὴν προστασίαν αὐτοῦ ζημιωθείς, μὴ πάσης αὐτοῦ τῆς συγγενείας τὸ δάκρυον, μὴ μητρὸς αὐτοῦ γηραιᾶς καὶ ἐπὶ μόνῃ τῇ παρ' αὐτοῦ θεραπείᾳ σαλευούσης τὴν θλῖψιν εἰς καρδίαν λαβών· πάντων ὁμοῦ τοιούτων ὄντων καὶ τοσούτων ἀλογήσας ἑνὸς ἐγενόμην τοῦ τὴν ὑμετέραν Ἐκκλησίαν κατακοσμῆσαι μὲν τῇ τοῦ τηλικούτου ἀνδρὸς προστασίᾳ, βοηθῆσαι δὲ αὐτῇ ἐκ τῆς χρονίας ἀπροστασίας εἰς γόνυ λοιπὸν κλιθείσῃ καὶ πολλῆς καὶ δυνατῆς χειραγωγίας εἰς τὸ διαναστῆναι δεομένῃ. Τὰ μὲν οὖν ἡμέτερα τοιαῦτα. Τὰ δὲ παρ' ὑμῶν ἀπαιτοῦμεν λοιπὸν μὴ ἐλάττονα φανῆναι τῆς ἡμετέρας ἐλπίδος καὶ τῶν ὑποσχέσεων ἃς πεποιήμεθα τῷ ἀνδρί, ὅτι πρὸς οἰκείους καὶ φίλους αὐτὸν ἐξεπέμψαμεν, ἑκάστου ὑμῶν ὑπερβαλέσθαι τὸν ἕτερον ἐν τῇ περὶ τὸν ἄνδρα σπουδῇ καὶ ἀγάπῃ προθυμουμένου. Ὅπως οὖν ἐπιδείξησθε τὴν καλὴν ταύτην φιλοτιμίαν καὶ τῷ ὑπερβάλλοντι τῆς θεραπείας παρακαλέσητε αὐτοῦ τὴν καρδίαν, ὥστε λήθην μὲν αὐτῷ ἐγγενέσθαι πατρίδος, λήθην δὲ συγγενῶν, λήθην δὲ λαοῦ τοσοῦτον ἐξηρτημένου τῆς προστασίας αὐτοῦ ὅσον παιδίον νεαρὸν τῆς μητρῴας θηλῆς. Προα-

---

εἶχεν ἀκολουθήσει ὁ Θεόδοτος Νικοπόλεως εἰς τὴν ἀποστολὴν καὶ ἦτο μόνος ἀνέβαλε τὴν ἐπιλογὴν καὶ χειροτονίαν ἐπισκόπου. Τώρα ἀναγγέλλει

κλησίαν σας καὶ σᾶς ὑπεσχέθην ἐνώπιον τοῦ Κυρίου νὰ μὴ παραλείψω τίποτε ἀπὸ ὅσα ἐξαρτῶνται ἀπὸ τὴν δύναμίν μου. Διὰ τοῦτο ἠναγκάσθην, κατὰ τὸ γεγραμμένον, νὰ ἐγγίσω οὕτως εἰπεῖν τὴν κόρην τοῦ ὀφθαλμοῦ μου. Τόσον ἡ ὑπερβολὴ τῆς πρὸς σᾶς τιμῆς δὲν μοῦ ἐπέτρεψε νὰ ἐνθυμηθῶ τίποτε, οὔτε συγγένειαν οὔτε τὴν φιλίαν ποὺ ἔχω πρὸς τὸν ἄνδρα ἀπὸ τὰ παιδικὰ χρόνια, χάριν τοῦ αἰτήματός σας· ἀντιθέτως λησμονήσας ὅλους τοὺς ἰδιωτικοὺς δεσμοὺς ποὺ ἔχω μὲ αὐτόν, μὴ ὑπολογίσας δὲ οὔτε τὸ μέγεθος τοῦ στεναγμοῦ ποὺ θὰ ἀφήσῃ ὁ λαὸς ὅταν στερηθῇ τῆς διοικήσεώς του[1] οὔτε τὸ δάκρυον ὅλης τῆς συγγενείας του καὶ μὴ λαβὼν ὑπ' ὄψιν τὴν θλῖψιν τῆς γραίας μητρός, ἡ ὁποία ἀναπνέει μόνον μὲ τὴν ἐκ μέρους του ἐπιμέλειαν, παραμερίσας ὅλα αὐτὰ μαζί, τὰ ἀξιόλογα καὶ πολυάριθμα, ἐπεδίωξα μόνον ἕνα σκοπόν, νὰ στολίσω τὴν Ἐκκλησίαν σας μὲ τὴν ἡγεσίαν ἑνὸς τοιούτου ἀνδρὸς καὶ νὰ τὴν βοηθήσω, διότι ἀπὸ τὴν πολυχρόνιον ἀκυβερνησίαν ἔχει γονατίσει πλέον καὶ χρειάζεται πολλὴν καὶ δυνατὴν χειραγωγίαν διὰ νὰ σηκωθῇ πάλιν.

Αὐτὰ λοιπὸν διὰ τὰ ἰδικά μας. Ὅσον διὰ σᾶς δέ ζητοῦμεν ἡ συμπεριφορά σας νὰ μὴ φανῇ κατωτέρα τῆς ἐλπίδος μας καὶ τῶν ὑποσχέσεων ποὺ ἐδώσαμεν εἰς τὸν ἄνδρα, ὅτι δηλαδὴ τὸν ἐστείλαμεν πρὸς συγγενεῖς καὶ φίλους· ἐπομένως ὁ καθένας σας πρέπει νὰ προθυμοποιῆται νὰ ὑπερβάλῃ τὸν ἄλλον εἰς τὴν πρὸς τὸν ἄνδρα φροντίδα καὶ ἀγάπην. Ἀπαιτοῦμεν λοιπὸν νὰ ἐπιδείξετε τὴν καλὴν αὐτὴν φιλοτιμίαν καὶ μὲ τὰς ὑπερβολικὰς περιποιήσεις νὰ παρηγορήσετε τὴν καρδίαν του, ὥστε νὰ λησμονήσῃ τὴν πατρίδα, νὰ λησμονήσῃ τοὺς συγγενεῖς, νὰ λησμονήσῃ τὸν λαὸν ποὺ εἶναι ἐξηρτημένος ἀπὸ τὴν διοίκησίν του τόσον ὅσον εἶναι νεαρὸν παιδὶ ἀπὸ τὴν μητρικὴν θηλήν.

εἰς τοὺς Σαταλιεῖς ὅτι ἐπέλεξε δι' αὐτοὺς τὸν καταλληλότερον, τὸν Ποιμένιον, ὁ ὁποῖος ἦτο συγγενής του καὶ φίλος του. Βλ. ἐπιστολὴν 99 Β' τ.

1. Ὁ Ποιμένιος ἦτο πρεσβύτερος μέν, ἀλλ' ἀπὸ τοὺς μεγάλους παράγοντας τῆς Ἐκκλησίας τῆς Σεβαστείας.

πεστείλαμεν δὲ Νικίαν, ὥστε τὰ γενόμενα φανερὰ καταστῆσαι τῇ τιμιότητι ὑμῶν καὶ προλαβόντας ὑμᾶς ἑορτάζειν καὶ εὐχαριστεῖν τῷ Κυρίῳ τῷ δι' ἡμῶν καταξιώσαντι τὴν εὐχὴν ὑμῶν ἐκπληρωθῆναι.

220

103. ΤΟΙΣ ΣΑΤΑΛΕΥΣΙΝ

Ἤγαγεν εἰς ἔργον ὁ Κύριος τοῦ λαοῦ αὐτοῦ τὰ αἰτήματα, καὶ ἔδωκεν αὐτῷ διὰ τῆς ἡμετέρας ταπεινώσεως ποιμένα ἄξιον μὲν τοῦ ὀνόματος καὶ οὐ κατὰ τοὺς πολλοὺς καπηλεύοντα τὸν λόγον, δυνάμενον δὲ καὶ ἡμῖν τοῖς τὴν ὀρθότητα τοῦ κηρύγματος ἀγαπῶσι καὶ τὴν κατ' ἐντολὰς τοῦ Κυρίου ζωὴν καταδεξαμένοις ἀρέσκειν καθ' ὑπερβολὴν ἐν τῷ ὀνόματι τοῦ Κυρίου τοῦ πληρώσαντος αὐτὸν τῶν πνευματικῶν αὐτοῦ χαρισμάτων.

221

122. ΠΟΙΜΕΝΙΩ ΕΠΙΣΚΟΠΩ ΣΑΤΑΛΩΝ

Πάντως ἐπεζήτησας γράμματα παρὰ τῶν Ἀρμενίων, ὅτε ἐπανῆκαν διὰ σοῦ, καὶ τὴν αἰτίαν ἔμαθες δι' ἣν οὐκ ἔδωκα αὐτοῖς

Ἐπιστολὴ 103. Ἐγράφη τὴν ἰδίαν ἐποχὴν μὲ τὴν προηγουμένην ὑπ' ἀριθμὸν 102, τὸ φθινόπωρον τοῦ 372. Ἡ προηγουμένη ἀπευθύνεται πρὸς τοὺς πολιτευτὰς τῶν Σατάλων ἢ βουλευτάς, ἡ παροῦσα πρὸς ὁλόκληρον τὸν λαὸν τῆς πόλεως.

1. Ἐδῶ ἄξιον κυριολεκτικῶς τοῦ ὀνόματος ποιμένα, διότι ἐλέγετο Ποιμένιος.

Ἐπιστολὴ 122. Ἐγράφη τὸ 373. Ὁ Φαῦστος, συνεργάτης τοῦ Εὐ-

Ἐστείλαμεν δὲ πρὶν ἀπὸ αὐτὸν τὸν Νικίαν, ὥστε νὰ γνωστοποιήσῃ εἰς τὴν τιμιότητά σας τὰ γενόμενα καὶ οὕτω νὰ ἑορτάσετε ἀπὸ πρὶν καὶ νὰ εὐχαριστήσετε τὸν Κύριον ποὺ κατηξίωσε νὰ ἱκανοποιήσῃ τὴν εὐχὴν σας δι' ἡμῶν.

220

ΕΠΙΣΤΟΛΗ 103
ΠΡΟΣ ΤΟΥΣ ΣΑΤΑΛΙΕΙΣ

Ὁ Κύριος ἐπραγματοποίησε τὰ αἰτήματα τοῦ λαοῦ του καὶ τοῦ ἔδωσε διὰ μέσου τῆς ταπεινώσεώς μας ποιμένα ἄξιον τοῦ ὀνόματος,[1] ποὺ δὲν ἐμπορεύεται τὸν λόγον τοῦ Θεοῦ, ὅπως οἱ πολλοὶ καὶ ἡμπορεῖ ἐπίσης καὶ εἰς ἡμᾶς, οἱ ὁποῖοι ἀγαπῶμεν τὴν ὀρθότητα τοῦ κηρύγματος καὶ ἔχομεν προτιμήσει τὴν διαβίωσιν κατὰ τὰς ἐντολὰς τοῦ Κυρίου, νὰ ἀρέσῃ ὑπερβολικὰ ἐν ὀνόματι τοῦ Κυρίου, ὁ ὁποῖος τὸν ἐπλήρωσε μὲ τὰ πνευματικά του χαρίσματα.

221

ΕΠΙΣΤΟΛΗ 122
ΠΡΟΣ ΠΟΙΜΕΝΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΑΤΑΛΩΝ

Ἀναμφιβόλως ἐζήτησες γράμμα μου ἀπὸ τοὺς Ἀρμενίους, ὅταν ἐπέστρεψαν διὰ μέσου τῆς πόλεώς σου, καὶ ἔμαθες

σταθίου Σεβαστείας, μετέβη εἰς τὸν Βασίλειον μὲ συστατικὰ τοῦ Εὐσταθίου, διὰ νὰ τὸν χειροτονήσῃ ἐπίσκοπον τῶν Ἀρμενίων. Ὁ Βασίλειος τοῦ ἐζήτησε τότε καὶ τὸ σύμψηφον τοῦ Θεοδότου Νικοπόλεως — μετὰ τοῦ ὁποίου εἶχεν ὁρισθῆ ἀπὸ τὸν αὐτοκράτορα ὡς ἐπίτροπος διὰ τὴν ἐπάνδρωσιν τῆς Ἀρμενίας μὲ ἐπισκόπους — τοῦ Ποιμενίου Σατάλων καὶ τῶν ἄλλων ἐπισκόπων τῆς περιοχῆς, ἀλλὰ δὲν εἶχεν. Ὁ Βασίλειος δὲν ἐδέχθη νὰ τὸν χειροτονήσῃ χωρὶς αὐτό, ὁπότε ὁ Φαῦστος μετέβη εἰς τὸν Ἄνθιμον Τυάνων καὶ ἔλαβε τὴν χειροτονίαν.

τὴν ἐπιστολήν. Εἰ μὲν οὖν εἶπον φιλαληθῶς, ἔδωκας ἡμῖν αὐτόθεν τὴν συγγνώμην· εἰ δὲ ἀπεκρύψαντο ἐκεῖνοι, ὅπερ οὖν εἰκάζω, ἀλλὰ παρ' ἡμῶν ἄκουε. Ὁ τὰ πάντα γενναῖος Ἄνθιμος ὁ διὰ μακροῦ χρόνου τὴν πρὸς ἡμᾶς εἰρήνην σπεισάμενος, ἐπειδὴ εὗρε καιρὸν ἑαυτοῦ τε κενοδοξίαν ἐκπληρῶσαι καὶ ἡμῖν λύπην τινὰ προξενῆσαι, ἐχειροτόνησε τὸν Φαῦστον ἰδίᾳ αὐθεντίᾳ καὶ ἰδίᾳ χειρὶ οὐδενὸς ὑμῶν ἀναμείνας ψῆφον καὶ ἡμῶν καταγελάσας ἀκριβολογουμένων περὶ τὰ τοιαῦτα. Ἐπεὶ οὖν συνέχεε μὲν παλαιὰν εὐταξίαν, κατεφρόνησε δὲ καὶ ὑμῶν παρ' ὧν ἀνέμενον ἐγὼ τὴν μαρτυρίαν δέξασθαι, ἐποίησε δὲ πρᾶγμα οὐκ οἶδα εἰ εὐάρεστον Θεῷ, τούτου ἕνεκεν λυπηθεὶς πρὸς αὐτοὺς οὐδεμίαν ἔδωκα ἐπιστολὴν πρὸς οὐδένα τῶν Ἀρμενίων οὐδὲ πρὸς τὴν σὴν εὐλάβειαν. Ἀλλ' οὐδὲ εἰς κοινωνίαν ἐδεξάμην τὸν Φαῦστον φανερῶς διαμαρτυρόμενος ὅτι, εἰ μὴ ὑμέτερά μοι κομίσειε γράμματα, πάντα τὸν χρόνον ἔσομαι καὶ αὐτὸς ἠλλοτριωμένος καὶ τοὺς ὁμοψύχους μοι οὕτω διαθήσω πρὸς αὐτὸν ἔχειν. Εἰ μὲν οὖν ἰάσιμα τὰ γενόμενα, σπούδασον αὐτός τε ἐπιστεῖλαι μαρτυρῶν αὐτῷ, εἰ ὁρᾷς ἀγαθὴν τοῦ ἀνδρὸς τὴν ζωήν, καὶ τοὺς ἄλλους προτρέψασθαι. Εἰ δὲ ἀνίατα, καὶ τοῦτό μοι φανερὸν ποίησον, ὥστε μηκέτι με αὐτοῖς καθόλου προσέχειν, εἰ καὶ ὅτι, ὡς ἔδειξαν, ὥρμηνται λοιπὸν πρὸς τὸν Ἄνθιμον ἑαυτῶν μεταθεῖναι τὴν κοινωνίαν, ἡμῶν καὶ τῆς Ἐκκλησίας ταύτης ὡς ἑώλων εἰς φιλίαν καταφρονήσαντες.

τὴν αἰτίαν διὰ τὴν ὁποίαν δὲν τοὺς ἔδωσα τὴν ἐπιστολήν. Ἐὰν λοιπὸν σοῦ εἶπαν τὴν ἀλήθειαν, μᾶς ἔδωσες συγγνώμην ἐξ αὐτῆς· ἐὰν δὲ ἐκεῖνοι τὴν ἀπέκρυψαν, ὅπως εἰκάζω, ἄκουσέ την ἀπὸ ἡμᾶς.

Ὁ καθ' ὅλα γενναῖος Ἄνθιμος ποὺ εἶχεν ἐπὶ πολὺν χρόνον εἰρήνην μὲ ἡμᾶς, μόλις εὗρεν εὐκαιρίαν νὰ ἱκανοποιήσῃ τὴν κενοδοξίαν του καὶ νὰ προξενήσῃ εἰς ἡμᾶς λύπην, ἐχειροτόνησεν αὐθαιρέτως καὶ ἰδιοχείρως τὸν Φαῦστον, μὴ περιμένων τὴν ψῆφον κανενὸς ἀπὸ σᾶς καὶ γελοιοποιῶν ἡμᾶς ποὺ ὑπήρξαμεν ἀκριβολόγοι εἰς τοιαῦτα θέματα. Ἐπειδὴ λοιπὸν παρεβίασε τὴν παλαιὰν τάξιν, περιεφρόνησε δὲ καὶ σᾶς ἀπὸ τοὺς ὁποίους ἀνέμενα ἐγὼ νὰ λάβω συμμαρτυρίαν καὶ ἔκαμε πρᾶξιν ποὺ δὲν γνωρίζω ἐὰν εἶναι εὐάρεστος εἰς τὸν Θεόν, διὰ τοῦτο λυπηθεὶς ἐξ αἰτίας αὐτῶν δὲν ἔδωσα εἰς κανένα ἀπὸ τοὺς Ἀρμενίους ἐπιστολὴν οὔτε πρὸς τὴν εὐλάβειάν σου. Ἀλλ' οὔτε εἰς κοινωνίαν ἐδέχθην τὸν Φαῦστον, διαβεβαιῶν φανερῶς ὅτι ἐὰν δὲν φέρῃ γράμματα ἰδικά σας, θὰ εἶμαι διαπαντὸς ἀποξενωμένος ἀπὸ αὐτὸν καὶ θὰ πείσω τοὺς ὁμοψύχους μου νὰ ἔχουν παρόμοια αἰσθήματα πρὸς αὐτόν.

Ἐὰν λοιπὸν τὰ γενόμενα εἶναι θεραπεύσιμα, φρόντισε καὶ σὺ νὰ στείλῃς γράμμα διαβεβαιωτικὸν περὶ αὐτοῦ, ἐφ' ὅσον βλέπεις ὅτι ἡ ζωὴ τοῦ ἀνδρὸς εἶναι ἀγαθή, καὶ τοὺς ἄλλους νὰ προτρέψῃς νὰ στείλουν ἐπίσης. Ἐὰν δὲ εἶναι ἀθεράπευτα, γνωστοποίησέ το εἰς ἐμέ, ὥστε νὰ μὴ ἀσχολοῦμαι πλέον καθόλου μὲ αὐτούς, ἂν καί, ὅπως ἀπέδειξαν, ἔκαμαν τὰ πρῶτα βήματα νὰ μεταφέρουν τὴν κοινωνίαν των εἰς τὸν Ἄνθιμον, περιφρονήσαντες ἡμᾶς καὶ τὴν Ἐκκλησίαν ταύτην ὡς ἀκατάλληλον πλέον διὰ φιλίαν.

222

227. ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΚΟΛΩΝΙΑ ΚΛΗΡΙΚΟΥΣ

Καὶ τί οὕτω καλὸν καὶ εὐδόκιμον παρὰ Θεῷ καὶ ἀνθρώποις ὡς ἀγάπη τελεία, ἣν πλήρωμα τοῦ παντὸς εἶναι νόμου παρὰ τοῦ σοφοῦ δεδιδάγμεθα διδασκάλου; Ὥστε ἀποδέχομαι ὑμῶν τὸ διάπυρον τῆς περὶ τὸν ποιμένα ὑμῶν διαθέσεως. Οὔτε γὰρ παιδὶ φιλοπάτορι πατρὸς ἀγαθοῦ στέρησις ἀνεκτή, οὔτε Ἐκκλησίᾳ Χριστοῦ ποιμένος καὶ διδασκάλου ἀναχώρησις φορητή. Ὥστε καλῆς καὶ ἀγαθῆς προαιρέσεως ἀπόδειξιν ἡμῖν ἐν τῇ ὑπερβαλλούσῃ περὶ τὸν ἐπίσκοπον ὑμῶν διαθέσει παρέχεσθε. Ἀλλὰ τὸ χρηστὸν ὑμῶν τοῦτο καὶ περὶ τὸν πνευματικὸν πατέρα ἐνδιάθετον, μέτρῳ καὶ λογισμῷ γινόμενον, ἀπόδεκτόν ἐστιν, ἐκβαῖνον δὲ τοῦ ὅρου οὐκ ἔτι τῆς αὐτῆς ἀποδοχῆς ἄξιον γίνεται. Οἰκονομία καλὴ περὶ τὸν θεοφιλέστατον ἀδελφὸν ἡμῶν τὸν συλλειτουργὸν Εὐφρόνιον παρὰ τῶν οἰκονομεῖν τὰς Ἐκκλησίας πεπιστευμένων γεγένηται, ἀναγκαία τῷ καιρῷ λυσιτελὴς καὶ τῇ Ἐκκλησίᾳ πρὸς ἣν μετετέθη καὶ ὑμῖν αὐτοῖς ἀφ' ὧν ἐλήφθη. Ταύτην μὴ ἀνθρωπίνην νομίσητε, μηδὲ ἐκ λογισμῶν κεκινῆσθαι τὰ γήινα φρονούντων ἀνθρώπων, ἀλλὰ τῇ συνεργείᾳ τοῦ Πνεύματος τοὺς τὴν μέριμναν ἀνηρτημένους τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ τοῦτο ποιῆσαι πέπεισθε, καὶ ἐμβάλεσθε τῇ διανοίᾳ τὴν ὁρμὴν ταύτην καὶ σπουδάσατε αὐτὴν τελειῶσαι. Δέξασθε οὖν ἡσυχῇ καὶ μετ' εὐχαριστίας τὸ γενόμενον, ἐκεῖνο πεπεισμένοι ὅτι οἱ μὴ δεχόμενοι παρὰ τῶν ἐκλεκτῶν τοῦ Θεοῦ

Ἐπιστολὴ 227. Ἐγράφη τὸ 375. Μετὰ τὸν θάνατον τοῦ ἐπισκόπου Νικοπόλεως Θεοδότου οἱ Εὐσταθιανοὶ ἐγκατέστησαν ἐκεῖ ὡς διάδοχόν του τὸν φιλαρειανὸν Φρόντωνα. Τότε ὁ Ποιμένιος, τὸν ὁποῖον εἶχε χειροτονήσει ὁ Βασίλειος ἐπίσκοπον Σατάλων, ἐνήργησε ταχέως καὶ ἐγκατέστησεν ὡς ἐπίσκοπον τὸν Εὐφρόνιον, κάτοχον τῆς ἕδρας Κολωνίας, πρὸς μεγάλην λύπην τῶν κατοίκων τῆς πόλεως αὐτῆς ποὺ ἔχαναν τὸν ποιμένα των.

222

ΕΠΙΣΤΟΛΗ 227
ΠΡΟΣ ΤΟΥΣ ΚΛΗΡΙΚΟΥΣ ΤΗΣ ΚΟΛΩΝΙΑΣ

Τί εἶναι τόσον καλὸν καὶ τόσον εὐδόκιμον ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἀνθρώπων ὅσον ἡ τελεία ἀγάπη, ποὺ ἐδιδάχθημεν ὅτι εἶναι τὸ πλήρωμα ὅλου τοῦ νόμου ἀπὸ τὸν σοφὸν Διδάσκαλον[1]; Ὥστε ἐγκρίνω τὴν θερμὴν ἐκτίμησίν σας πρὸς τὸν ποιμένα σας[2]. Δὲν εἶναι ὑποφερτὸν πρᾶγμα οὔτε διὰ τὸ παιδὶ ἡ στέρησις καλοῦ πατρὸς οὔτε διὰ τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ ἡ ἀναχώρησις ποιμένος καὶ διδασκάλου. Ἑπομένως μὲ τὴν ὑπερβολικήν σας ἐκτίμησιν πρὸς τὸν ἐπίσκοπόν σας μᾶς παρέχετε ἀπόδειξιν καλῆς καὶ ἀγαθῆς προαιρέσεως. Ἀλλ' αὐτὴ ἡ τιμητικὴ διάθεσις πρὸς τὸν πνευματικὸν πατέρα εἶναι ἀποδεκτὴ ὅταν γίνεται ἐν μέτρῳ, ὅταν ὅμως ὑπερβαίνῃ τὰ ὅρια, δὲν εἶναι πλέον ἀξία τοιαύτης ἀποδοχῆς.

Ἐν σχέσει μὲ τὸν θεοφιλέστατον ἀδελφόν, τὸν συλλειτουργὸν Εὐφρόνιον, ἐπραγματοποιήθη μία καλὴ ρύθμισις ἀπὸ τοὺς διαπιστευμένους τὴν διοίκησιν τῶν Ἐκκλησιῶν, ἀναγκαία διὰ τὰς περιστάσεις, χρήσιμος δὲ καὶ εἰς τὴν Ἐκκλησίαν εἰς τὴν ὁποίαν μετετέθη καὶ εἰς σᾶς τοὺς ἰδίους ἀπὸ τοὺς ὁποίους παρελήφθη. Μὴ νομίσετε ὅτι αὐτὴ εἶναι ἀνθρωπίνου χαρακτῆρος οὔτε ὅτι ἐκινήθη ἀπὸ ὑπολογισμοὺς ἀνθρώπων φρονούντων τὰ γήινα, ἀλλὰ νὰ εἶσθε πεπεισμένοι ὅτι τοῦτο ἔπραξαν μὲ τὴν συνεργείαν τοῦ Πνεύματος ἄνθρωποι ἔχοντες ἀναλάβει τὴν φροντίδα τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ· βάλετε λοιπὸν εἰς τὴν σκέψιν σας αὐτὴν τὴν πρόθεσιν καὶ φροντίσατε νὰ τὴν τελειώσετε. Δεχθῆτε ἑπομένως μὲ ἡσυχίαν καὶ εὐχαρίστησιν τὸ γενόμενον, μὲ τὴν πεποίθησιν ὅτι οἱ μὴ δεχόμενοι ὅσα ἐπιτελοῦνται εἰς τὰς Ἐκκλησίας ἀπὸ τοὺς ἐκλεκτοὺς τοῦ Θεοῦ ἀνθίστανται εἰς τὴν

---

1. Ρωμ. 13, 10.
2. Τὸν Εὐφρόνιον.

τὰ ταῖς Ἐκκλησίαις διατυπούμενα τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθίστανται. Μὴ δικαιολογεῖσθε πρὸς τὴν μητέρα ὑμῶν, τὴν ἐν Νικοπόλει Ἐκκλησίαν. Μὴ τραχύνεσθε πρὸς τοὺς τῶν ψυχῶν ὑμῶν ἀναδεδεγμένους τὴν μέριμναν. Ἐν γὰρ τῷ τὰ τῆς Νικοπόλεως συνεστάναι πράγματα καὶ τὸ καθ' ὑμᾶς μέρος συνδιασωθήσεται· ἐὰν δὲ ἐκείνης ἅψηταί τις σάλος, κἂν μυρίους ἔχητε τοὺς φυλάσσοντας ὑμᾶς, συμπαραναλωθήσεται τῷ κεφαλαίῳ καὶ τὸ ὑμέτερον. Ὡς οὖν οἱ τοῖς ποταμοῖς παροικοῦντες, ἐπειδὰν ἴδωσί τινας πόρρωθεν ὀχυρώματα καταβαλλομένους τοῖς ῥεύμασιν, ἴσασιν ὅτι αὐτοῖς προδιοικοῦνται τὴν ἀσφάλειαν τὰς ἐπιδρομὰς τῶν ῥευμάτων ἀποκρουόμενοι· οὕτω καὶ οἱ νῦν τὸ βάρος τῆς φροντίδος τῶν ἐκκλησιαστικῶν ἀναδεξάμενοι ἐν τῇ τῶν ἄλλων φυλακῇ τὴν καθ' ὑμᾶς ἄδειαν διοικοῦνται, καὶ ἐν σκέπῃ γενήσεσθε πάσης ταραχῆς, ἑτέρων ὑποδεχομένων τοῦ πολέμου τὰς προσβολάς. Πρὸς δὲ κἀκεῖνο ἐνθυμεῖσθαι ὑμᾶς προσῆκεν ὅτι οὐχ ὑμᾶς ἀπέβαλεν, ἀλλ' ἑτέρους προσέλαβεν. Οὐ δήπου δὴ βάσκανοί τινες ἐσμεν ἡμεῖς, ὥστε τὸν δυνάμενον καὶ ἄλλοις τῶν ἑαυτοῦ χαρισμάτων μεταδιδόναι ἀναγκάζειν ὑμῖν ἐναποκλείειν τὴν χάριν καὶ τῷ καθ' ὑμᾶς μόνῳ χωρίῳ στενοχωρεῖν. Οὔτε γὰρ ὁ πηγὴν περιφράσσων καὶ ὕδατος ἔξοδον λυμαινόμενος ἐπαινετός, οὔτε ὁ διδασκαλίαν διαρκῆ κωλύων ἐπὶ πλεῖον χωρεῖν ἔξω τοῦ πάθους τῆς βασκανίας ἐστίν. Ἐχέτω τοίνυν καὶ τὴν Νικοπόλεως μέριμναν καὶ τὸ ὑμέτερον προσθήκη ἔστω τῶν ἐκεῖ φροντισμάτων. Τῷ μὲν γὰρ ἀνδρὶ πλείων προσῆλθεν ὁ κόπος, ὑμῶν δὲ οὐδὲν ἐλαττοῦται ἡ ἐπιμέλεια. Ἐκεῖνο δέ με καὶ πάνυ ἐλύπησε καὶ ἔξω ἐφάνη τοῦ μέτρου εἰρῆσθαι ὅτι ἀποτυχόντες τῶν ἐπιζητουμένων, τὰ δικαστήρια καταληψόμεθα καὶ ἐπισείσομεν ἀνθρώπους πράγμασιν, οἷς ἡ κατα-

3. Ἡ Νικόπολις ἦτο ἡ πρωτεύουσα πόλις τῆς περιοχῆς. Ἂν προεφυ-

διαταγὴν τοῦ Θεοῦ. Μὴ ἀντιδικεῖτε μὲ τὴν μητέρα σας, τὴν Ἐκκλησίαν Νικοπόλεως. Μὴ ἐρεθίζεσθε πρὸς τοὺς ἔχοντας ἀναλάβει τὴν μέριμναν τῶν ψυχῶν σας. Ἄλλωστε μὲ τὴν ρύθμισιν τῶν πραγμάτων τῆς Νικοπόλεως θὰ ἐξυπηρετηθοῦν καὶ τὰ ἰδικά σας· ἐὰν δὲ σάλος καταλάβῃ ἐκείνην, καὶ μυρίους νὰ ἔχετε φύλακας, μαζὶ μὲ τὸ σύνολον καὶ τὸ μέρος [3]. Ὅπως λοιπὸν οἱ κατοικοῦντες πλησίον ποταμῶν, ὅταν ἴδουν κάποιους ἀνθρώπους νὰ κατασκευάζουν ἀναχώματα, γνωρίζουν ὅτι προετοιμάζουν τὴν ἀσφάλειάν των ἐμποδίζοντες τὰς πλημμύρας τῶν ρευμάτων· οὕτω καὶ αὐτοὶ ποὺ ἀνέλαβαν τώρα τὸ βάρος τῆς φροντίδος τῶν ἐκκλησιαστικῶν μὲ τὴν προφύλαξιν τῶν ἄλλων παρασκευάζουν τὴν ἀσφάλειάν σας καὶ θὰ προφυλαχθῆτε ἀπὸ κάθε ταραχήν, ἐνῷ ἄλλοι θὰ ὑποδέχωνται τὰς προσβολὰς τοῦ πολέμου. Ἐπὶ πλέον δὲ ἁρμόζει νὰ λαμβάνετε ὑπ' ὄψιν τοῦτο, ὅτι δὲν ἀπεμάκρυνε σᾶς, ἀλλὰ προσέλαβεν ἄλλους. Δὲν εἴμεθα δὲ βέβαια ἡμεῖς φθονεροί, ὥστε ἐκεῖνον ποὺ ἠμπορεῖ νὰ μεταδώσῃ καὶ εἰς ἄλλους τὰ χαρίσματά του νὰ τὸν ἀναγκάζωμεν νὰ περικλείῃ τὴν χάριν εἰς σᾶς καὶ νὰ τὴν περιορίζῃ εἰς μόνον τὸν τόπον σας. Ὅπως δὲν εἶναι ἐπαινετὸς ἐκεῖνος ποὺ περιφράσσει μίαν πηγὴν καὶ καταστρέφει τὴν διέξοδον ὑδατίνου ρεύματος, οὕτω δὲν εἶναι ἔξω ἀπὸ τὸ πάθος τοῦ φθόνου ἐκεῖνος ποὺ ἐμποδίζει νὰ ἐπεκταθῇ μία πλουσία διδασκαλία. Ἂς ἔχῃ λοιπὸν αὐτὸς καὶ τῆς Νικοπόλεως τὴν φροντίδα, ἡ δὲ ἰδική σας ἂς εἶναι προσθήκη εἰς τὰς ἐκεῖ φροντίδας του. Εἰς μὲν τὸν ἄνδρα αὐτὸν προσετέθη περισσότερος κόπος, ἐνῷ ἡ διὰ σᾶς ἐπιμέλεια δὲν ἐλαττώνεται κατὰ τίποτε.

Ἐκεῖνο πάντως μὲ ἐλύπησε πολὺ καὶ μοῦ ἐφάνη ὅτι ἔχει λεχθῆ πέρα ἀπὸ τὰ ὅρια, ὅτι δηλαδή, «ἂν ἀποτύχωμεν εἰς τὴν αἴτησίν μας [4], θὰ προσφύγωμεν εἰς τὰ δικαστήρια καὶ θὰ ἀναθέσωμεν τὴν ὑπόθεσιν εἰς ἀνθρώπους», τῆς εὐχῆς τῶν ὁποίων

λάσσετο αὐτὴ ἀπὸ τὸν ἀρειανικὸν κίνδυνον, θὰ ἠσφαλίζετο καὶ ἡ Κολωνία, ἂν κατεστρέφετο αὐτή, θὰ ἠκολούθει καὶ τῆς Κολωνίας ἡ καταστροφή.

4. Περὶ ἐπιστροφῆς τοῦ Εὐφρονίου εἰς τὴν Κολωνίαν.

στροφὴ τῶν Ἐκκλησιῶν εὐχῆς ἐστι τὸ κεφάλαιον. Μή ποτε οὖν ἄφρονι θυμῷ φερόμενοί τινες παραπείσωσιν ὑμᾶς φθέγξασθαι περὶ τούτων τι εἰς τὸ δημόσιον, καὶ γένηται μέν τις ἐντεῦθεν καταστροφή, περιτραπῇ δὲ τῶν γινομένων τὸ βάρος ταῖς κεφαλαῖς τῶν τὴν αἰτίαν παρασχομένων. Ἀλλὰ δέξασθε καὶ τὴν ἡμετέραν συμβουλὴν ἐν πατρικοῖς ὑμῖν σπλάγχνοις προσαγομένην, καὶ τὴν τῶν θεοφιλεστάτων ἐπισκόπων οἰκονομίαν κατὰ βούλησιν Θεοῦ γενομένην. Καὶ ἀναμείνατε καὶ ἡμᾶς οἳ παραγενόμενοι, ἐὰν ὁ Κύριος ἡμῖν συνεργήσῃ, ὅσα οὐκ ἐνεχώρει διὰ τῆς ἐπιστολῆς παρακαλέσαι τὴν εὐλάβειαν ὑμῶν, δι' ἑαυτῶν παραινέσομεν, καὶ τὴν ἐνδεχομένην παραμυθίαν δι' αὐτῶν τῶν ἔργων ἐπαγαγεῖν ὑμῖν πειρασόμεθα.

223

230. ΠΟΛΙΤΕΥΟΜΕΝΟΙΣ ΝΙΚΟΠΟΛΕΩΣ

Αἱ περὶ τὰς Ἐκκλησίας οἰκονομίαι γίνονται μὲν παρὰ τῶν πεπιστευμένων τὴν προστασίαν αὐτῶν, βεβαιοῦνται δὲ παρὰ τῶν λαῶν. Ὥστε ὃ μὲν ἦν ἐπὶ τοῖς θεοφιλεστάτοις ἐπισκόποις πεπλήρωται· τὸ δὲ λειπόμενον ἤδη πρὸς ὑμᾶς βλέπει, ἐὰν καταξιώσητε ἐκθύμως περιέχεσθαι τοῦ δεδομένου ὑμῖν ἐπισκόπου καὶ τὰς παρὰ τῶν ἔξωθεν πείρας ἰσχυρῶς ἀποκρούεσθαι. Οὐδὲν γὰρ οὕτω δυσωπεῖ οὔτε ἄρχοντας οὔτε τοὺς λοιπούς, ὅσοι βασκαίνουσιν ὑμῶν τῇ εἰρηνικῇ καταστάσει, ὡς τὸ σύμφωνον περὶ τὴν τοῦ δεδομένου ἀγάπην καὶ τὸ ἰσχυρὸν τῆς ἐνστάσεως. Ἀπόγνωσιν γὰρ ἐμποιεῖ αὐτοῖς πάσης ἐπιχειρήσεως πονηρᾶς, ἐὰν ἴδωσι μήτε κλῆρον μήτε

Ἐπιστολὴ 230. Ἐγράφη τὸ 375, ἐξ ἀφορμῆς τῆς τοποθετήσεως τοῦ

κύριος σκοπὸς εἶναι ἡ καταστροφὴ τῶν Ἐκκλησιῶν. Μὴ σᾶς πείσουν ποτὲ ὡρισμένοι ἄνθρωποι ποὺ κατευθύνονται ἀπὸ ἄφρονα θυμὸν νὰ κάμετε τοιαύτην προσφυγὴν εἰς πολιτικὸν δικαστήριον, μὴ τυχὸν προέλθῃ ἐκ τούτου κάποια καταστροφή, τὸ δὲ βάρος τῶν γινομένων ἐπιστρέψῃ εἰς τὰς κεφαλὰς αὐτῶν ποὺ ἔδωσαν τὴν ἀφορμήν. Ἀλλὰ δεχθῆτε καὶ τὴν συμβουλήν μας προσφερομένην εἰς σᾶς μὲ πατρικὴν εὐσπλαγχνίαν καὶ τὴν οἰκονομίαν τῶν θεοφιλεστάτων ἐπισκόπων ποὺ ἐπραγματοποιήθη κατὰ τὴν θέλησιν τοῦ Θεοῦ. Νὰ περιμείνετε δὲ καὶ ἡμᾶς οἱ ὁποῖοι, ὅταν μὲ τὴν συνεργίαν τοῦ Κυρίου ἔλθωμεν, θὰ σᾶς παραινέσωμεν προσωπικῶς, μὲ παρηγορίαν ποὺ δὲν ἦτο δυνατὸν νὰ προσφέρωμεν διὰ τῆς ἐπιστολῆς καὶ θὰ προσπαθήσωμεν νὰ σᾶς δώσωμεν τὴν ἀπαραίτητον παραμυθίαν μὲ τὰ ἴδια τὰ ἔργα.

223

ΕΠΙΣΤΟΛΗ 230
ΠΡΟΣ ΤΟΥΣ ΑΞΙΩΜΑΤΟΥΧΟΥΣ ΤΗΣ ΝΙΚΟΠΟΛΕΩΣ

Αἱ σχετικαὶ μὲ τὰς Ἐκκλησίας διευθετήσεις πραγματοποιοῦνται μὲν ἀπὸ τοὺς ἐμπεπιστευμένους τὴν διοίκησιν αὐτῶν, ἐπικυρώνονται δὲ ἀπὸ τοὺς λαούς. Ὥστε ὅ,τι ἐξηρτᾶτο ἀπὸ τοὺς θεοφιλεστάτους ἐπισκόπους ἐξεπληρώθη, τὸ ὑπόλοιπον δὲ ἐξαρτᾶται εἰς σᾶς, ἐὰν καταξιώσετε νὰ ἀφοσιωθῆτε ὁλοθύμως εἰς τὸν ἐπίσκοπον ποὺ σᾶς ἐδόθη καὶ ἀποκρούσετε ἐντόνως τὰς ἀπὸ τοὺς ἔξω ἐπιθέσεις. Διότι τίποτε δὲν ἐπηρεάζει τόσον, οὔτε τοὺς ἄρχοντας οὔτε τοὺς ἄλλους ποὺ φθονοῦν τὴν εἰρηνικήν σας κατάστασιν, ὅσον ἡ ὁμόφωνος ἀγάπη πρὸς τὸν δοθέντα ἐπίσκοπον καὶ ἡ δύναμις τῆς ἀντιστάσεως. Ἐὰν ἴδουν νὰ μὴ δέχωνται τὰ ἐπινοήματά των οὔτε ὁ κλῆρος οὔτε ὁ λα-

---

Εὐφρονίου ὡς ἐπισκόπου τῆς Νικοπόλεως εἰς διαδοχὴν τοῦ Θεοδότου. Ὁ Εὐφρόνιος ἦτο ἕως τότε ἐπίσκοπος τῆς γειτονικῆς Κολωνίας.

λαὸν τὰς αὐτῶν ἐπινοίας παραδεχόμενον. Ἦν οὖν γνώμην ἔχετε περὶ τοῦ καλοῦ, ταύτην κοινὴν ποιήσασθε τῆς πόλεως, καὶ τοῖς δήμοις καὶ πᾶσι τοῖς οἰκοῦσι τὴν χώραν διαλέχθητε τὰ πρέποντα ἐπιρρώσοντες αὐτῶν τὰς καλὰς προαιρέσεις, ὥστε διαβοηθῆναι παρὰ πᾶσι τὸ γνήσιον ὑμῶν τῆς εἰς Θεὸν ἀγάπης. Ἐὰν δὲ καταξιωθῶμεν καὶ αὐτοί ποτε παραγενέσθαι καὶ ἐπισκέψασθαι τὴν Ἐκκλησίαν, τὴν τροφὸν τῆς εὐσεβείας, ἣν ὡς μητρόπολιν τῆς ὀρθοδοξίας τιμῶμεν, διὰ τὸ ἐκ παλαιοῦ ὑπὸ τιμιωτάτων ἀνδρῶν καὶ ἐκλεκτῶν τοῦ Θεοῦ οἰκονομεῖσθαι αὐτὴν ἀντεχομένων τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ὧν ἄξιον εἶναι τὸν νῦν ἀναφανέντα καὶ ὑμεῖς ἐδοκιμάσατε καὶ ἡμεῖς συνεθέμεθα. Μόνον φυλαχθείητε παρὰ τῆς χάριτος τοῦ Θεοῦ, παραλύοντες μὲν τὰ πονηρὰ βουλεύματα τῶν ἐχθρῶν, ἰσχὺν δὲ καὶ εὐτονίαν πρὸς φυλακὴν τῶν καλῶς δεδογμένων ταῖς ψυχαῖς ὑμῶν ἐμποιοῦντες.

224

238. ΝΙΚΟΠΟΛΙΤΑΙΣ ΠΡΕΣΒΥΤΕΡΟΙΣ

Ἐδεξάμην τὰ γράμματα τῆς εὐλαβείας ὑμῶν, καὶ οὐδὲν ἔσχον καινότερον τῶν ἐγνωσμένων ἤδη παρ' αὐτῶν διδαχθῆναι. Καὶ γὰρ ἔφθασεν ἡ φήμη εἰς πᾶσαν τὴν περιοικίδα, τοῦ παρ' ὑμῖν καταπεσόντος τὴν αἰσχύνην περιαγγέλλουσα, ὃς ἐπιθυμίᾳ δόξης κενῆς τὴν αἰσχίστην ἑαυτῷ συνήγαγεν ἀτιμίαν καὶ εὑρέθη τῶν μὲν ἐπὶ τῇ πίστει μισθῶν διὰ τὴν φιλαυτίαν ἐκπεσών, αὐτὸ δὲ τὸ

---

1. Τοῦ Εὐφρονίου.

Ἐπιστολὴ 238. Ἐγράφη τὸ 375, ὅταν ὁ Εὐστάθιος Σεβαστείας μὲ τὴν βοήθειαν τοῦ βικαρίου Πόντου Δημοσθένους ἐγκατέστησεν ἐπίσκοπον εἰς

ός, τοῦτο τοὺς ἀπογοητεύει ἀπὸ κάθε πονηρὰν ἐπιχείρησιν. Τὴν γνώμην λοιπὸν ποὺ ἔχετε περὶ τοῦ καλοῦ αὐτοῦ ἀνθρώπου [1], νὰ τὴν καταστήσετε κοινὴν εἰς ὅλην τὴν πόλιν, καὶ εἴπατε τὰ πρέποντα εἰς τοὺς πολίτας καὶ ὅλους τοὺς κατοικοῦντας εἰς τὴν χώραν διὰ νὰ ἐνισχύσετε τὰς καλὰς προθέσεις του, ὥστε νὰ διαδοθῇ εἰς ὅλους ἡ γνησιότης τῆς εἰς Θεὸν ἀγάπης σας.

Ἐὰν δὲ καταξιωθῶμεν καὶ ἡμεῖς νὰ ἔλθωμεν κάποτε πρὸς ἐπίσκεψιν τῆς Ἐκκλησίας σας, τῆς τροφοῦ τῆς εὐσεβείας, τὴν ὁποίαν τιμῶμεν ὡς μητρόπολιν τῆς ὀρθοδοξίας, διότι ἀπὸ παλαιᾶς ἐποχῆς ἐκυβερνήθη ἀπὸ τιμιωτάτους καὶ ἐκλεκτοὺς τοῦ Θεοῦ ἄνδρας, σταθεροὺς εἰς τὴν διδασκαλίαν τοῦ λόγου τῆς πίστεως, τῆς ὁποίας ἄξιος εἶναι καὶ ὁ τώρα ἐμφανισθεὶς ἐπίσκοπος, ὅπως καὶ σεῖς ἐκρίνατε καὶ ἡμεῖς συνεφωνήσαμεν. Μόνον νὰ φυλαχθῆτε ἀπὸ τὴν χάριν τοῦ Θεοῦ, παραλύοντες μὲν τὰ πονηρὰ σχέδια τῶν ἐχθρῶν, θέτοντες δὲ εἰς τὰς ψυχάς σας δύναμιν καὶ ζῆλον πρὸς διαφύλαξιν τῶν καλῶς ἀποφασισθέντων.

224

ΕΠΙΣΤΟΛΗ 238
ΠΡΟΣ ΤΟΥΣ ΠΡΕΣΒΥΤΕΡΟΥΣ ΤΗΣ ΝΙΚΟΠΟΛΕΩΣ

Ἐδέχθην τὸ γράμμα τῆς εὐλαβείας σας, ἀλλὰ δὲν ἔμαθα ἀπὸ αὐτὸ τίποτε νεώτερον ἀπὸ ὅσα ἤδη ἐγνώριζα. Διότι εἰς ὅλην τὴν γειτονίαν ἔφθασεν ἡ φήμη ποὺ διέδωσε τὴν αἰσχύνην τοῦ καταπεσόντος μέλους σας, ὁ ὁποῖος ἀπὸ ἐπιθυμίαν τῆς κενῆς δόξης ἔφερεν ἐπάνω του ἀτιμίαν καὶ εὑρέθη τοὺς μὲν μισθοὺς διὰ τὴν πίστιν νὰ ἔχῃ χάσει ἐξ αἰτίας τῆς φιλαυτίας, τὴν δὲ

τὴν Νικόπολιν τὸν Φρόντωνα. Ὁ Φρόντων κατέλαβε τοὺς ναοὺς καὶ οἱ ὀρθόδοξοι, τὸ μέγα πλῆθος, ἦσαν ἠναγκασμένοι νὰ τελοῦν τὴν λατρείαν εἰς τὴν ὕπαιθρον. Ὁ Βασίλειος τοὺς παρηγορεῖ.

δύστηνον δοξάριον, οὗ ἐπιθυμήσας ἐπράθη τῇ ἀσεβείᾳ, οὐκ ἔχων διὰ τὸ δίκαιον μῖσος τῶν φοβουμένων τὸν Κύριον. Ἀλλὰ ἐκεῖνος μὲν τοῦ παντὸς ἑαυτοῦ βίου ἐναργέστατον ἐξήνεγκε δεῖγμα ἐκ τῆς νῦν προαιρέσεως, ὅτι οὐδέποτε ἔζη ἐπ᾽ ἐλπίδι τῶν ἀποκειμένων ἡμῖν ἐπαγγελιῶν παρὰ τοῦ Κυρίου· ἀλλὰ εἴ τι αὐτῷ ἐπραγματεύετο τῶν ἀνθρωπίνων καὶ ῥήματα πίστεως καὶ πλάσμα εὐλαβείας, πάντα πρὸς τὴν τῶν ἐντυγχανόντων ἀπάτην ἐπετηδεύετο. Ὑμᾶς δὲ τί καταπονεῖ τὸ συμβάν; Τί χείρους ἑαυτῶν γεγόνατε παρὰ τοῦτο; Ἔλειψεν εἷς ἐκ τοῦ πληρώματος ὑμῶν· εἰ δὲ καὶ συναπῆλθέν που ἄλλος εἷς ἢ δεύτερος, ἐλεεινοὶ τοῦ πτώματος οὗτοι, ὑμῶν δὲ τὸ σῶμα ὁλόκληρόν ἐστι τῇ τοῦ Θεοῦ χάριτι. Καὶ γὰρ καὶ τὸ ἀχρειωθὲν ἀπερρύη καὶ οὐκ ἐκολοβώθη τὸ μένον. Εἰ δὲ ἀνιᾷ ὑμᾶς ὅτι τῶν τοίχων ἐξεβλήθητε, ἀλλ᾽ ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ, αὐλισθήσεσθε καὶ ὁ ἄγγελος ὁ τῆς Ἐκκλησίας ἔφορος συναπῆλθεν ὑμῖν. Ὥστε κενοῖς τοῖς οἴκοις ἐγκατακλίνονται καθ᾽ ἑκάστην ἡμέραν, ἐκ τῆς διασπορᾶς τοῦ λαοῦ βαρὺ ἑαυτοῖς τὸ κρῖμα κατασκευάζοντες. Εἰ δέ τις καὶ κόπος ἐστὶν ἐν τῷ πράγματι, πέπεισμαι τῷ Κυρίῳ μὴ εἰς κενὸν ὑμῖν ἀποβήσεσθαι τοῦτο. Ὥστε ὅσῳ ἂν ἐν πλείοσι πειρατηρίοις γένησθε, τοσούτῳ πολυτελέστερον τὸν παρὰ τοῦ δικαίου κριτοῦ μισθὸν ἀναμένετε. Μήτε οὖν δυσφορεῖτε τοῖς παροῦσι μήτε ἀποκάμνετε τῇ ἐλπίδι. Ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ἥξει πρὸς ὑμᾶς ὁ ἀντιλαμβανόμενος ὑμῶν καὶ οὐ χρονιεῖ.

1. Ἀπὸ τοὺς ναούς.

θλιβερὰν δοξούλαν, χάριν τῆς ἐπιθυμίας τῆς ὁποίας ἐπωλήθη εἰς τὴν ἀσέβειαν, νὰ μὴ ἔχῃ ἐξ αἰτίας τοῦ δικαίου μίσους τῶν φοβουμένων τὸν Κύριον. Ἀλλ' ἐκεῖνος μὲν μὲ τὴν σημερινήν του στάσιν ἔδωσε σαφέστατον δεῖγμα ὅλου τοῦ βίου του, δεῖγμα δηλαδὴ τοῦ ὅτι ποτὲ δὲν ἔζη μὲ ἐλπίδα τῶν ἀποκειμένων δι' ἡμᾶς ἐπαγγελιῶν ἀπὸ τὸν Κύριον, ἀλλὰ τόσον τὰς περὶ τῶν ἀνθρωπίνων ἀσχολίας του ὅσον καὶ τοὺς λόγους τῆς πίστεως καὶ τὴν εὐσεβοφάνειαν, ὅλα τὰ ἐχρησιμοποιοῦσε πρὸς ἐξαπάτησιν τῶν συναντώντων αὐτόν.

Σᾶς δὲ διατί θλίβει τὸ συμβάν; Διατί ἔχετε γίνει χειρότεροι ἑαυτῶν διὰ τοῦτο; Ἔλειψεν ἕνας ἀπὸ τὸ πλήρωμά σας· ἐὰν δὲ ἐπῆγαν μαζί του καὶ ἕνας ἢ δύο ἀκόμη, αὐτοὶ εἶναι ἐλεεινοὶ λόγῳ τῆς πτώσεώς των, ἐνῷ τὸ ἰδικόν σας σῶμα εἶναι μὲ τὴν χάριν τοῦ Θεοῦ ὁλόκληρον· διότι καὶ τὸ ἀχρειωμένον ἀπεσπάσθη καὶ τὸ ἀπομεῖναν δὲν ἐκολοβώθη. Ἐὰν δὲ σᾶς στενοχωρῇ τὸ γεγονὸς ὅτι ἐξεδιώχθητε ἀπὸ τοὺς τοίχους [1], ἀλλὰ θὰ κατασκηνώσετε ὑπὸ τὴν σκέπην τοῦ Θεοῦ τοῦ οὐρανοῦ, καὶ μαζί σας ἦλθεν ὁ ἄγγελος ἐπόπτης τῆς Ἐκκλησίας. Διὰ τοῦτο αὐτοὶ καθημερινῶς κάθονται εἰς ἀδειανοὺς ναοὺς καὶ παρασκευάζουν βαρὺ κρῖμα δι' ἑαυτοὺς ἀπὸ τὸν διασκορπισμὸν τοῦ λαοῦ. Ἐὰν δὲ ἡ περιπέτεια προκαλῇ καὶ κάποιον κόπον, ἔχω πεποίθησιν εἰς τὸν Κύριον ὅτι τοῦτο δὲν θὰ ἀποβῇ ἀνωφελὲς διὰ σᾶς. Ὥστε εἰς ὅσον περισσοτέρους πειρασμοὺς ὑποβάλλεσθε, τόσον πολυτελέστερον μισθὸν ἀναμένετε ἀπὸ τὸν δίκαιον κριτήν. Οὔτε νὰ δυσφορῆτε λοιπὸν διὰ τὰ παρόντα οὔτε νὰ ἀπελπίζεσθε. Ἔπειτα ἀπὸ ὀλίγον, παρὰ πολὺ ὀλίγον, θὰ ἔλθῃ πρὸς σᾶς ὁ ὑπερασπιστής σας, δὲν θὰ βραδύνῃ [2].

---

2. Ἑβρ. 10, 37, βλ. καὶ Ἀββακ. 2, 3.

225

240. ΝΙΚΟΠΟΛΙΤΑΙΣ ΠΡΕΣΒΥΤΕΡΟΙΣ

1. Καὶ ἐπιστείλαντες ἡμῖν καλῶς ἐποιήσατε καὶ διὰ τοιούτου ἀνδρὸς ἐπιστείλαντες, ὃς καὶ ἄνευ γραμμάτων ἐξήρκεσεν ἂν ἡμῖν τήν τε ἐπὶ ταῖς φροντίσι παραμυθίαν ἱκανὴν παρασχεῖν καὶ διδασκαλίαν ἀκριβῆ τῶν πραγμάτων ποιήσασθαι. Πολλὰ γὰρ ἦν ἃ ἐπεζητοῦμεν παρὰ τοῦ σαφέστατα ἐπισταμένου μαθεῖν, διὰ τὸ τὰς φήμας πεπλανημένως πρὸς ἡμᾶς διαβαίνειν, ἃ πάντα εὐσταθῶς καὶ ἐμπείρως διηγήσατο ἡμῖν ὁ ποθεινότατος καὶ τιμιώτατος ἀδελφὸς ἡμῶν Θεοδόσιος ὁ συμπρεσβύτερος. Ἃ τοίνυν ἑαυτοῖς συμβουλεύομεν, ταῦτα καὶ πρὸς τὴν ὑμετέραν εὐλάβειαν γράφομεν· ὅτι πολλοῖς συνέβη ταῦτα ἃ καὶ ὑμῖν, καὶ οὐ κατὰ τὸν παρόντα καιρὸν μόνον, ἀλλὰ καὶ ἐν τῷ παρελθόντι χρόνῳ μυρία τῶν τοιούτων τὰ ὑποδείγματα· τὰ μὲν ἐγγράφως αἱ ἱστορίαι καταλελοίπασι, τὰ δὲ τῇ ἀγράφῳ μνήμῃ παρὰ τῶν εἰδότων διεδεξάμεθα, ὅτι καὶ κατὰ ἄνδρα ἕκαστον καὶ κατὰ πόλεις πειρασμοὶ περιέσχον ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου τοὺς εἰς αὐτὸν ἠλπικότας. Ἀλλ' ὅμως παρῆλθε πάντα καὶ οὐδὲν τῶν σκυθρωπῶν ἀθάνατον ἔσχε τὸ λυπηρόν. Ὡς αἱ χάλαζαι καὶ οἱ χείμαρροι καὶ ὅσα τῶν κακῶν αὐτοσχέδια τὰ μὲν μαλακὰ ῥᾳδίως ἔβλαψε καὶ διελυμήνατο, τοῖς δὲ ἀντιτύποις περιτυχόντα ἔπαθέ τι μᾶλλον ἢ ἔδρασεν· οὕτω καὶ οἱ λάβροι κατὰ τῆς Ἐκκλησίας πειρασμοὶ κινηθέντες ἀσθενέστεροι τοῦ στερεώματος τῆς εἰς Χριστὸν πίστεως διεδείχθησαν. Ὡς οὖν παρῆλθε τῆς χαλάζης τὸ νέφος καὶ παρερρύη τὴν χαράδραν

Ἐπιστολὴ 240. Ἐγράφη τὴν ἄνοιξιν τοῦ 375. Ὁ Βασίλειος ἐπληροφορήθη ὅτι μερικοὶ ἀπὸ τοὺς κληρικοὺς τῆς Νικοπόλεως, λόγῳ τοῦ ὅτι οἱ ναοί των εἶχαν καταληφθῆ ἀπὸ τὸν φιλαρειανὸν ἐπίσκοπον Φρόντωνα καὶ

225

ΕΠΙΣΤΟΛΗ 240
ΠΡΟΣ ΤΟΥΣ ΠΡΕΣΒΥΤΕΡΟΥΣ ΤΗΣ ΝΙΚΟΠΟΛΕΩΣ

1. Καλῶς ἐπράξατε ποὺ μᾶς ἐγράψατε, καὶ μάλιστα διὰ μέσου τοιούτου ἀνδρός, ὁ ὁποῖος καὶ χωρὶς γράμμα θὰ ἀρκοῦσε νὰ μᾶς παράσχῃ τὴν παρηγορίαν διὰ τὴν ἀγωνίαν μας καὶ νὰ μᾶς δώσῃ ἀκριβῆ ἔκθεσιν τῶν πραγμάτων. Διότι ὑπῆρχαν πολλὰ πράγματα ποὺ ἐζητούσαμεν νὰ μάθωμεν ἀπὸ τὸν γνωρίζοντα σαφέστατα, καθ' ὅσον αἱ φῆμαι φθάνουν εἰς ἡμᾶς περιπετειωδῶς, τὰ ὁποῖα ὁ ἀγαπητότατος καὶ τιμιώτατος ἀδελφὸς ἡμῶν Θεοδόσιος, ὁ συμπρεσβύτερος, διηγήθη εἰς ἡμᾶς μὲ ἀκρίβειαν καὶ δεξιοτεχνίαν. Ὅσα λοιπὸν συμβουλεύομεν εἰς τοὺς ἑαυτούς μας, αὐτὰ γράφομεν καὶ πρὸς τὴν εὐλάβειάν σας· ὅτι δηλαδὴ αὐτὰ ποὺ συνέβησαν εἰς σᾶς συνέβησαν εἰς πολλούς, καὶ ὄχι μόνον εἰς τὸν παρόντα καιρόν, ἀλλὰ καὶ εἰς τὸν παρελθόντα χρόνον ὑπάρχουν ἄφθονα παραδείγματα παρομοίων γεγονότων. Ἄλλα τὰ ἄφησαν ἐγγράφως αἱ ἱστορικαὶ ἐκθέσεις, ἄλλα δὲ τὰ παρελάβαμεν μὲ τὴν ἄγραφον μνήμην ἀπὸ τοὺς γνωρίζοντας· ὅτι δηλαδὴ καὶ ἀτομικῶς καὶ κατὰ πόλεις πειρασμοὶ ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου κατέλαβαν τοὺς ἐλπίζοντας εἰς αὐτόν. Ἀλλ' ὅμως ὅλα ἐπέρασαν καὶ καμμία κακία δὲν διετήρησε αἰωνίαν λύπην. Ὅπως αἱ χάλαζαι καὶ οἱ χείμαρροι καὶ ἄλλα παρόμοια φαινόμενα τὰ μὲν μαλακὰ ἀντικείμενα βλάπτουν καὶ καταστρέφουν εὔκολα, ὅταν δὲ συναντήσουν σκληρὰ ἀντικείμενα μᾶλλον παθαίνουν ἀντὶ νὰ ἐνεργήσουν ἐπ' αὐτῶν, οὕτω καὶ οἱ ἄγριοι πειρασμοί, ὅταν κινοῦνται ἐναντίον τῆς Ἐκκλησίας, ἀποδεικνύονται ἀσθενέστεροι ἀπὸ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως. Ὅπως λοιπὸν παρέρχεται τὸ νέφος τῆς χαλάζης καὶ ὁ χείμαρρος φεύγει ἀπὸ τὴν χαράδραν —ἐκεῖνο

λόγῳ τοῦ διωγμοῦ, εἶχαν προσχωρήσει εἰς αὐτὸν ἢ ἦσαν ἕτοιμοι νὰ προσχωρήσουν. Ἡ ἐπιστολὴ ἔχει σκοπὸν νὰ συγκρατήσῃ τὰ πράγματα. Ἡ ἐπιστολὴ ἐστάλη προφανῶς εἰς τὸν ἐπίσκοπον Εὐφρόνιον.

ὁ χείμαρρος (τὸ μὲν γὰρ εἰς αἰθρίαν διελύθη, ὁ δὲ ἐνηφανίσθη τῷ βυθῷ ξηρὰν καὶ ἄνικμον τὴν ὁδὸν δι' ἧς ἐρρύη καταλιπών), οὕτω καὶ τὰ νῦν ἡμᾶς χειμάζοντα μικρὸν ὕστερον οὐκ ἔσται. Μόνον ἐὰν καταδεξώμεθα μὴ τὸ παρὸν ὁρᾶν, ἀλλὰ τοῖς μικρὸν πορρωτέρω ταῖς ἐλπίσιν ἐνατενίζειν.

2. Εἴτε οὖν βαρὺς ὁ πειρασμός, ἀδελφοί, ὑπομείνωμεν τὰ ἐπίπονα. Οὐδεὶς γὰρ μὴ πληγεὶς ἐν ἀγῶσι μηδὲ κονισάμενος στεφανοῦται. Εἴτε κοῦφα ταῦτα τοῦ διαβόλου τὰ παίγνια καὶ οἱ ἐπιπεμφθέντες ἡμῖν ὀχληροὶ μέν, διότι τοιούτου εἰσὶν ὑπηρέται, εὐκαταφρόνητοι δέ, ὅτι τῇ πονηρίᾳ αὐτῶν ὁ Θεὸς ἀδυναμίαν συνῆψε, φυλαξώμεθα τὴν κατάγνωσιν ὡς ἐπὶ μικροῖς παθήμασι μεγάλα ὀδυρόμενοι. Ἓν γάρ ἐστιν ὀδύνης ἄξιον, ἡ αὐτοῦ ἐκείνου ἀπώλεια, τοῦ τῆς προσκαίρου ἕνεκεν δόξης (εἴπερ οὖν δόξαν χρὴ λέγειν τὸ δημοσίᾳ ἀσχημονεῖν), τῆς αἰωνίας τῶν δικαίων τιμῆς ἑαυτὸν ἀποστερήσαντος. Τέκνα ὁμολογητῶν καὶ τέκνα μαρτύρων ἐστὲ τῶν μέχρις αἵματος ἀντικαταστάντων πρὸς τὴν ἁμαρτίαν. Τοῖς οἰκείοις ἕκαστος χρησάσθω ὑποδείγμασι πρὸς τὴν ὑπὲρ τῆς εὐσεβείας ἔνστασιν. Οὐδεὶς ὑμῶν πληγαῖς κατεξάνθη, οὐδενὸς οἶκος ἐδημεύθη· οὐ τὴν ὑπερορίαν ᾠκήσαμεν, οὐ δεσμωτήριον ἐγνωρίσαμεν. Τί πεπόνθαμεν δεινόν; Εἰ μὴ τάχα τοῦτο λυπηρόν, ὅτι μηδὲν πεπόνθαμεν μηδὲ ἐνομίσθημεν ἄξιοι τῶν ὑπὲρ Χριστοῦ παθημάτων. Εἰ δὲ ὅτι ὁ δεῖνα τὸν οἶκον κατέχει τῆς προσευχῆς, ὑμεῖς δὲ ἐν τῷ ὑπαίθρῳ τὸν οὐρανοῦ καὶ γῆς Δεσπότην, τοῦτο ὑμᾶς ἀνιᾷ, ἐνθυμήθητε ὅτι οἱ μὲν ἔνδεκα μαθηταὶ ἐν τῷ ὑπερῴῳ ἦσαν ἀποκεκλεισμένοι, οἱ δὲ σταυρώσαντες τὸν Κύριον ἐν τῷ περιβοήτῳ ναῷ τὴν ἰουδαϊκὴν λατρείαν ἐπλήρουν. Ἰούδας γὰρ τὸν δι' ἀγχόνης θάνατον τοῦ μετ' αἰσχύνης ζῆν προτιμήσας ἔδειξε τάχα τῶν νῦν ἀ-

μὲν διαλύεται εἰς αἰθρίαν, αὐτὸς δὲ ἀφανίζεται εἰς τὸν βυθὸν ἀφήνων ξηρὰν καὶ χωρὶς ὑγρασίαν τὴν ὁδόν—, οὕτω καὶ τὰ πράγματα ποὺ μᾶς ταλαιπωροῦν τώρα ἔπειτα ἀπὸ ὀλίγον δὲν θὰ ὑπάρχουν. Ἀρκεῖ μόνον νὰ ἀποφύγωμεν νὰ κυττάξωμεν τὸ παρόν, καὶ νὰ ἀτενίζωμεν μὲ τὴν ἐλπίδα τὸ προσεχὲς μέλλον.

2. Λοιπὸν εἴτε βαρὺς εἶναι ὁ πειρασμός, ἀδελφοί, ἂς ὑπομείνωμεν τοὺς πόνους. Δὲν παίρνει κανεὶς στέφανον νίκης, ἐὰν δὲν τραυματισθῇ εἰς ἀγῶνα καὶ δὲν σκονισθῇ. Εἴτε ἐλαφρὰ εἶναι αὐτὰ τὰ παιγνίδια τοῦ διαβόλου καὶ οἱ σταλέντες εἰς ἡμᾶς εἶναι μὲν ἐνοχλητικοί, διότι εἶναι ὑπηρέται αὐτοῦ, ἀλλὰ ὄχι ὑπολογίσιμοι, διότι ὁ Θεὸς εἰς τὴν πονηρίαν των συνῆψεν ἀδυναμίαν, ἂς προφυλαχθῶμεν ἀπὸ τὴν κατάκρισιν διὰ τὸ ὅτι παραδιδόμεθα εἰς μεγάλους ὀδυρμοὺς διὰ μικρὰ παθήματα. Διότι μόνον ἕνα εἶναι ἄξιον ὀδύνης, ἡ ἀπώλεια αὐτοῦ τοῦ ἀνθρώπου, ὁ ὁποῖος ἐστέρησεν ἑαυτὸν τῆς αἰωνίας τιμῆς τῶν δικαίων χάριν τῆς προσκαίρου δόξης — ἐὰν ἠμπορῇ νὰ λέγεται δόξα τὸ νὰ ἀσχημονῇ δημοσίᾳ—.

Εἴσθε τέκνα ὁμολογητῶν καὶ τέκνα μαρτύρων, οἱ ὁποῖοι ἀντεστάθησαν μέχρις αἵματος πρὸς τὴν ἁμαρτίαν. Ἂς χρησιμοποιήσῃ ὁ καθένας σας τοὺς οἰκείους του ὡς παραδείγματα διὰ τὴν ὑπὲρ τῆς εὐσεβείας ἀντίστασιν. Κανεὶς σᾶς δὲν ἐξεσχίσθη ἀπὸ τὰς πληγάς, κανενὸς οἶκος δὲν ἐδημεύθη· δὲν ἐζήσαμεν εἰς ἐξορίαν, δὲν ἐγνωρίσαμεν δεσμωτήριον. Τί κακὸν ἐπάθαμεν; Ἐκτὸς ἐὰν τοῦτο εἶναι λυπηρόν, τὸ ὅτι δηλαδὴ δὲν ἐπάθαμεν τίποτε καὶ δὲν ἐθεωρήθημεν ἄξιοι τῶν ὑπὲρ Χριστοῦ παθημάτων. Ἐὰν δὲ σᾶς στενοχωρῇ τὸ ὅτι ὁ δεῖνα κατέχει τὸν οἶκον τῆς προσευχῆς, σεῖς δὲ προσκυνεῖτε εἰς τὴν ὕπαιθρον τὸν Δεσπότην τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἐνθυμηθῆτε ὅτι οἱ μὲν ἕνδεκα μαθηταὶ ἦσαν ἀποκλεισμένοι εἰς τὸ ὑπερῷον, οἱ δὲ σταυρώσαντες τὸν Κύριον ἐτελοῦσαν τὴν ἰουδαϊκὴν λατρείαν εἰς τὸν περίφημον ναόν. Ὁ Ἰούδας ποὺ προετίμησε τὸν θάνατον μὲ τὴν ἀγχόνην ἀπὸ τὸ νὰ ζῇ εἰς τὴν ἐντροπὴν ἀπεδείχθη προτιμότερος ἀπὸ αὐτοὺς ποὺ τώρα ἔχασαν τὴν ἐντροπὴν ἐμπρὸς εἰς τὴν γενικὴν

περυθριασάντων πρὸς πᾶσαν ἀνθρώπων κατάγνωσιν καὶ διὰ τοῦτο ἀναιδῶς πρὸς τὰ αἰσχρὰ διακειμένων ἑαυτὸν αἱρετώτερον.

3. Μόνον μὴ ἐξαπατηθῆτε ταῖς ψευδολογίαις αὐτῶν ἐπαγγελλομένων ὀρθότητα πίστεως. Χριστέμποροι γὰρ οἱ τοιοῦτοι καὶ οὐ Χριστιανοί, τὸ ἀεὶ αὐτοῖς κατὰ τὸν βίον τοῦτον λυσιτελοῦν τοῦ κατ' ἀλήθειαν ζῆν προτιμῶντες. Ὅτε ἐνόμισαν κτᾶσθαι τὴν κενὴν ταύτην ἀρχήν, προσέθεντο τοῖς ἐχθροῖς τοῦ Χριστοῦ· ὅτε εἶδον τοὺς λαοὺς ἀγριαίνοντας, σχηματίζονται πάλιν τὴν ὀρθότητα. Οὐκ οἶδα ἐπίσκοπον μηδὲ ἀριθμήσαιμι ἐν ἱερεῦσι Χριστοῦ τὸν παρὰ τῶν βεβήλων χειρῶν ἐπὶ καταλύσει τῆς πίστεως εἰς προστασίαν προβεβλημένον. Αὕτη ἐστὶν ἡ ἐμὴ κρίσις. Ὑμεῖς δὲ εἴ τινα ἔχετε μεθ' ἡμῶν μερίδα, ταὐτὰ ἡμῖν φρονήσετε δηλονότι· εἰ δὲ ἐφ' ἑαυτῶν βουλεύεσθε, τῆς ἰδίας γνώμης ἕκαστός ἐστι κύριος, ἡμεῖς ἀθῷοι ἀπὸ τοῦ αἵματος τούτου. Ταῦτα δὲ ἔγραψα οὐχ ὑμῖν ἀπιστῶν, ἀλλὰ τό τινων ἀμφίβολον στηρίζων ἐκ τοῦ γνωρίσαι τὴν ἐμαυτοῦ γνώμην, ὡς μὴ προσληφθῆναί τινας εἰς κοινωνίαν μηδὲ τῆς χειρὸς αὐτῶν ἐπιβολὴν δεξαμένους, μετὰ ταῦτα εἰρήνης γενομένης, βιάζεσθαι ἑαυτοὺς ἐναριθμεῖν τῷ ἱερατικῷ πληρώματι. Πάντα τὸν κλῆρον, τόν τε κατὰ τὴν πόλιν καὶ τὸν ἐπὶ τῆς παροικίας, μετὰ παντὸς τοῦ λαοῦ τοῦ φοβουμένου τὸν Κύριον, ἀσπαζόμεθα διὰ σοῦ.

1. Μερικοὶ ἀπὸ τοὺς χειροτονηθέντας ὑπὸ τοῦ φιλαρειανοῦ ἐπισκόπου Φρόντωνος φαίνεται ὅτι ἔκαμαν τώρα στροφὴν πρὸς τὴν Ὀρθοδοξίαν, διότι ἔβλεπαν τὸν λαὸν προσηλωμένον εἰς αὐτήν. Ἴσως καὶ ὁ ἴδιος ὁ Φρόντων ἔκαμε τὸ ἴδιον.

καταδίκην καὶ διὰ τοῦτο διάκεινται ἀναισχύντως πρὸς τὰ αἰσχρά.

3. Μόνον νὰ μὴ ἐξαπατηθῆτε ἀπὸ τὰς ψευδολογίας των, ὅταν ἐπαγγέλλωνται τὴν ὀρθότητα πίστεως. Τέτοιοι ἄνθρωποι εἶναι χριστέμποροι καὶ ὄχι Χριστιανοί, καθ' ὅσον προτιμοῦν πάντοτε ἐκεῖνο ποὺ τοὺς ὠφελεῖ εἰς τὸν παρόντα βίον ἀπὸ τὴν ζωὴν τῆς ἀληθείας. Ὅταν ἐνόμισαν ὅτι ἀπέκτησαν αὐτὴν τὴν ματαίαν ἐξουσίαν, προσετέθησαν εἰς τοὺς ἐχθροὺς τοῦ Χριστοῦ· ὅταν εἶδαν νὰ ἀγριεύουν οἱ λαοί, πάλιν συμμορφώνονται πρὸς τὴν ὀρθότητα [1]. Δὲν ἀναγνωρίζω ὡς ἐπίσκοπον οὔτε θὰ συγκαταριθμήσω μεταξὺ τῶν ἱερέων τοῦ Χριστοῦ αὐτὸν ποὺ προεβλήθη εἰς τὴν ἀρχὴν ἀπὸ τὰ βέβηλα χέρια πρὸς κατάλυσιν τῆς πίστεως.

Αὐτὴ εἶναι ἡ ἰδική μου κρίσις περὶ τῶν πραγμάτων. Σεῖς δέ, ἂν ἀνήκετε εἰς τὴν ἰδίαν μὲ ἡμᾶς μερίδα, εἶναι φανερὸν ὅτι θὰ ἔχετε τὸ ἴδιον φρόνημα· ἐὰν ὅμως συμβουλεύεσθε μόνον τὸν ἑαυτόν σας, ὁ καθένας εἶναι κύριος τῆς γνώμης του, ἡμεῖς εἴμεθα ἀθῷοι ἀπὸ τὸ αἷμα αὐτό [2]· ἔγραψα δὲ ταῦτα ὄχι διότι δὲν ἔχω ἐμπιστοσύνην, ἀλλὰ διὰ νὰ στηρίξω τὴν ἀμφιβολίαν μερικῶν, γνωστοποιῶν τὴν ἰδικήν μου γνώμην, ὥστε νὰ μὴ προσληφθοῦν μερικοὶ εἰς κοινωνίαν καί, ἀφοῦ ἐδέχθησαν χειροτονίαν ἀπὸ τὴν χεῖρα ἐκείνων [3], ὅταν ἀργότερα πραγματοποιηθῇ ἡ εἰρήνευσις, ἐπιχειρήσουν νὰ ἐπιβάλουν τὴν ἔνταξίν των εἰς τὸ ἱερατικὸν πλήρωμα, ὅλον τὸν κλῆρον, τὸν ἐντὸς τῆς πόλεως καὶ τὸν εἰς τὰς κώμας εὑρισκόμενον, μαζὶ μὲ ὅλον τὸν εὐσεβῆ εἰς τὸν Κύριον λαόν, ἀσπαζόμεθα διὰ σοῦ.

---

2. Ματθ. 27, 24.
3. Τοῦ Φρόντωνος.

226

203. ΤΟΙΣ ΠΑΡΑΛΙΩΤΑΙΣ ΕΠΙΣΚΟΠΟΙΣ

1. Ἐγένετό μοι πολλὴ ὁρμὴ τῆς συντυχίας ὑμῶν, καὶ ἀεί τι ἐπεγένετο κώλυμα ἐμποδίζον μου τὴν προθυμίαν. Ἡ γὰρ ἡ τοῦ σώματος ἀσθένεια ἐνεπόδισέ μοι (ἣν οὐκ ἀγνοεῖτε πάντως ὅση μοι πάρεστιν ἐκ τῆς πρώτης ἡλικίας μέχρι τοῦ γήρως τούτου, συντραφεῖσά μοι καὶ παιδεύουσά με κατὰ τὴν δικαίαν κρίσιν τοῦ πάντα ἐν σοφίᾳ οἰκονομοῦντος Θεοῦ) ἢ αἱ τῶν Ἐκκλησιῶν ἐπιμέλειαι ἢ οἱ πρὸς τοὺς ἐπανισταμένους τῷ λόγῳ τῆς ἀληθείας ἀγῶνες. Διὸ μέχρι τοῦ παρόντος ἐν θλίψει πολλῇ καὶ λύπῃ διάγω συνειδὼς ὅτι τὸ καθ' ὑμᾶς ἐλλέλειπταί μοι. Ἐγὼ γὰρ ἀκούσας παρὰ τοῦ Θεοῦ τοῦ διὰ τοῦτο τὴν διὰ σαρκὸς ἐπιδημίαν καταδεξαμένου, ἵνα καὶ τοῖς ὑποδείγμασι τῶν πρακτέων ῥυθμίσῃ τὸν βίον ἡμῶν καὶ διὰ τῆς ἰδίας φωνῆς ἀναγγείλῃ ἡμῖν τὸ Εὐαγγέλιον τῆς βασιλείας, ὅτι, «Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις», καὶ ὅτι ἐξιτήριον δῶρον τοῖς ἑαυτοῦ μαθηταῖς, μέλλων συμπληροῦν τὴν ἐν σαρκὶ οἰκονομίαν, τὴν ἑαυτοῦ εἰρήνην ὁ Κύριος κατέλιπεν εἰπών· «Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν», οὐ δύναμαι πεῖσαι ἐμαυτὸν ὅτι ἄνευ τῆς εἰς ἀλλήλους ἀγάπης καὶ ἄνευ τοῦ

Ἐπιστολὴ 203. Ἐγράφη τὸ θέρος τοῦ 375. Ὁ Βασίλειος ὡς ἀρχιεπίσκοπος τῆς καππαδοκικῆς πρωτευούσης καὶ ὡς μεγάλης ἀκτινοβολίας προσωπικότης, ἐπηρέαζε τὰ πράγματα ὄχι μόνον τῆς Καππαδοκίας, ἀλλὰ καὶ τοῦ Πόντου καὶ τῆς Ἀρμενίας, παρὰ τὰς ἀντιδράσεις. Ὁ Εὐστάθιος Σεβαστείας ὅμως, ὅταν διέκοψε τὰς σχέσεις του μὲ τὸν Βασίλειον, κατέβαλε προσπαθείας νὰ ἀποσπάσῃ ὅσον τὸ δυνατὸν περισσοτέρους ἐπισκόπους ἀπὸ τὴν ἐπιρροήν του καὶ τὸ ἐπέτυχε μέχρις ἑνὸς σημείου ἐπίσης εἰς τὰς παραλιακὰς ἐπισκοπὰς τοῦ Πόντου. Βλ. καὶ ἐπιστολὰς 205 καὶ 206

226

ΕΠΙΣΤΟΛΗ 203
ΠΡΟΣ ΤΟΥ ΠΑΡΑΛΙΩΤΑΣ ΕΠΙΣΚΟΠΟΥΣ

1. Ἐνῷ εἶχα μεγάλην ἐπιθυμίαν νὰ σᾶς συναντήσω, πάντοτε κάποιον κώλυμα παρουσιάζετο καὶ ἠμπόδιζε τὴν πραγματοποίησίν της. Ἄλλοτε μὲ ἠμπόδιζεν ἡ ἀσθένεια τοῦ σώματος —ὁπωσδήποτε δὲν ἀγνοεῖτε πόσον σοβαρὰ εἶναι αὐτὴ εἰς τὴν περίπτωσίν μου ἀπὸ τὴν πρώτην ἡλικίαν μέχρι τοῦ γήρατος τούτου[1], τραφεῖσα μαζὶ μὲ ἐμὲ καὶ παιδεύουσά με κατὰ τὴν δικαίαν κρίσιν τοῦ Θεοῦ ποὺ οἰκονομεῖ τὰ πάντα ἐν σοφίᾳ—, ἄλλοτε αἱ φροντίδες διὰ τὰς Ἐκκλησίας, ἄλλοτε οἱ ἀγῶνες πρὸς τοὺς στασιάζοντας κατὰ τοῦ λόγου τῆς ἀληθείας. Διὰ τοῦτο μέχρι τοῦ παρόντος ζῶ μὲ πολλὴν θλῖψιν καὶ λύπην, διότι ἔχω τὴν συναίσθησιν ὅτι παρέλειψα τὸν καθῆκόν μου ἀπέναντί σας.

Πράγματι ἐγώ, ἐπειδὴ ἤκουσα ἀπὸ τὸν Θεόν, ὁ ὁποῖος διὰ τοῦτο κατεδέχθη τὴν ἐπιδημίαν εἰς τὴν σάρκα, διὰ νὰ ρυθμίσῃ τὸν βίον μας καὶ μὲ τὰ παραδείγματα τῶν πρὸς ἐκτέλεσιν ἔργων καὶ νὰ μᾶς ἀναγγείλῃ μὲ τὴν ἰδίαν τὴν φωνήν του τὸ Εὐαγγέλιον τῆς βασιλείας, νὰ λέγεται ὅτι «ἀπὸ αὐτὸ θὰ γνωρίσουν ὅλοι ὅτι εἶσθε μαθηταί μου, ἀπὸ τὸ ἐὰν ἔχετε ἀγάπην μεταξύ σας»[2] καὶ ὅτι ὁ Κύριος ἄφησεν εἰς τοὺς μαθητάς του ὡς ἀποχαιρετιστήριον δῶρον, ὅταν ἐπρόκειτο νὰ συμπληρώσῃ τὴν ἐν σαρκὶ οἰκονομίαν, τὴν εἰρήνην του, λέγων «εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν»[3], δὲν ἠμπορῶ νὰ πείσω τὸν ἑαυτόν μου ὅτι, χωρὶς τὴν πρὸς ἀλλήλους ἀγάπην

Β' τ. εἰς τὰς ὁποίας γίνεται λόγος περὶ συγκλήσεως συνόδου εἰς τὴν περιοχὴν ἐκείνην.

1. Ὁ Βασίλειος βέβαια δὲν ἦτο τότε ἀκόμη εἰ μὴ 45 ἐτῶν.
2. Ἰω. 13,35.
3. Ἰω. 14,27.

εἰς ἐμὲ ἥκοντος εἰρηνεύειν πρὸς πάντας δύναμαι ἄξιος κληθῆναι δοῦλος Ἰησοῦ Χριστοῦ. Πολὺν μὲν γὰρ ἀνέμεινα χρόνον εἴ ποτε καὶ παρὰ τῆς ὑμετέρας ἀγάπης γένηταί τις πρὸς ἡμᾶς ἐπίσκεψις. Οὐ γὰρ ἀγνοεῖτε ὅτι δημοσίᾳ προκείμενοι πᾶσιν, ὥσπερ οἱ ἐν τῇ θαλάσσῃ προβεβλημένοι σκόπελοι, ἡμεῖς τὸν θυμὸν τῶν αἱρετικῶν κυμάτων ὑποδεχόμεθα, καὶ περὶ ἡμᾶς ῥηγνύμενοι τὰ κατόπιν ἡμῶν οὐκ ἐπικλύζουσι. Τὸ δὲ ἡμεῖς ὅταν εἴπω, οὐκ εἰς τὴν ἀνθρωπίνην ἀναφέρω δύναμιν, ἀλλ' εἰς τὴν τοῦ Θεοῦ χάριν τοῦ ἐν τῇ ἀσθενείᾳ τῶν ἀνθρώπων τὸ δυνατὸν ἑαυτοῦ δεικνύντος, καθά φησιν ὁ προφήτης ἐκ προσώπου τοῦ Κυρίου λέγων· «Ἢ ἐμὲ οὐ φοβηθήσεσθε τὸν τιθέντα ἄμμον ὅριον τῇ θαλάσσῃ;». Τῷ γὰρ ἀσθενεστάτῳ καὶ εὐκαταφρονήτῳ πράγματι, τῇ ψάμμῳ, τὴν μεγάλην καὶ βαρεῖαν θάλασσαν ἐπέδησεν ὁ δυνατός. Ἐπεὶ οὖν τοιοῦτόν τι ἐστὶ καὶ τὸ καθ' ἡμᾶς, ἀκόλουθον ἦν παρὰ τῆς ὑμετέρας ἀγάπης καὶ τῶν γνησίων τινὰς ἀποστέλλεσθαι συνεχῶς εἰς ἐπίσκεψιν ἡμῶν τῶν καταπονουμένων καὶ γράμματα ἀγαπητικὰ φοιτᾶν πρὸς ἡμᾶς, ἐπιτρέψατε, συνεχέστερον, τοῦτο μὲν στηρίζοντα ἡμῶν τὴν προθυμίαν, τοῦτο δὲ καί, εἴ τι σφαλλόμεθα, διορθούμενα. Οὐκ ἀρνούμεθα γὰρ μυρίοις σφάλμασιν ὑποκεῖσθαι ἄνθρωποι ὄντες καὶ ἐν σαρκὶ ζῶντες.

2. Ἀλλ' ἐπειδὴ τὸν πρὸ τούτου χρόνον ἢ διὰ τὸ μὴ συνιδεῖν τὸ πρέπον παρελίπετε τὰ ὀφειλόμενα ἡμῖν, ἀδελφοὶ τιμιώτατοι, ἢ διὰ τὸ προληφθῆναι παρά τινων εἰς τὰς καθ' ἡμῶν διαβολὰς οὐκ ἐνομίσατε ἡμᾶς ἀξίους εἶναι ἀγαπητικῆς ἐπισκέψεως, ἰδοὺ νῦν καὶ κατάρχομεν τοῦ γράμματος αὐτοὶ καὶ τὰς ἐπιφερομένας ἡμῖν αἰτίας ὁμολογοῦμεν ἑτοίμως ἔχειν ἐφ' ὑμῶν ἀποδύσασθαι, μόνον ἐὰν καταδέχωνται οἱ ὑβρίζοντες ἡμᾶς ἀντιπρόσωποι ἡμῖν

4. Β' Κορ. 12,9.

καὶ χωρὶς νὰ εἶμαι εἰρηνικὸς πρὸς ὅλους, ὅσον ἐξαρτᾶται ἀπὸ ἐμέ, εἶναι δυνατὸν νὰ κληθῶ δοῦλος Ἰησοῦ Χριστοῦ.

Βέβαια ἐπερίμενα πολὺν χρόνον, μήπως πραγματοποιηθῇ κάποτε καὶ ἀπὸ τὴν ἰδικήν σας ἀγάπην κάποια ἐπίσκεψις πρὸς ἡμᾶς. Δὲν ἀγνοεῖτε ὅτι ἡμεῖς ἐκτεθειμένοι δημοσίᾳ ἐνώπιον ὅλων ὡσὰν σκόπελοι ποὺ προβάλλουν εἰς τὴν θάλασσαν, δεχόμεθα τὸν θυμὸν τῶν αἱρετικῶν κυμάτων, τὰ ὁποῖα, ἀφοῦ θραύονται γύρω μας, δὲν κατακλύζουν τὰ εὑρισκόμενα ὀπίσω ἀπὸ ἡμᾶς. Ὅταν δὲ λέγω «ἡμεῖς», δὲν ἐννοῶ τὴν ἀνθρωπίνην δύναμιν, ἀλλὰ τὴν χάριν τοῦ Θεοῦ ποὺ δεικνύει τὴν δύναμίν του εἰς τὴν ἀσθένειαν τῶν ἀνθρώπων[4], ὅπως λέγει ὁ προφήτης ὁμιλῶν ἐξ ὀνόματος τοῦ Κυρίου· «δὲν θὰ φοβηθῆτε ἐμὲ ὁ ὁποῖος ἔθεσα τὴν ἄμμον ὡς ὅριον τῆς θαλάσσης;»[5]. Ὁ Δυνατὸς ἔδεσε τὴν μεγάλην καὶ βαρεῖαν θάλασσαν μὲ αὐτὸ τὸ ἀσθενέστατον καὶ εὐκαταφρόνητον πρᾶγμα, τὴν ἄμμον. Ἐπειδὴ λοιπὸν τοιαύτη εἶναι καὶ ἡ ἰδική μας περίπτωσις, ἐπόμενον θὰ ἦτο νὰ στέλλωνται συνεχῶς ἀπὸ τὴν ἀγάπην σας κάποιοι ἀπὸ τοὺς γνησίους ἀδελφοὺς εἰς ἐπίσκεψιν ἡμῶν τῶν ταλαιπωρουμένων καὶ νὰ μᾶς ἔρχωνται γράμματα — ἐπιτρέψατέ μου νὰ τὸ εἴπω — συχνά, ἀφ' ἑνὸς μὲν ἐνισχύοντα τὸν ζῆλόν μας, ἀφ' ἑτέρου δέ, ἐὰν κάπου κάμωμεν λάθος, διορθώνοντα. Διότι δὲν ἀρνούμεθα ὅτι ὑποκείμεθα εἰς μυρία σφάλματα, ἀφοῦ εἴμεθα ἄνθρωποι καὶ ζῶμεν εἰς σάρκα.

2. Ἀλλ' ἐπειδὴ ἕως τώρα, εἴτε διότι παρελείψατε τὰ ὀφειλόμενα διὰ τὸ ὅτι δὲν ἀντιλαμβάνεσθε τί ἦτο τὸ πρέπον, εἴτε διότι, τιμιώτατοι ἀδελφοί, δὲν μᾶς ἐθεωρήσατε ἀξίους φιλικῆς ἐπισκέψεως ἐπειδὴ ἐκερδήθητε ἀπὸ κάποιους, εἰς τὰς ἐναντίον μας διαβολάς, ἰδοὺ τώρα ἀρχίζομεν ἡμεῖς τὴν ἀλληλογραφίαν καὶ δηλώνομεν ὅτι εἴμεθα ἕτοιμοι νὰ ἐκδυθῶμεν ἐνώπιόν σας τὰς προσαπτομένας ἐναντίον μας κατηγορίας, ἀρκεῖ οἱ ὑβρισταί μας νὰ καταδεχθοῦν νὰ ἐμφανισθοῦν αὐτο-

---

5. Ἱερ. 5,22.

ἐπὶ τῆς ὑμετέρας εὐλαβείας καταστῆναι. Ἐλεγχθέντες μὲν γὰρ καὶ ἡμεῖς τὴν ἁμαρτίαν ἡμῶν ἐπιγνωσόμεθα καὶ ὑμεῖς μετὰ τοὺς ἐλέγχους συγγνώμην ἕξετε παρὰ τῷ Κυρίῳ ἐκ τῆς τῶν ἁμαρτωλῶν ἡμῶν κοινωνίας ἑαυτοὺς ὑποστέλλοντες καὶ οἱ ἐλέγξαντες μισθὸν ἕξουσιν ὡς τὴν κεκρυμμένην ἡμῶν κακίαν δημοσιεύσαντες. Ἐὰν δὲ πρὸ τῶν ἐλέγχων καταδικάζητε ἡμᾶς, ἡμεῖς μὲν οὐδὲν ἐσόμεθα ἠδικημένοι ἐκτὸς τοῦ ζημιωθῆναι τὸ πάντων ἡμῖν τιμιώτατον κτῆμα, τὴν πρὸς ὑμᾶς ἀγάπην, ὑμεῖς δὲ καὶ τοῦτο αὐτὸ πείσεσθε, ἡμᾶς οὐκ ἔχοντες, καὶ τῷ Εὐαγγελίῳ δόξετε μάχεσθαι τῷ εἰπόντι· «Μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ πρῶτον καὶ γνῷ τί ποιεῖ;». Ὅ τε καταχέων ἡμῶν τὰς λοιδορίας τὸν τῶν λεγομένων ἔλεγχον μὴ ἐπάγων φανήσεται πονηρὰν ἑαυτῷ προσηγορίαν ἐπενεγκὼν ἐκ τῆς ἀτόπου τῶν λόγων χρήσεως. Τὸν γὰρ διαβάλλοντα πῶς ἄλλως προσῆκεν ὀνομάζειν ἢ οὐχὶ ἣν ἐξ αὐτοῦ τοῦ πράγματος ὃ ἐπιτηδεύει προσηγορίαν αὐτῷ τιθεμένους; Μήτε οὖν ὁ λοιδορῶν ἡμᾶς «διάβολος» ἔστω, ἀλλὰ κατήγορος (μᾶλλον δὲ μηδὲ τὸ τοῦ κατηγόρου δεχέσθω ὄνομα, ἀλλ' ἀδελφὸς ἔστω ἐν ἀγάπῃ νουθετῶν καὶ ἐπὶ διορθώσει ἐπάγων τὸν ἔλεγχον), μήτε ὑμεῖς λοιδοριῶν γένησθε ἀκροαταί, ἀλλ' ἐλέγχων δοκιμασταί, μήτε ἡμεῖς ἀνιάτρευτοι καταλειφθῶμεν μὴ φανερουμένης ἡμῖν τῆς ἁμαρτίας ἡμῶν.

3. Μὴ γὰρ ἐκεῖνος ὑμᾶς ὁ λογισμὸς κατεχέτω, ὅτι οἱ τὴν παραλίαν οἰκοῦντες ἔξω ἐσμὲν τοῦ πάθους τῶν πολλῶν καὶ οὐδὲν τῆς παρ' ἑτέρων ἐπικουρίας δεόμεθα· ὥστε τὶς ἡμῖν χρεία τῆς πρὸς ἑτέρους κοινωνίας; Ὁ γὰρ Κύριος τὰς μὲν νήσους τῆς ἠπείρου διὰ θαλάσσης διέστησε, τοὺς δὲ νησιώτας τοῖς ἠπειρώταις διὰ τῆς ἀγάπης συνέδησεν. Οὐδὲν ἡμᾶς χωρίζει ἀπ' ἀλλήλων, ἀδελφοί,

---

6. Ἰω. 7,51.

προσώπως μαζὶ μὲ ἡμᾶς ἐνώπιον τῆς εὐλαβείας σας. Ἐὰν μὲν ἀποδειχθῶμεν ἔνοχοι, καὶ ἡμεῖς θὰ ἀναγνωρίσωμεν τὴν ἁμαρτίαν μας καὶ σεῖς μετὰ τοὺς ἐλέγχους θὰ λάβετε συγγνώμην ἀπὸ τὸν Κύριον ποὺ διακόπτετε τὴν κοινωνίαν μὲ ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ οἱ ἐλέγξαντες θὰ λάβουν μισθὸν ποὺ θὰ κοινοποιήσουν τὴν κρυμμένην κακίαν μας.

Ἐὰν ὅμως μᾶς καταδικάζετε πρὸ τοῦ ἐλέγχου, ἡμεῖς μὲν δὲν θὰ ἀδικηθῶμεν εἰς τίποτε ἄλλο, ἐκτὸς τοῦ ὅτι θὰ χάσωμεν τὸ πολυτιμότερον δι' ἡμᾶς ἀπὸ ὅλα τὰ ἀγαθά, τὴν ἀγάπην ποὺ μᾶς συνδέει μὲ σᾶς, σεῖς δὲ θὰ πάθετε ἀκριβῶς τὸ ἴδιον, ἀφοῦ δὲν θὰ ἔχετε ἡμᾶς, καὶ θὰ δείξετε ὅτι μάχεσθε τὸ Εὐαγγέλιον ποὺ λέγει· «μήπως ὁ νόμος μας κρίνει τὸν ἄνθρωπον, ἐὰν δὲν τὸν ἀκούσῃ πρῶτον καὶ γνωρίσῃ τί πράττει;»[6]. Καὶ ἐκεῖνος ποὺ χύνει ἐπάνω μας τὰς ὕβρεις, χωρὶς νὰ παρουσιάζῃ ἀπόδειξιν τῶν λεγομένων, θὰ φανῇ ὅτι προσφέρει εἰς τὸν ἑαυτόν του πονηρὰν ὀνομασίαν μὲ τὴν ἄτοπον χρῆσιν τῶν λόγων. Διότι τὸν διαβάλλοντα πῶς ἀλλοιῶς ἁρμόζει νὰ ὀνομάζωμεν παρὰ μὲ τὸ νὰ τοῦ δίδωμεν τὴν ὀνομασίαν ποὺ προέρχεται ἀπὸ τὴν πρᾶξιν του[7]; Λοιπόν, οὔτε ὁ λοιδορῶν ἡμᾶς νὰ εἶναι «διάβολος» ἀλλὰ κατήγορος — μᾶλλον δὲ νὰ μὴ δεχθῇ οὔτε τοῦ κατηγόρου τὸν τίτλον, ἀλλὰ νὰ εἶναι ἀδελφὸς νουθετῶν μὲ ἀγάπην καὶ ἐλέγχων πρὸς διόρθωσιν —, οὔτε σεῖς νὰ γίνεσθε ἀκροαταὶ λοιδοριῶν ἀλλὰ ἐξεταστὰι ἀποδείξεων, οὔτε ἡμεῖς νὰ ἐγκαταλειφθῶμεν ἀθεράπευτοι, χωρὶς νὰ μᾶς φανερώνεται ἡ ἁμαρτία μας.

3. Νὰ μὴ σᾶς κατέχῃ ἐκείνη ἡ σκέψις, ὅτι «οἱ κατοικοῦντες τὴν παραλίαν εἴμεθα ἔξω ἀπὸ τὸ πάθος τῶν πολλῶν καὶ δὲν χρειαζόμεθα τὴν βοήθειαν ἀπὸ ἄλλους· ὥστε ποίαν ἀνάγκην ἔχομεν τῆς κοινωνίας μὲ ἄλλους;». Ἔχει μὲν χωρίσει τὰς νήσους ἀπὸ τὴν ξηρὰν μὲ θάλασσαν ὁ Κύριος ἀλλὰ συνέδεσε τοὺς νησιώτας καὶ τοὺς στεριανοὺς μὲ τὴν ἀγάπην. Τίποτε δὲν μᾶς

---

7. Ἐκεῖνος δηλαδὴ ποὺ διαβάλλει εἶναι «διάβολος». Ὁ Βασίλειος προφανῶς ἐννοεῖ τὸν Εὐστάθιον Σεβαστείας.

ἐὰν μὴ τῇ προαιρέσει τὸν χωρισμὸν ὑποστῶμεν. Εἷς ἡμῶν Κύριος, μία πίστις, ἐλπὶς ἡ αὐτή. Εἴτε κεφαλὴν ἑαυτοὺς τῆς καθόλου Ἐκκλησίας λογίζεσθε, οὐ δύναται ἡ κεφαλὴ εἰπεῖν τοῖς ποσί· χρείαν ὑμῶν οὐκ ἔχω. Εἴτε καὶ ἐν ἄλλῃ τάξει τῶν ἐκκλησιαστικῶν μελῶν ἑαυτοὺς τάσσετε, οὐ δύνασθε λέγειν τοῖς ἐν τῷ αὐτῷ σώματι κατατεταγμένοις ἡμῖν τό· χρείαν ὑμῶν οὐκ ἔχομεν. Αἵ τε γὰρ χεῖρες ἀλλήλων δέονται καὶ οἱ πόδες ἀλλήλους στηρίζουσι καὶ οἱ ὀφθαλμοὶ ἐν τῇ συμφωνίᾳ τὸ ἐναργὲς τῆς καταλήψεως ἔχουσιν. Ἡμεῖς μὲν γὰρ ὁμολογοῦμεν τὸ ἑαυτῶν ἀσθενὲς καὶ ἐπιζητοῦμεν τὴν σύμπνοιαν ὑμῶν. Οἴδαμεν γὰρ ὅτι, κἂν μὴ παρῆτε τῷ σώματι, τῇ διὰ τῶν εὐχῶν βοηθείᾳ μέγα παρέξετε ἡμῖν ἐν τοῖς ἀναγκαιοτάτοις καιροῖς ὄφελος. Ὑμᾶς δὲ οὐκ ἔστιν οὔτε παρὰ ἀνθρώποις εὐπρεπὲς οὔτε τῷ Θεῷ εὐάρεστον ταῖς τοιαύταις κεχρῆσθαι φωναῖς αἷς οὐδὲ τὰ ἔθνη κέχρηνται τὰ μὴ εἰδότα τὸν Θεόν. Ἀλλὰ κἀκεῖνα ἀκούομεν, κἂν εἰς πάντα αὐτάρκη τὴν χώραν νέμωνται, τῆς γοῦν τῶν μελλόντων ἕνεκεν ἀδηλίας τὴν πρὸς ἀλλήλους συμμαχίαν ἀσπάζεσθαι καὶ τὴν ἐπιμιξίαν ὡς ἔχουσάν τι κέρδος μεταδιώκειν. Ἡμεῖς δὲ ἐκείνων ὄντες τῶν πατέρων, οἳ ἐνομοθέτησαν διὰ μικρῶν χαρακτήρων τὰ τῆς ἐπιμιξίας σύμβολα ἀπὸ περάτων τῆς γῆς εἰς πέρατα περιφέρεσθαι καὶ πάντας πᾶσι πολίτας καὶ οἰκείους εἶναι, νῦν ἀποτέμνομεν ἑαυτοὺς τῆς οἰκουμένης καὶ οὔτε ἐπαισχυνόμεθα τῇ μονώσει οὔτε ζημίαν φέρειν τὸν διασπασμὸν τῆς ὁμονοίας τιθέμεθα οὔτε φρίσσομεν ὅτι εἰς ἡμᾶς φθάνει ἡ φοβερὰ τοῦ Κυρίου ἡμῶν προφητεία εἰπόντος ὅτι· «Διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν».

---

8. Ἐφεσ. 4,5.
9. Α' Κορ. 12,12 - 21.

χωρίζει ἀπὸ ἀλλήλους, ἀδελφοί, ἐὰν δὲν ἐνεργήσωμεν ἡμεῖς μὲ τὴν προαίρεσίν μας τὸν χωρισμόν. Εἷς εἶναι ὁ Κύριος ἡμῶν, μία ἡ πίστις[8], ἐλπὶς ἡ ἰδία. Εἴτε θεωρεῖτε τοὺς ἑαυτούς σας κεφαλὴν τῆς καθόλου Ἐκκλησίας, ἡ κεφαλὴ δὲν δύναται νὰ εἴπῃ εἰς τὰ πόδια, «δὲν σᾶς ἔχω ἀνάγκην». Εἴτε εἰς ἄλλην τάξιν τῶν ἐκκλησιαστικῶν μελῶν κατατάσσετε τοὺς ἑαυτούς σας, δὲν δύνασθε νὰ εἴπετε εἰς ἡμᾶς ποὺ εἴμεθα ἐντεταγμένοι εἰς τὸ ἴδιον σῶμα, «δὲν σᾶς ἔχομεν ἀνάγκην»[9]. Καὶ αἱ χεῖρες χρειάζονται ἀλλήλας καὶ οἱ πόδες στηρίζουν ἀλλήλους καὶ οἱ ὀφθαλμοὶ ἔχουν καθαρότητα προσλήψεως μὲ τὴν συνεργασίαν.

Ἡμεῖς μὲν ὁμολογοῦμεν τὴν ἀσθένειάν μας καὶ ζητοῦμεν τὴν συμφωνίαν μὲ σᾶς. Γνωρίζομεν δὲ ὅτι, καὶ ἂν δὲν παραστῆτε κατὰ τὸ σῶμα, διὰ τῆς βοηθείας τῶν εὐχῶν θὰ παράσχετε εἰς ἡμᾶς μέγα ὄφελος εἰς τὰς δυσκολωτάτας περιστάσεις. Ὡς πρὸς σᾶς δὲ δὲν εἶναι οὔτε μεταξὺ τῶν ἀνθρώπων εὐπρεπὲς οὔτε εἰς τὸν Θεὸν εὐάρεστον νὰ χρησιμοποιῆτε φωνάς, ὁμοίας τῶν ὁποίων δὲν χρησιμοποιοῦν οὔτε τὰ ἔθνη ποὺ δὲν γνωρίζουν τὸν Θεόν. Ἀλλὰ καὶ ἐκεῖνα, ἀκόμη καὶ ὅταν κατοικοῦν μίαν αὐτάρκη χώραν, ἀκούομεν ὅτι λόγῳ τῆς ἀβεβαιότητος τῶν μελλόντων δέχονται τὴν μεταξύ των συμμαχίαν καὶ ἐπιδιώκουν τὴν μεταξύ των ἐπικοινωνίαν ὡς προσφέρουσαν κέρδος. Ἡμεῖς δὲ ποὺ ἔχομεν πατέρας ἐκείνους, οἱ ὁποῖοι καθώρισαν νὰ περιφέρωνται ἀπὸ τὰ πέρατα τῆς γῆς εἰς τὰ πέρατα τὰ σύμβολα τῆς ἐπικοινωνίας μὲ μικρὰ σημεῖα[10] καὶ νὰ εἶναι ὅλοι συμπολῖται καὶ φίλοι μὲ ὅλους, τώρα ἀποκόπτομεν τοὺς ἑαυτούς μας ἀπὸ τὴν οἰκουμένην καὶ οὔτε ἐντρεπόμεθα διὰ τὴν ἀπομόνωσιν οὔτε ζημίαν νομίζομεν ὅτι θὰ προκαλέσῃ ἡ διάσπασις οὔτε φρίττομεν ποὺ φθάνει εἰς ἡμᾶς ἡ φοβερὰ προφητεία τοῦ Κυρίου ποὺ εἶπεν ὅτι, «διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν»[11].

---

10. Τὰ σημεῖα ἀναγνωρίσεως τῶν πρώτων Χριστιανῶν μεταξύ των, ὅπως εἶναι ὁ σταυρός, ὁ ἰχθύς, ὁ ἄρτος, ὁ ποιμὴν καὶ ἄλλα.

11. Ματθ. 24,12.

4. Μή, ἀδελφοὶ τιμιώτατοι, μὴ ἀνάσχησθε τοῦτο, ἀλλὰ καὶ ἐπὶ τοῖς παρελθοῦσι παρακαλέσατε ἡμᾶς γράμμασιν εἰρηνικοῖς καὶ ἀγαπητικαῖς προσφωνήσεσιν, οἱονεὶ πραείᾳ τινὶ ἐπαφῇ τὸ τῆς καρδίας ἡμῶν ἕλκος ὃ ἐκ τῆς παρελθούσης ἀμελείας ἐνεποιήσατε ἡμῖν παραμυθούμενοι. Καὶ εἴτε αὐτοὶ βούλεσθε πρὸς ἡμᾶς ἀπαντῆσαι καὶ δι' ἑαυτῶν ἐρευνῆσαι τὰ ἀρρωστήματα ἡμῶν, εἰ ὄντως τοιαῦτά ἐστιν οἷα ἀκούετε ἢ ταῖς ἐκ τοῦ ψεύδους προσθήκαις βαρύτερα ὑμῖν ἀπαγγέλλεται τὰ ἁμαρτήματα ἡμῶν, γενέσθω καὶ τοῦτο. Ἕτοιμοι ἡμεῖς ὑπτίαις χερσὶ τὴν παρουσίαν ὑμῶν ὑποδέξασθαι καὶ προθεῖναι ἑαυτοὺς εἰς ἀκριβῆ βάσανον· μόνον ἀγάπη προηγείσθω τῶν γινομένων. Εἴτε καὶ βούλεσθε παρ' ἑαυτοῖς ὑποδεῖξαί τινα τόπον ἐν ᾧ γενόμενοι καὶ ὑμῖν τὸ ὀφειλόμενον τῆς ἐπισκέψεως χρέος ἀποπληρώσομεν καὶ ἑαυτῶν τὴν ἐνδεχομένην πεῖραν παρέξομεν, ὥστε καὶ τὰ προλαβόντα ἰάσασθαι καὶ τοῦ λοιποῦ μηδεμίαν διαβολαῖς χώραν καταλιπεῖν, καὶ τοῦτο γενέσθω. Πάντως γάρ, εἰ καὶ ἀσθενῆ περιφέρομεν σάρκα, ἀλλ' ἕως ἀναπνέομεν ὑπεύθυνοί ἐσμεν μηδὲν ἐλλιμπάνειν τῶν εἰς οἰκοδομὴν τῶν Ἐκκλησιῶν τοῦ Χριστοῦ. Μὴ οὖν παραλογίσησθε ἡμῶν τὴν παράκλησιν ταύτην, μὴ εἰς ἀνάγκην ἡμᾶς ἀγάγητε καὶ πρὸς ἄλλους ἐξειπεῖν τὴν ὀδύνην ἡμῶν. Μέχρι γὰρ νῦν, γινώσκετε, ἀδελφοί, ἐν ἑαυτοῖς τὴν λύπην στέγομεν αἰσχυνόμενοι τοῖς πόρρωθεν ἡμῶν κοινωνικοῖς τὴν πρὸς ἡμᾶς ἀλλοτρίωσιν ὑμῶν διαγγεῖλαι, ἵνα μὴ κἀκείνους θλίψωμεν καὶ χαρὰν τοῖς μισοῦσιν ἡμᾶς ἐμποιήσωμεν. Ταῦτα μόνος ἐπέστειλα νῦν, γνώμῃ δὲ τῶν ἐν Καππαδοκίᾳ πάντων ἀδελφῶν ἔγραψα, οἳ καὶ παρεκάλεσάν με μὴ τῷ τυχόντι χρήσασθαι διακόνῳ τοῦ γράμματος, ἀλλ' ἀνδρὶ ὃς δυνήσεται διὰ τῆς ἐπιστολῆς ὅσα παρήκαμεν, φοβούμενοι μὴ εἰς πολλὴν ἀμετρίαν τὸν λόγον ἐκβάλωμεν, ταῦτα διὰ τῆς ἑαυτοῦ συνέσεως ἣν

12. Α' Κορ. 14,5·12.

4. Μή, ἀδελφοὶ τιμιώτατοι, μὴ ἀνεχθῆτε τοῦτο· ἀντιθέτως μάλιστα παρηγορήσατε ἡμᾶς μὲ εἰρηνικὰ καὶ φιλικὰ γράμματα διὰ τὰ περασμένα, ἀπαλύνοντες τρόπον τινὰ μὲ μίαν γλυκεῖαν ἐπαφὴν τὸ ἕλκος τῆς καρδίας μας ποὺ μᾶς προεκαλέσατε μὲ τὴν περασμένην ἀμέλειαν. Καὶ εἴτε θέλετε νὰ μᾶς ἐπισκεφθῆτε, διὰ νὰ ἐρευνήσετε οἱ ἴδιοι τὰ ἀρρωστήματά μας, ἂν πράγματι τὰ ἁμαρτήματά μας εἶναι τέτοια, ὅπως τὰ ἀκούετε, ἢ μήπως μὲ προσθήκας ἀπὸ ψεύδη παρουσιάζονται εἰς σᾶς βαρύτερα, ἂς γίνῃ καὶ αὐτό. Ἡμεῖς εἴμεθα ἕτοιμοι μὲ σηκωμένα χέρια νὰ ὑποδεχθῶμεν τὴν παρουσίαν σας καὶ νὰ θέσωμεν τοὺς ἑαυτούς μας εἰς ἀκριβῆ βάσανον· ἀρκεῖ μόνον νὰ προηγηθῇ τῶν γινομένων ἡ ἀγάπη. Εἴτε θέλετε νὰ ὑποδείξετε εἰς τὰ μέρη σας κάποιον τόπον, εἰς τὸ ὁποῖον φθάνοντες ἡμεῖς καὶ τὸ ὀφειλόμενον χρέος τῆς ἐπισκέψεως νὰ πληρώσωμεν καὶ τοὺς ἑαυτούς μας νὰ παραδώσωμεν εἰς ἐνδεχομένην δοκιμασίαν, ὥστε καὶ τὰ μεσολαβήσαντα νὰ θεραπεύσωμεν καὶ εἰς τὸ ἑξῆς νὰ μὴ ἀφήσωμεν κανένα χῶρον διὰ συκοφαντίαν, ἂς γίνῃ καὶ τοῦτο. Πάντως δέ, μολονότι περιφέρομεν ἀσθενικὴν σάρκα, ἕως ὅτου ἀναπνέομεν ἔχομεν τὴν εὐθύνην νὰ μὴ παραλείπωμεν τίποτε ἀπὸ ὅσα χρειάζονται εἰς οἰκοδομὴν τῶν Ἐκκλησιῶν τοῦ Χριστοῦ[12].

Μὴ παρανοήσετε λοιπὸν τὴν σημασίαν τῆς παρακλήσεώς μας ταύτης, μὴ μᾶς ὁδηγήσετε εἰς τὴν ἀνάγκην νὰ ἀνακοινώσωμεν καὶ εἰς ἄλλους τὴν ὀδύνην μας. Διότι ἕως τώρα, γνωρίζετε, ἀδελφοί, κρατοῦμεν τὴν λύπην μέσα μας, ἐντρεπόμενοι νὰ ἀνακοινώσωμεν τὴν ἀποξένωσίν σας ἀπὸ ἡμᾶς εἰς τοὺς κοινωνούς μας τῶν ἀπομακρυσμένων περιοχῶν, διὰ νὰ μὴ στενοχωρήσωμεν καὶ ἐκείνους καὶ προκαλέσωμεν χαρὰν εἰς τοὺς μισοῦντας ἡμᾶς. Αὐτὰ τὰ ἔστειλα τώρα μόνος, ἀλλὰ τὰ ἔγραψα μὲ σύμφωνον γνώμην ὅλων τῶν εἰς τὴν Καππαδοκίαν ἀδελφῶν, οἱ ὁποῖοι καὶ μὲ παρεκάλεσαν νὰ μὴ χρησιμοποιήσω τὸν τυχόντα ὡς ταχυδρόμον τοῦ γράμματος, ἀλλὰ ἄνδρα ὁ ὁποῖος θὰ δυνηθῇ ὅσα παρελείψαμεν εἰς τὴν ἐπιστολήν, φοβούμενοι μὴ καταστήσωμεν πολὺ μακρὸν τὸν λόγον, νὰ τὰ συμπληρώσῃ μὲ τὴν σύνεσιν ποὺ ἔχει ἀπὸ τὴν χάριν τοῦ Θεοῦ. Ἐννοοῦ-

ἔχει ἐκ τῆς χάριτος τοῦ Θεοῦ ἀναπληρῶσαι. Λέγομεν δὲ τὸν ποθεινότατον ἡμῖν καὶ εὐλαβέστατον ἀδελφὸν Πέτρον τὸν συμπρεσβύτερον, ὃν καὶ δέξασθε ἐν ἀγάπῃ καὶ προπέμψατε πρὸς ἡμᾶς εἰρηνικῶς, ἵνα γένηται ἡμῖν ἀγαθῶν ἄγγελος.

227

252. ΕΠΙΣΚΟΠΟΙΣ ΤΗΣ ΠΟΝΤΙΚΗΣ ΔΙΟΙΚΗΣΕΩΣ

Μαρτύρων τιμαὶ πᾶσι μὲν περισπούδαστοι τοῖς ἐπὶ Κύριον ἠλπικόσιν, ἐξαιρέτως δὲ ὑμῖν τοῖς ἀρετῆς ἀντιποιουμένοις οἳ διὰ τῆς πρὸς τοὺς εὐδοκίμους τῶν ὁμοδούλων διαθέσεως τὴν πρὸς τὸν κοινὸν Δεσπότην εὔνοιαν ἐπιδείκνυσθε, ἄλλως δὲ καὶ διὰ τὸ συγγενές τι ἔχειν τὸν ἐν ἀκριβείᾳ βίον πρὸς τοὺς διὰ καρτερίας τελειωθέντας. Ἐπεὶ οὖν ἐπισημότατοι μαρτύρων Εὐψύχιος καὶ Δάμας καὶ ὁ περὶ αὐτοὺς χορὸς ὢν ἡ μνήμη δι' ἔτους παρὰ τῆς πόλεως ἡμῶν καὶ τῆς περιοικίδος δὲ πάσης τελεῖται, ὑπομιμνήσκει ὑμᾶς τὸν ἴδιον ἑαυτῆς κόσμον ἡ Ἐκκλησία διὰ τῆς ἡμετέρας φωνῆς παρακαλοῦσα τὴν ἀρχαίαν ἀπολαβεῖν τῆς ἐπισκέψεως ὑμῶν συνήθειαν. Ὡς οὖν ἐργασίας μεγάλης προκειμένης ὑμῖν ἐν λαῷ ἐπιζητοῦντι τὴν παρ' ὑμῶν οἰκοδομὴν καὶ μισθῶν ἐν τῇ τιμῇ τῶν μαρτύρων ἀποκειμένων, δέξασθε ἡμῶν τὴν παράκλησιν καὶ ἐπινεύσατε πρὸς τὴν χάριν μικρῷ πόνῳ μεγάλην ἡμῖν εὐεργεσίαν παρεχόμενοι.

Ἐπιστολὴ 252. Ἐγράφη τὸ 376. Ἀπευθύνεται πρὸς ὅλους τοὺς ἐπισκόπους τῆς μεγάλης διοικήσεως τοῦ Πόντου, μιᾶς τῶν 13 διοικήσεων τῆς αὐτοκρατορίας κατὰ τὴν ὑπὸ τοῦ Μεγάλου Κωνσταντίνου διαίρεσιν, τοὺς

μεν δὲ τὸν ἀγαπητότατον εἰς ἡμᾶς καὶ εὐλαβέστατον ἀδελφόν Πέτρον, τὸν συμπρεσβύτερον, τὸν ὁποῖον, παρακαλοῦμεν, νὰ δεχθῆτε μὲ ἀγάπην καὶ νὰ προπέμψετε πρὸ ἡμᾶς εἰρηνικῶς, διὰ νὰ γίνῃ εἰς ἡμᾶς ἀγγελιαφόρος ἀγαθῶν.

227

ΕΠΙΣΤΟΛΗ 252
ΠΡΟΣ ΤΟΥΣ ΕΠΙΣΚΟΠΟΥΣ ΤΗΣ ΔΙΟΙΚΗΣΕΩΣ ΤΟΥ ΠΟΝΤΟΥ

Αἱ τιμαὶ πρὸς τοὺς μάρτυρας εἶναι περισπούδαστοι δι' ὅλους τοὺς ἐλπίζοντας εἰς τὸν Κύριον, ἐξαιρετικῶς δὲ εἰς σᾶς ποὺ ἔχετε ὡς ἔργον τὴν ἀρετήν· εἰς σᾶς οἱ ὁποῖοι μὲ τὴν καλὴν διάθεσιν πρὸς τοὺς εὐδοκίμους ἐκ τῶν ὁμοδούλων ἐπιδεικνύετε τὴν ἀφοσίωσιν πρὸς τὸν κοινὸν Δεσπότην. Πλὴν ἄλλων δὲ ἡ φροντὶς αὐτὴ ὀφείλεται καὶ εἰς τὸ γεγονὸς ὅτι ὁ ἐν ὑπακοῇ βίος ἔχει κάποιαν συγγένειαν πρὸς τὴν διαγωγὴν ἐκείνων ποὺ ἐτελειώθησαν διὰ τῆς καρτερίας [1]. Ἐπειδὴ λοιπὸν ἐπισημότατοι μεταξὺ τῶν μαρτύρων εἶναι ὁ Εὐψύχιος καὶ ὁ Δάμας καὶ ὁ γύρω ἀπὸ αὐτοὺς χορός, τῶν ὁποίων ἡ μνήμη τελεῖται κάθε χρόνον ἀπὸ τὴν πόλιν μας καὶ ὅλην τὴν περιφέρειάν της, ἡ Ἐκκλησία σᾶς ὑπενθυμίζει τὸν στολισμόν της διὰ τῆς ἰδικῆς μας φωνῆς, παρακαλοῦσα νὰ ξανακερδίσῃ τὴν παλαιὰν συνήθειαν τῆς ἐπισκέψεώς σας.

Πεπεισμένοι λοιπὸν ὅτι ἐνώπιόν σας πρόκειται μεγάλη ἐργασία εἰς τὸ μέσον λαοῦ ἐπιζητοῦντες τὴν οἰκοδομὴν ἀπὸ σᾶς καὶ ὅτι ἀπόκεινται μισθοὶ διὰ τὴν τιμὴν πρὸς τοὺς μάρτυρας, δεχθῆτε τὴν παράκλησίν μας καὶ κάμετέ μας τὴν χάριν, προσφέροντες εἰς ἡμᾶς μὲ μικρὸν κόπον μεγάλην εὐεργεσίαν.

ὁποίους προσκαλεῖ εἰς τὴν ἐτησίαν πανήγυριν τοῦ ἁγίου Εὐψυχίου, μαρτυρήσαντος προσφάτως ἐπὶ Ἰουλιανοῦ.

1. Πρὸς τοὺς μάρτυρας.

228

24. ΑΘΑΝΑΣΙΩ ΤΩ ΠΑΤΡΙ ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ

Ὅτι μὲν κρείττονα εἶναι διαβολῶν ἀνθρώπου βίον τῶν χαλεπωτάτων ἐστίν, ἵνα μὴ τῶν ἀδυνάτων εἴπω, αὐτός τε πέπεισμαι καὶ τὴν σὴν χρηστότητα νομίζω μὴ ἀμφιβάλλειν. Τὸ μέντοι μηδεμίαν παρέχειν ἐξ ἑαυτῶν λαβήν, μήτε τοῖς ἀκριβῶς ἐπιτηροῦσι τὰ πράγματα, μήτε τοῖς κατ' ἐπήρειαν ἐφεδρεύουσιν ἡμῶν τοῖς ὀλισθήμασι, τοῦτο δὲ καὶ δυνατὸν καὶ ἴδιον τῶν συνετῶς καὶ κατὰ τὸν τῆς εὐσεβείας σκοπὸν τὸν ἑαυτῶν βίον διεξαγόντων. Ἡμᾶς δὲ μὴ οὕτως εὐκόλους οἴου, μηδὲ εὐπαραγώγους εἶναι, ὥστε ἀνεξετάστως τὰς παρὰ τῶν τυχόντων προσίεσθαι καταρρήσεις. Μεμνήμεθα γὰρ τοῦ πνευματικοῦ παραγγέλματος μὴ χρῆναι προσδέχεσθαι ἀκοὴν ματαίαν παρεγγυῶντος. Πλὴν ἀλλ' ἐπειδὴ ὑμεῖς αὐτοί φατε, οἱ περὶ τοὺς λόγους ἐσπουδακότες, τὰ φαινόμενα τῶν ἀφανῶν εἶναι σημεῖα, τοῦτο ἀξιοῦμεν (καὶ μὴ βαρέως δέξῃ εἴ τι ἐν διδασκαλίας εἴδει λεχθήσεται παρ' ἡμῶν· τὰ γὰρ ἀσθενῆ τοῦ

Ἐπιστολὴ 24. Ἐγράφη πρὸ τοῦ τέλους τοῦ 368 καὶ ἀπευθύνεται πρὸς τὸν Ἀθανάσιον, τὸν πατέρα τοῦ ἐπισκόπου Ἀγκύρας Ἀθανασίου. Ὁ Ἀθανάσιος οὗτος ἔμαθεν ὅτι ὁ Βασίλειος εἶχεν ἀκούσει συκοφαντικὰς φήμας περὶ τῶν διαθέσεών του ἔναντι τῶν τέκνων του καὶ τοῦ ἔγραψε σχε-

228

ΕΠΙΣΤΟΛΗ 24
ΠΡΟΣ ΑΘΑΝΑΣΙΟΝ ΤΟΝ ΠΑΤΕΡΑ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΑΘΑΝΑΣΙΟΥ

Ὅτι τὸ νὰ ἐκφεύγῃ βίος ἀνθρώπου τὰς διαβολὰς εἶναι ἐκ τῶν δυσχερεστάτων, διὰ νὰ μὴ εἴπω τῶν ἀδυνάτων, καὶ ἐγὼ ὁ ἴδιος εἶμαι πεπεισμένος καὶ ἡ χρηστότης σου νομίζω ὅτι δὲν ἀμφιβάλλει. Τὸ νὰ μὴ παρέχωμεν ὅμως ἡμεῖς οἱ ἴδιοι καμμίαν λαβήν, οὔτε εἰς ἐκείνους ποὺ ψιλοκοσκινίζουν τὰ πράγματα οὔτε εἰς ἐκείνους ποὺ παραμονεύουν διὰ τὰ ὀλισθήματά μας, τοῦτο βεβαίως καὶ δυνατὸν εἶναι καὶ γνώρισμα ἀποτελεῖ τῶν διερχομένων τὸν βίον των μὲ σύνεσιν καὶ κατὰ τὸν σκοπὸν τῆς εὐσεβείας.

Ἡμεῖς δὲ νὰ μὴ νομίζῃς ὅτι εἴμεθα τόσον εὔκολοι οὔτε τόσον εὐκολόπιστοι, ὥστε νὰ δεχώμεθα ἀνεξετάστως τὰς ὑπὸ τῶν τυχόντων κατηγορίας. Πράγματι ἐνθυμούμεθα τὸ πνευματικὸν παράγγελμα ποὺ διατάσσει νὰ μὴ δεχώμεθα ματαίας φήμας [1]. Ἀλλ' ὅμως ἐπειδὴ σεῖς οἱ ἴδιοι οἱ ἀσχολούμενοι μὲ τὴν ρητορικὴν [2] λέγετε ὅτι τὰ φαινόμενα εἶναι σημεῖα τῶν ἀφανῶν, ἀξιοῦμεν τοῦτο· — καὶ νὰ μὴ προσβληθῇς ἐὰν

τικῶς. Ὁ Βασίλειος, ποὺ προφανῶς δὲν ἐπίστευσεν εἰς τὰς φήμας, βεβαιώνει ὅτι δὲν τὰς ἐπληροφορήθη ἀπὸ τὸν χωρεπίσκοπον Τιμόθεον καὶ δίδει σχετικὰς παραινέσεις.

1. Ἔξ. 23, 1.

2. Ὁ Ἀθανάσιος οὗτος ἦτο ρήτωρ.

κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεός, καὶ δι' αὐτῶν πολλάκις οἰκονομεῖ τὴν σωτηρίαν τῶν σωζομένων)· ὅ γε μὴν λέγω καὶ παραγγέλλω, ἐκεῖνό ἐστι· πάντα μὲν λόγον, πᾶσαν δὲ πρᾶξιν καθήκουσαν περιεσκεμμένως ἐπιτελεῖσθαι, καὶ κατὰ τὸ ἀποστολικὸν παράγγελμα μηδεμίαν ἐν μηδενὶ διδόναι προσκοπήν. Πρέπον γὰρ εἶναι τίθεμαι, ἀνδρὸς πολλὰ μὲν ἐπὶ μαθήσει λόγων ἱδρώσαντος, ἐθνῶν δὲ καὶ πόλεων ἀρχὰς διευθύναντος καὶ πρὸς μεγάλην προγόνων ἀρετὴν τὸν ζῆλον ἔχοντος, τὸν βίον προκεῖσθαι εἰς ὑπόδειγμα ἀρετῆς. Τὴν μέντοι περὶ τὰ τέκνα διάθεσιν οὐχὶ λόγῳ νῦν ὀφείλεις δεικνύναι, ὅς γε πάλαι ἔδειξας, ἀφ' οὗ πατὴρ ἐγένου, οὐ μόνον τῇ φυσικῇ στοργῇ κεχρημένος ἦν καὶ τὰ ἄλογα παρέχεται τοῖς ἐκγόνοις, ὡς αὐτός τε εἶπας καὶ ἡ πεῖρα δείκνυσιν, ἀλλὰ καὶ ἐπιτείνειν δηλονότι τὴν ἀγάπην ἐκ προαιρέσεως, ὅσῳ ὁρᾷς τοιαῦτα ὄντα οἷα ἄξια εἶναι πατρικῶν προσευχῶν. Ὥστε οὐχ ἡμᾶς δεῖ περὶ τούτων πείθεσθαι, ἀρκοῦσα γὰρ ἡ ἐξ αὐτῶν τῶν γινομένων ἐστὶ μαρτυρία. Ἐκεῖνό γε μὴν οὐκ ἄκαιρον προσθεῖναι τῆς ἀληθείας ἕνεκεν, ὅτι οὐχ ὁ ἀδελφὸς Τιμόθεός ἐστιν, ὁ χωρεπίσκοπος, ὁ ἀνενεγκὼν ἡμῖν τὰ θρυληθέντα. Οὔτε γὰρ ἐν συντυχίᾳ, οὔτε διὰ γράμματος φαίνεται μικρόν τι ἢ μεῖζον διαβολῆς ἐχόμενον περὶ σοῦ φθεγξάμενος. Ὥστε ἀκηκοέναι μέν τι οὐκ ἀρνούμεθα· οὐ μὴν Τιμόθεον εἶναι τὸν τὰς διαβολάς σοι κατασκευάζοντα. Ἀκούοντες δὲ πάντως, εἰ μή τι ἄλλο, τὸ γοῦν τοῦ Ἀλεξάνδρου ποιήσομεν, τὴν ἑτέραν τῶν ἀκοῶν ἀκεραίαν ταμιευσόμεθα τῷ διαβαλλομένῳ.

---

3. Α' Κορ. 1, 27.
4. Β' Κορ. 6, 3.

λεχθῇ κάτι ἀπὸ ἡμᾶς ἐν εἴδει διδασκαλίας· διότι ὁ Θεὸς ἐξέλεξε τὰ ἀσθενῆ καὶ τὰ ἐξουθενωμένα [3] καὶ πολλάκις δι' αὐτῶν οἰκονομεῖ τὴν σωτηρίαν τῶν σωζομένων — αὐτὸ λοιπὸν ποὺ λέγω καὶ παραγγέλλω εἶναι τοῦτο· κάθε λόγος καὶ κάθε νόμιμος πρᾶξις πρέπει νὰ ἐπιτελῆται μὲ περίσκεψιν καὶ κατὰ τὸ ἀποστολικὸν παράδειγμα νὰ μὴ δίδεται εἰς καμμίαν περίπτωσιν καμμία ἀφορμὴ σκανδάλου. [4] Νομίζω πράγματι ὅτι εἰς ἄνδρα, ποὺ ἔχει πολὺ ἱδρώσει εἰς τὴν σπουδὴν τῶν λόγων καὶ ἔχει ἀσκήσει ἐξουσίαν εἰς λαοὺς καὶ πόλεις καὶ ὁδηγεῖται ἀπὸ τὸν ζῆλον νὰ φθάσῃ τὴν μεγάλην ἀρετὴν τῶν προγόνων του, ἁρμόζει νὰ ἔχῃ βίον ποὺ κεῖται ὡς ὑπόδειγμα ἀρετῆς.

Λοιπὸν τὴν διάθεσιν πρὸς τὰ τέκνα δὲν πρέπει τώρα νὰ δεικνύῃς μὲ τὰ λόγια, ἀφοῦ ἄλλωστε ἀπὸ καιρὸν τὴν ἔδειξες, ἀφ' ὅτου ἔγινες πατέρας, ὄχι μόνον μ' ἐκδηλώσεις τῆς φυσικῆς στοργῆς ποὺ ἔχουν καὶ τὰ ἄλογα ζῷα εἰς τὰ γεννήματά των, ὅπως καὶ σὺ ὁ ἴδιος εἶπες καὶ ἡ πεῖρα δεικνύει, ἀλλὰ προφανῶς καὶ νὰ ἐπιτείνῃς τὴν ἀγάπην ἐκ προαιρέσεως, ὅσον βλέπεις ὅτι τὰ τέκνα εἶναι ἄξια τῶν πατρικῶν προσευχῶν. Ὥστε δὲν ὑπάρχει λόγος νὰ πεισθῶμεν ἡμεῖς περὶ τούτων, διότι εἶναι ἀρκετὴ ἡ μαρτυρία ἀπὸ τὰ πράγματα τὰ ἴδια. Δὲν εἶναι ὅμως ἄκαιρον χάριν τῆς ἀληθείας νὰ προσθέσω ἐκεῖνο, ὅτι δὲν εἶναι ὁ ἀδελφὸς Τιμόθεος, ὁ χωρεπίσκοπος, αὐτὸς ποὺ μᾶς μετέφερε τὰς φήμας. Αὐτὸς δὲν φαίνεται ὅτι εἶπε διὰ σὲ λόγον μικρὸν ἢ μέγαν περιέχοντα διαβολὴν εἴτε εἰς συνάντησιν εἴτε διὰ γράμματος. Ὥστε ὅτι ἠκούσαμεν κάτι δὲν ἀρνούμεθα, ἀλλὰ δὲν εἶναι ὁ Τιμόθεος ὁ κατασκευάσας τὰς ἐναντίον σου διαβολάς. Πάντως δέ, ὅταν ἀκούωμεν, ἂν ὄχι τίποτε ἄλλο, θὰ κάμωμεν τὸ τοῦ Ἀλεξάνδρου [5], θὰ διατηρῶμεν τὸ ἕνα αὐτὶ ἀνέπαφον διὰ τὸν συκοφαντούμενον.

---

5. Πλουτάρχου, Βίος Ἀλεξάνδρου 42, 2.

229

25. ΑΘΑΝΑΣΙΩ ΕΠΙΣΚΟΠΩ ΑΓΚΥΡΑΣ

1. Ἀπήγγειλάν μοί τινες τῶν ἐκ τῆς Ἀγκύρας πρὸς ἡμᾶς ἀφικομένων, πολλοὶ δὲ οὗτοι καὶ οὓς οὐδὲ ἀριθμῆσαι ῥᾴδιον, σύμφωνα δὲ πάντες φθεγγόμενοι, σέ, τὴν φίλην κεφαλὴν (πῶς ἂν εὐφήμως εἴποιμι;), οὐχ ὡς ἥδιστα μεμνῆσθαι ἡμῶν, οὐδὲ κατὰ τὸν σεαυτοῦ τρόπον. Ἐμὲ δὲ οὐδὲν ἐκπλήσσει τῶν ἀνθρωπίνων, εὖ ἴσθι, οὐδὲ ἀπροσδόκητός ἐστιν οὐδενὸς τῶν πάντων μεταβολή, πάλαι τὸ τῆς φύσεως ἀσθενὲς καὶ τὸ εὐπερίτρεπτον πρὸς τὰ ἐναντία καταμαθόντα. Ὅθεν οὔτ' εἴ τι τῶν ἡμετέρων μεταπέπτωκε καὶ ἐκ τῆς πρότερον τιμῆς λοιδορίαι καὶ ὕβρεις περὶ ἡμᾶς νῦν γίνονται, μέγα τοῦτο ποιοῦμαι. Ἀλλ' ἐκεῖνό μοι τὴν πρώτην παράδοξον ὡς ἀληθῶς καὶ ὑπερφυὲς ἐφάνη, τὸ σὲ εἶναι τὸν οὕτω πρὸς ἡμᾶς ἔχοντα ὥστε ὀργίζεσθαι ἡμῖν καὶ χαλεπαίνειν, ἤδη δέ τι καὶ ἀπειλεῖν, ὡς ὁ τῶν ἀκουσάντων λόγος. Τῶν μὲν οὖν ἀπειλῶν καὶ πάνυ (εἰρήσεται γὰρ τὸ ἀληθὲς) κατεγέλασα. Ἡ κομιδῇ γ' ἂν παῖς εἴην τὰ τοιαῦτα μορμολύκεια δεδοικώς. Ἐκεῖνο δέ μοι φοβερὸν καὶ πολλῆς ἄξιον φροντίδος ἔδοξε, τὸ τὴν σὴν ἀκρίβειαν, ἣν ἐν ὀλίγοις ἔρεισμά τε ὀρθότητος καὶ τῆς ἀρχαίας καὶ ἀληθινῆς ἀγάπης σπέρμα εἰς παραμυθίαν ταῖς Ἐκκλησίαις σώζεσθαι πεπιστεύκαμεν, ἐπὶ τοσοῦτον τῆς παρούσης καταστάσεως μετασχεῖν,

---

Ἐπιστολὴ 25. Ἐγράφη πρὸ τοῦ τέλους τοῦ 368, ἐνῷ ὁ Βασίλειος ἦτο ἀκόμη πρεσβύτερος. Ὁ Ἀθανάσιος οὗτος, υἱὸς τοῦ Ἀθανασίου τῆς ἐπιστολῆς 24, διεδέχθη εἰς τὴν ἕδραν τῆς Ἀγκύρας τὸν ἀρειανίζοντα Βασίλειον, ὁ ὁποῖος ἐξωρίσθη μετὰ τὴν σύνοδον ποὺ ἐπραγματοποιήθη εἰς τὴν Κωνσταντινούπολιν τὸν Ἰανουάριον τοῦ 360. Μετέσχεν εἰς τὴν σύνοδον Τυάνων Καππαδοκίας τὸ 367. Ὁ Ἀθανάσιος οὗτος καὶ ὁ Βασίλειός μας ἦσαν στενοὶ φίλοι, ἀλλ' ἤδη ὁ πρῶτος διατυπώνει δυσμενεῖς κρίσεις περὶ τοῦ δευτέρου. Ὁ Βασίλειος ἀπαντᾷ μὲ εὐγένειαν. Ὅταν ὁ Ἀθανάσιος ἀπέθανε (τέ-

229

ΕΠΙΣΤΟΛΗ 25
ΠΡΟΣ ΑΘΑΝΑΣΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΑΓΚΥΡΑΣ

1. Μερικοὶ ἀπὸ αὐτοὺς ποὺ ἔρχονται ἐδῶ ἀπὸ τὴν Ἄγκυραν, εἶναι δὲ πολλοὶ αὐτοὶ καὶ δὲν εἶναι εὔκολον νὰ τοὺς ἀπαριθμήσωμεν, πάντως δὲ ὅλοι συμφωνοῦν εἰς τοὺς λόγους των, μᾶς ἀνήγγειλαν ὅτι σύ, ὁ ἀγαπητὸς φίλος —ποῖον εὐφημισμὸν ἠμπορῶ τάχα νὰ χρησιμοποιήσω;—, μᾶς μνημονεύεις ὄχι τόσον πολὺ ἐπαινετικὰ οὔτε κατὰ τὸν εὐγενῆ τρόπον ποὺ συνηθίζεις. Πάντως νὰ γνωρίζῃς καλὰ ὅτι ἐμὲ δὲν ἐκπλήσσει τίποτε ἀπὸ τὰ ἀνθρώπινα οὔτε μοῦ εἶναι ἀπροσδόκητος ἡ μεταβολὴ ὁποιουδήποτε πράγματος, διότι ἔχω ἀπὸ παλαιὰ κατανοήσει τὴν ἀσθένειαν τῆς φύσεως τοῦ ἀνθρώπου καὶ τὸ εὐμετάβλητον πρὸς τὰ ἀντίθετα. Ἑπομένως δὲν θεωρῶ σπουδαῖον πρᾶγμα, ἐὰν ἡ θέσις μας ἔχει μεταπέσει καὶ ἐὰν τώρα ἀντὶ τῆς προηγουμένης τιμῆς μᾶς ἀπευθύνωνται λοιδορίαι καὶ ὕβρεις. Ἀλλ' ἐκεῖνο, ποὺ ἀπὸ τὴν πρώτην στιγμὴν μοῦ ἐφάνη πράγματι παράδοξον καὶ τερατῶδες, εἶναι ὅτι εἶσαι σὺ αὐτὸς ποὺ συμπεριφέρεται πρὸς ἡμᾶς οὕτως, ὥστε νὰ ὀργίζεται ἐναντίον μας καὶ νὰ ἀγανακτῇ, ἀκόμη δὲ καὶ νὰ ἀπειλῇ, σύμφωνα μὲ τὰς πληροφορίας τῶν ἀκουσάντων.

Διὰ μὲν τὰς ἀπειλὰς πάρα πολὺ ἐγέλασα — διότι πρέπει νὰ λεχθῇ ἡ ἀλήθεια —. Θὰ ἤμην ἀλήθεια ἐντελῶς παιδί, ἂν ἐφοβούμην τὰ τοιαῦτα φόβητρα. Ἐκεῖνο δὲ μοῦ ἐφάνη φοβερὸν καὶ ἄξιον μεγάλης φροντίδος· τὸ ὅτι ἡ ἀκρίβειά σου, ποὺ εἴχαμεν πιστεύσει ὅτι ἐφυλάσσετο ὡς ἔρεισμα ὀρθότητος μεταξὺ ὀλίγων καὶ ὡς σπέρμα τῆς ἀρχαίας καὶ ἀληθινῆς ἀγάπης εἰς παρηγορίαν τῶν Ἐκκλησιῶν, προσηρμόσθη τόσον πολὺ μὲ τὴν παροῦσαν κατάστασιν πραγμάτων, ὥστε νὰ

λος 368), ὁ Βασίλειος ἔστειλε παραμυθητικὴν ἐπιστολὴν πρὸς τοὺς Ἀγκυρανοὺς μὲ πολὺ κολακευτικοὺς λόγους διὰ τὸν ἀπελθόντα ποιμενάρχην των.

ὥστε τὰς παρὰ τῶν τυχόντων βλασφημίας κυριωτέρας ποιήσασθαι τῆς μακρᾶς ἡμῶν πείρας, καὶ πρὸς τὴν τῶν ἀτόπων ὑπόνοιαν χωρὶς ἀποδείξεων ὑπαχθῆναι. Καὶ τί λέγω ὑπόνοιαν; Ὁ γὰρ ἀγανακτήσας καὶ διαπειληθείς, ὥς φασιν, οὐχ ὑπονοοῦντος, ἀλλὰ τοῦ ἤδη σαφῶς καὶ ἀναντιρρήτως πεισθέντος δοκεῖ πως ὀργὴν ἐνδεδεῖχθαι.

2. Ἀλλ', ὅπερ ἔφην, ἐπὶ τὸν καιρὸν τούτων ἀναφέρομεν τὴν αἰτίαν. Ἐπεὶ πόσου πόνου ἦν, ὦ θαυμάσιε, ἐν ἐπιστολῇ βραχείᾳ, περὶ ὧν ἐβούλου, οἱονεὶ μόνον μόνῳ διαλεχθῆναι, ἤ, εἰ μὴ ἐπίστευες γραφῇ τὰ τοιαῦτα πρὸς σεαυτὸν μεταπέμψασθαι; Εἰ δὲ πάντως ἐξειπεῖν ἔδει καὶ ἀναβολῇ καιρὸν οὐκ ἐδίδου τὸ δυσκάθεκτον τῆς ὀργῆς, ἀλλ' ἑνί γέ τινι τῶν ἐπιτηδείων καὶ στέγειν ἀπόρρητα πεφυκότων ἐξῆν δή που τῶν πρὸς ἡμᾶς λόγων χρήσασθαι διακόνῳ. Νυνὶ δὲ τίνος οὐχὶ περιτεθρύληται τὰ ὦτα τῶν καθ' ὁποιανδήποτε χρείαν ὑμῖν ἐπιφοιτώντων, ὡς ἡμῶν ἄτας τινὰς γραφόντων καὶ συγγραφόντων; Τούτῳ γάρ σε κεχρῆσθαί φασι τῷ ῥήματι, οἱ ἐπὶ λέξεως τὰ σὰ διηγούμενοι. Ἐμὲ δὲ ἐπὶ πολλὰ τὴν διάνοιαν ἀναγαγόντα τὴν ἐμαυτοῦ οὐδέν τι μᾶλλον τῆς ἀμηχανίας ἀφίησιν. Ὥστε με καὶ τοιοῦτόν τι εἰσῆλθε· μή τις τῶν αἱρετικῶν, κακούργως τοῖς ἑαυτοῦ συγγράμμασι τὸ ἐμὸν ὄνομα παραγράψας, ἐλύπησέ σου τὴν ὀρθότητα καὶ ἐκείνην ἀφεῖναι τὴν φωνὴν προηγάγετο. Οὐ γὰρ δὴ τοῖς γεγραμμένοις ὑφ' ἡμῶν πρὸς τοὺς ἀνόμοιον κατ' οὐσίαν τολμήσαντας εἰπεῖν τὸν Υἱὸν καὶ Θεὸν τῷ Θεῷ καὶ Πατρί, ἢ πρὸς τοὺς κτίσμα καὶ ποίημα εἶναι τὸ Πνεῦμα τὸ Ἅγιον βλασφημήσαντας, ταύτην ἂν ἐπενεγκεῖν τὴν λοιδορίαν ἠνέσχου, ὁ τοὺς μεγάλους ἄθλους ἐκείνους καὶ περιβοήτους ὑπὲρ τῆς ὀρθοδοξίας

---

1. Δὲν εἶναι σαφὲς ποίαν διδασκαλίαν τοῦ Βασιλείου εἶχεν ὑπ' ὄψιν του ὁ Ἀθανάσιος διὰ νὰ ἐκφέρῃ τὴν λέξιν ἄται. Ὁ Βασίλειος ὑποψιάζεται μὴ τυχὸν κάποιος αἱρετικὸς εἶχε κυκλοφορήσει σύγγραμμά του μὲ τὸ ἰδικόν του ὄνομα, τοῦ Βασιλείου. Αὐτὸ δὲν εἶναι πιθανόν. Πάντως ἀπὸ τὰ ἐδῶ λεγόμενα συνάγεται ὅτι ὁ Ἀθανάσιος ὑπωπτεύετο τὴν ὀρθότητα τῆς περὶ Τριάδος διδασκαλίας τοῦ Βασιλείου καὶ οἱ συκοφάνται εἶχαν ἴσως χρησιμοποιήσει διὰ τοῦτο ὁμιλίας ἢ ἐπιστολὰς τοῦ Βασιλείου, εἰς τὰς ὁποίας ἡ πε-

θεωρήσῃ τὰς ὑπὸ τῶν τυχόντων ἐκτοξευομένας βλασφημίας περισσότερον ἐγκύρους τῆς μακρᾶς ἀπὸ τὴν συναναστροφὴν μὲ ἡμᾶς πείρας, καὶ νὰ παραδοθῇ εἰς τὴν ὑποψίαν τῶν ἀτόπων χωρὶς ἀποδείξεις. Καὶ τί λέγω ὑποψίαν; Ὅποιος ἠγανάκτησε καὶ ἐξέφερεν ἀπειλάς, ὅπως λέγουν, φαίνεται ὅτι ἐκδηλώνει ὀργήν· ὄχι τοῦ ὑποπτευομένου, ἀλλὰ βεβαίως τοῦ σαφῶς καὶ ἀναντιρρήτως πεισθέντος.

2. Ἀλλά, ὅπως εἶπα, ἀποδίδομεν τὴν αἰτίαν τῆς συμπεριφορᾶς ταύτης εἰς τὸν παρόντα καιρόν. Διότι, πόσος κόπος ἦτο, ὦ θαυμάσιε, νὰ συζητήσῃς ὅσα ἤθελες μὲ σύντομον ἐπιστολήν, ὡσὰν μόνος πρὸς μόνον ἤ, ἐὰν δὲν ἤθελες νὰ ἐμπιστευθῇς εἰς ἐπιστολὴν τοιαῦτα πράγματα, νὰ μᾶς προσκαλέσῃς πλησίον σου; Ἐὰν δὲ πάντως ἔπρεπε νὰ τὰ ἐκφράσῃς καὶ ἡ ἀκάθεκτος ὀργὴ δὲν ἐπέτρεπεν ἀναβολήν, ἦτο δυνατὸν νὰ χρησιμοποιήσῃς ὡς διάκονον τῶν λόγων σου πρὸς ἡμᾶς κάποιον ἀπὸ τοὺς καταλλήλους καὶ ἱκανοὺς νὰ κρατοῦν τὰ ἀπόρρητα. Τώρα ὅμως εἰς ποῖον ἀπὸ τοὺς ἀνθρώπους ποὺ μᾶς ἐπισκέπτονται δι' ὁποιανδήποτε ἀνάγκην δὲν ἔχει φθάσει εἰς τὰ αὐτιά, ὅτι ἡμεῖς γράφομεν καὶ συγγράφομεν ἅτας, ἀπαίσια πράγματα; Διότι αὐτοὶ ποὺ διηγοῦνται τοὺς λόγους σου κατὰ λέξιν λέγουν ὅτι αὐτὴν τὴν λέξιν ἐχρησιμοποίησες.

Ἐμὲ δέ, ἂν καὶ πολὺ ἐβασάνισα τὴν σκέψιν μου ἐπὶ τοῦ θέματος, τίποτε δὲν μὲ ἀπαλλάσσει ἀπὸ τὴν ἀμηχανίαν. Ἔφθασα μάλιστα εἰς σημεῖον νὰ σκεφθῶ καὶ τὸ ἑξῆς· μὴ τυχὸν κάποιος αἱρετικός, μὲ τὸ νὰ ἐπιγράψῃ ψευδῶς τὸ ὄνομά μου εἰς τὰ συγγράμματά του, ἐλύπησε τὴν ὀρθοφροσύνην σου καὶ σὲ ὤθησε νὰ ἐκφέρῃς ἐκείνην τὴν λέξιν. Διότι βεβαίως δὲν θὰ ἐλάμβανες τὸ θάρρος νὰ ἐκφέρῃς αὐτὴν τὴν προσβλητικὴν φράσιν διὰ τὰ συγγράμματά μας ἐναντίον ἐκείνων ποὺ ἐτόλμησαν νὰ εἴπουν τὸν Υἱὸν τοῦ Θεοῦ ἀνόμοιον κατ' οὐσίαν πρὸς τὸν Θεὸν καὶ Πατέρα ἢ ἐναντίον ἐκείνων ποὺ ἐβλασφήμησαν ὅτι τὸ Ἅγιον Πνεῦμα εἶναι κτίσμα καὶ ποίημα [1], σὺ ὁ

[1] Περὶ Πνεύματος διδασκαλία δὲν εἶναι πλήρως διατυπωμένη διὰ λόγους μεθοδικοὺς καὶ παιδαγωγικούς.

διενεγκών. Λύσαις δ' ἂν ἡμῖν τὴν ἀμηχανίαν αὐτός, εἰ ἐθελήσειας τὰ κινήσαντά σε πρὸς τὴν καθ' ἡμῶν λύπην φανερῶς ἐξαγγεῖλαι.

230

29. ΤΗ ΕΚΚΛΗΣΙΑ ΑΓΚΥΡΑΣ ΠΑΡΑΜΥΘΗΤΙΚΗ

Πολὺν ἡμῖν χρόνον σιωπὴν ἐνεποίησεν ἡ ἔκπληξις τῆς βαρυτάτης ἀγγελίας τοῦ συμβάντος κακοῦ. Ἐπεὶ δὲ μικρόν πως τῆς ἀφασίας ἀνηνέγκαμεν ἦν, ὡς οἱ βροντῇ μεγάλῃ τὰς ἀκοὰς ἐκπλαγέντες, πεπόνθαμεν, ἀναγκαίως ἐπεστενάξαμεν τῷ συμβάντι καὶ μεταξὺ ὀδυρόμενοι τὴν ἐπιστολὴν ὑμῖν ἐξεπέμψαμεν, οὐ παρακλήσεως ἕνεκεν (τίς γὰρ ἂν καὶ λόγος εὑρεθείη τοσαύτης συμφορᾶς ἰατρός;), ἀλλὰ τὴν ὀδύνην τῆς καρδίας ἡμῶν, καθ' ὅσον δυνατόν, ἐκ τῆς φωνῆς ταύτης ὑμῖν διασημαίνοντες. Νῦν ἐδεόμην τῶν Ἱερεμίου θρήνων καὶ εἰ δή τις ἄλλος τῶν μακαρίων ἀνδρῶν συμφορὰς μεγίστας ἐμπαθῶς ἀπωδύρατο. Πέπτωκεν ἀνήρ, στῦλος τῷ ὄντι καὶ ἑδραίωμα τῆς ἀληθείας· μᾶλλον δὲ αὐτὸς μὲν πρὸς τὴν μακαρίαν ζωὴν ἀρθεὶς ἀφ' ἡμῶν οἴχεται, κίνδυνος δὲ οὐ μικρὸς μὴ πολλοὶ τῷ ἐρείσματι τούτῳ ὑπεξαιρεθέντι συγκαταπέσωσι καὶ τὰ σαθρά τινων φανερὰ γένηται. Κέκλεισται στόμα παρρησίας τε δικαίας καὶ λόγοις χάριτος ἐπ' οἰκοδομῇ τῆς ἀδελφότητος βρύον. Οἴχεται δὲ φρενὸς βουλεύματα τῆς ὄντως ἐν Θεῷ κινουμένης. Ὤ, ποσάκις μοι (κατηγορήσω γὰρ ἐμαυτοῦ) ἐπῆλθεν ἀγανακτῆσαι κατὰ τοῦ ἀνδρός, ὅτι, ὅλος γενόμενος τῆς ἐπιθυμίας τοῦ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, τὸ ἐπιμεῖναι ἐν τῇ σαρκὶ οὐ προετίμησε δι' ἡμᾶς; Πρὸς τίνα λοιπὸν τὰς φρον-

---

Ἐπιστολὴ 29. Ἐγράφη εἰς τὸ τέλος τοῦ 368 ἢ τὰς ἀρχὰς τοῦ 369,

ὁποῖος ὑπεστήριξες ἐκείνους τοὺς μεγάλους καὶ περιβοήτους ἄθλους ὑπὲρ τῆς Ὀρθοδοξίας.

230

ΕΠΙΣΤΟΛΗ 29
ΠΡΟΣ ΤΗΝ ΕΚΚΛΗΣΙΑΝ ΑΓΚΥΡΑΣ ΠΑΡΑΜΥΘΗΤΙΚΗ

Ἡ ἔκπληξις ἀπὸ τὴν συντριπτικὴν ἀγγελίαν τοῦ συμβάντος κακοῦ μᾶς προεκάλεσε σιωπὴν ἐπὶ πολὺν χρόνον. Μόλις δὲ συνήλθαμεν ὀλίγον ἀπὸ τὴν ἀφασίαν ποὺ ἐπάθαμεν, σὰν ἐκεῖνοι ποὺ κτυπῶνται εἰς τ' αὐτιὰ ἀπὸ μεγάλην βροντήν, ἐστενάξαμεν ἀναγκαστικὰ διὰ τὸ συμβὰν καὶ παρ' ὅλον τὸν ὀδυρμόν μας σᾶς ἐστείλαμεν αὐτὴν τὴν ἐπιστολήν, ὄχι πρὸς παρηγορίαν —διότι ποῖος λόγος εἶναι δυνατὸν νὰ εὑρεθῇ ἰατρὸς τόσον μεγάλης συμφορᾶς;—, ἀλλὰ διὰ νὰ ἐκφράσωμεν εἰς σᾶς, ὅσον εἶναι δυνατόν, τὴν ὀδύνην τῆς καρδίας μας μὲ αὐτὴν τὴν φωνήν.

Τώρα θὰ ἐχρειαζόμην τοὺς θρήνους τοῦ Ἱερεμίου καὶ ὅποιου ἄλλου ἀπὸ τοὺς μακαρίους ἄνδρας ποὺ ἐθρήνησε μὲ πάθος τὰς μεγίστας συμφοράς. Ἔπεσεν ἄνδρας ποὺ ἦτο πράγματι στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας, μᾶλλον δὲ αὐτὸς μὲν ἔφυγεν ὑψωθεὶς ἀπὸ ἡμᾶς πρὸς τὴν μακαρίαν ζωήν, δὲν ὑπάρχει δὲ μικρὸς κίνδυνος μὴ τυχὸν πολλοί, ἀφοῦ αὐτὸ τὸ θεμέλιον ἀφῃρέθη, πέσουν μαζὶ καὶ τὰ σαθρὰ μερικῶν ἄλλων γίνουν φανερά. Ἔχει κλείσει τὸ στόμα δικαίας παρρησίας, τὸ γεμᾶτον λόγους χάριτος πρὸς οἰκοδομὴν τῆς ἀδελφότητος. Ἔφυγαν δὲ βουλεύματα διανοίας ποὺ ἐκινεῖτο πραγματικὰ ἐν Θεῷ.

Πόσας φορὰς μοῦ ἦλθε —θὰ κατηγορήσω τὸν ἑαυτόν μου τώρα— ν' ἀγανακτήσω κατὰ τοῦ ἀνδρός, ποὺ αἰχμαλωτισμένος ἀπὸ τὴν ἐπιθυμίαν του νὰ ἀποδημήσῃ καὶ εὑρεθῇ μὲ τὸν Χριστὸν δὲν προετίμησε πρὸς χάριν μας τὸ νὰ παραμείνῃ

ἐξ ἀφορμῆς τοῦ θανάτου τοῦ ἐπισκόπου Ἀγκύρας Ἀθανασίου, εἰς τὸν ὁποῖον ἀπεστάλη ἡ ἐπιστολὴ 25.

τίδας τῶν ἐκκλησιαστικῶν ὑπερθώμεθα; Τίνα κοινωνὸν τῶν λυπηρῶν λάβωμεν; Τίνα μερίτην τῆς εὐφροσύνης; Ὦ τῆς δεινῆς ὄντως καὶ σκυθρωπῆς ἐρημίας! Πῶς ἀκριβῶς ὠμοιώθημεν πελεκᾶνι ἐρημικῷ; Ἀλλὰ μὴν τά γε συναφθέντα μέλη τῆς Ἐκκλησίας, οἷον ὑπὸ ψυχῆς τινος, τῆς ἐκείνου προστασίας εἰς μίαν συμπάθειαν καὶ ἀκριβῆ κοινωνίαν συναρμοσθέντα, καὶ φυλάσσεται διὰ τοῦ συνδέσμου τῆς εἰρήνης πρὸς τὴν πνευματικὴν ἁρμολογίαν παγίως καὶ φυλαχθήσεται εἰς ἀεί, τοῦτο τοῦ Θεοῦ χαριζομένου, ἑδραῖα μένειν καὶ ἀμετακίνητα τῆς μακαρίας ἐκείνης ψυχῆς τὰ ἔργα, ὅσα ἐνήθλησε ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ. Πλὴν ἀλλ' ὁ ἀγὼν οὐ μικρὸς μή τινες πάλιν ἔριδες καὶ διχοστασίαι, ἐπὶ τὴν ἐκλογὴν τοῦ μεταστάντος ἀναφυεῖσαι, πάντα ὁμοῦ τὸν κόπον ἐκ τῆς τυχούσης ἔριδος ἀνατρέψωσιν.

231

113. ΤΟΙΣ ΕΝ ΤΑΡΣΩ ΠΡΕΣΒΥΤΕΡΟΙΣ

Συντυχὼν τῷδε πολλὴν ἔσχον τῷ ἁγίῳ Θεῷ τὴν χάριν, ὅτι με καὶ διὰ τῆς αὐτοῦ παρουσίας ἀπὸ πολλῶν θλίψεων παρεμυθήσατο καὶ τὴν ὑμετέραν ἀγάπην ἐναργῶς ἔδειξε δι' αὐτοῦ. Σχεδὸν γὰρ τὸν πάντων ὑμῶν περὶ τὴν ἀλήθειαν ζῆλον ἐν τῇ τοῦ ἑ-

1. Φιλιππ. 1, 23-24.

2. Ὅταν ὁ Βασίλειος Ἀγκύρας ἀπεμακρύνθη τῆς ἕδρας του, ὡς ὁμοιουσιανός, ἐξελέγη ὁ Ἀθανάσιος μὲ τὴν ὑποστήριξιν τοῦ Ἀκακίου Καισαρείας Παλαιστίνης ποὺ ἦτο ὅμοιος, δηλαδὴ περισσότερον ἀρειανὸς ἀπὸ τὸν πρῶτον. Ὅπως εἶναι φυσικὸν ἐδημιουργήθησαν ταραχαί, ἀλλὰ τελικῶς ἐπεβλήθη ὁ Ἀθανάσιος ποὺ διετήρησεν ὀρθόδοξον φρόνημα.

Ἐπιστολὴ 113. Ἐγράφη τὸ 372 πρὸς τοὺς πρεσβυτέρους τῆς Ταρσοῦ διὰ νὰ συστήσῃ ἐπιείκειαν ἔναντι τῶν ἀρειανιζόντων καὶ ἰδίως τῶν ἐχόντων

εἰς τὴν σάρκα [1]; Εἰς ποῖον τοῦ λοιποῦ θὰ ἀναθέσωμεν τὰς φροντίδας τῆς Ἐκκλησίας; Ποῖον θὰ λάβωμεν κοινωνὸν τῶν λυπηρῶν πραγμάτων; Ποῖον μέτοχον τῆς εὐφροσύνης; Ὁποία πραγματικὰ δεινὴ καὶ σκυθρωπὴ ἐρημία! Πῶς ὡμοιάσαμεν ἀκριβῶς μὲ ἐρημικὸν πελεκᾶνα; Ἀλλὰ βεβαίως τὰ μέλη τῆς Ἐκκλησίας ποὺ ἡνώθησαν μεταξύ των συναρμοσμένα εἰς μίαν συμπάθειαν καὶ ἀκριβῆ κοινωνίαν ἀπὸ τὴν διεύθυνσιν ἐκείνου, σὰν ἀπὸ μίαν ψυχήν, καὶ φυλάσσονται σταθερὰ εἰς τὴν πνευματικὴν ἁρμολογίαν διὰ τοῦ συνδέσμου τῆς εἰρήνης καὶ διὰ παντὸς θὰ φυλαχθοῦν· αὐτὸ θὰ τὸ χαρίσῃ ὁ Θεός, τὸ νὰ μένουν ἑδραῖα καὶ ἀμετακίνητα τὰ ἔργα τῆς μακαρίας ἐκείνης ψυχῆς, ὅσα κατώρθωσε διὰ τὰς Ἐκκλησίας τοῦ Θεοῦ. Βεβαίως ὅμως δὲν εἶναι μικρὸς ὁ ἀγὼν ποὺ ἀπόκειται, διὰ νὰ μὴ τυχὸν πάλιν ἔριδες καὶ διχοστασίαι, σὰν αὐταὶ ποὺ εἶχαν ἀναφυῆ κατὰ τὴν ἐκλογὴν τοῦ ἀποβιώσαντος [2], ἀνατρέψουν ὅλον μαζὶ τὸ ἐπίπονον ἔργον ἐν συνεχείᾳ πρὸς τὰς ἔριδας ποὺ συνέβησαν.

231

ΕΠΙΣΤΟΛΗ 113
ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΤΑΡΣΩ ΠΡΕΣΒΥΤΕΡΟΥΣ

Συναντήσας τὸν ἄνθρωπον τοῦτον ἠσθάνθην πολλὴν εὐγνωμοσύνην πρὸς τὸν ἅγιον Θεόν, διότι μὲ παρηγόρησε διὰ τῆς παρουσίας του ἀπὸ πολλὰς θλίψεις καὶ μοῦ παρουσίασε δι' αὐτοῦ σαφῆ ἀπόδειξιν τῆς ἀγάπης σας. Διότι εἰς τὴν προαίρεσιν τοῦ ἑνὸς τούτου ἀνδρὸς κατενόησα τὸν ζῆλον πρὸς τὴν ἀλήθειαν σχεδὸν ὅλων σας. Ὅσα μὲν λοιπὸν συνεζητήσαμεν

ἐπιφυλάξεις ὡς πρὸς τὸ Πνεῦμα. Ὅσοι δὲν θεωροῦν τὸ Πνεῦμα ὡς κτίσμα συνιστᾶται νὰ γίνωνται δεκτοί ἐπὶ τῇ βάσει τοῦ συμβόλου τῆς Νικαίας. Ἦσαν προφανῶς πολλοὶ οἱ Πνευματομάχοι τότε εἰς τὴν Ταρσόν. Ὁ Βασίλειος ἀπευθύνεται πρὸς τοὺς πρεσβυτέρους διότι ὁ τότε ἐπίσκοπος Ταρσοῦ ἦτο ἀρειανός.

ἑνὸς προαιρέσει κατέμαθον. Ἃ μὲν οὖν ἰδίᾳ διελέχθημεν πρὸς ἀλλήλους αὐτὸς ὑμῖν ἀπαγγελεῖ, ἃ δὲ παρ᾽ ἐμοῦ γνωρισθῆναι ὑμῶν προσῆκε τῇ ἀγάπῃ ταῦτά ἐστιν. Ὁ καιρὸς πολλὴν ἔχει ῥοπὴν πρὸς καταστροφὴν τῶν Ἐκκλησιῶν, καὶ τοῦτο πολὺν ἔχομεν ἤδη χρόνον ἐξ οὗ καταμανθάνομεν. Οἰκοδομὴ δὲ Ἐκκλησίας καὶ σφαλμάτων διόρθωσις καὶ συμπάθεια μὲν πρὸς τοὺς ἀσθενοῦντας, ὑπερασπισμὸς δὲ πρὸς τοὺς ὑγιαίνοντας τῶν ἀδελφῶν οὐδὲ εἷς. Ἀλλ᾽ οὔτε βοήθημα ἢ θεραπευτικὸν τῆς προκατασχούσης νόσου ἢ προφυλακτικὸν τῆς προσδοκωμένης οὐδέν. Καὶ ὅλως ἔοικε λοιπὸν ἡ τῆς Ἐκκλησίας κατάστασις (ἵνα ἐναργεῖ χρήσωμαι τῷ ὑποδείγματι, κἂν εὐτελέστερον εἶναι δοκῇ) ἱματίῳ παλαιῷ ὑπὸ τῆς τυχούσης προφάσεως ῥᾳδίως καταρρηγνυμένῳ, ὃ πρὸς τὴν ἐξ ἀρχῆς ἰσχὺν ἐπανελθεῖν πάλιν ἀδυνατεῖ. Ὡς οὖν ἐν καιρῷ τοιούτῳ, μεγάλης χρείας τῆς σπουδῆς καὶ πολλῆς τῆς ἐπιμελείας εὐεργετηθῆναί τι τὰς Ἐκκλησίας. Εὐεργεσία δέ ἐστιν ἑνωθῆναι τὰ τέως διεσπασμένα. Ἕνωσις δ᾽ ἂν γένοιτο, εἰ βουληθείημεν ἐν οἷς μηδὲν βλάπτομεν τὰς ψυχὰς συμπεριενεχθῆναι τοῖς ἀσθενεστέροις. Ἐπεὶ οὖν πολλὰ στόματα ἤνοικται κατὰ τοῦ Πνεύματος τοῦ Ἁγίου καὶ πολλαὶ γλῶσσαι ἠκόνηνται εἰς τὴν κατ᾽ αὐτοῦ βλασφημίαν, ἀξιοῦμεν ὑμᾶς, ὅσον ἐστὶν ἐφ᾽ ὑμῖν, εἰς ὀλίγον ἀριθμὸν περιστῆσαι τοὺς βλασφημοῦντας καὶ τοὺς μὴ λέγοντας κτίσμα τὸ Πνεῦμα τὸ Ἅγιον δέχεσθαι εἰς κοινωνίαν, ἵνα μόνοι καταλειφθῶσιν οἱ βλάσφημοι καὶ ἢ καταισχυνθέντες ἐπανέλθωσι πρὸς τὴν ἀλήθειαν ἢ ἐπιμένοντες τῇ ἁμαρτίᾳ ἀναξιόπιστοι ὦσι διὰ τὴν ὀλιγότητα. Μηδὲν τοίνυν πλέον ἐπιζητῶμεν, ἀλλὰ προτεινώμεθα τοῖς βουλομένοις ἡμῖν συνάπτεσθαι ἀδελφοῖς τὴν ἐν Νικαίᾳ πίστιν, κἂν ἐκείνῃ συνθῶνται, ἐπερωτῶμεν καὶ τὸ μὴ δεῖν λέγεσθαι κτίσμα τὸ Πνεῦμα τὸ Ἅγιον μηδὲ κοινωνικοὺς αὐτῶν εἶναι τοὺς λέγοντας. Πέρα δὲ τούτων ἀξιῶ μη-

μεταξύ μας ἰδιαιτέρως θὰ σᾶς τὰ ἐκθέσῃ ὁ ἴδιος, ὅσα δὲ ἤρμοζε νὰ γνωσθοῦν ἀπὸ ἐμὲ εἰς τὴν ἀγάπην σας εἶναι τὰ ἑξῆς.

Οἱ καιροὶ παρουσιάζουν τὴν τάσιν πρὸς καταστροφὴν τῶν Ἐκκλησιῶν, τοῦτο δὲ τὸ ἔχομεν κατανοήσει ἀπὸ πολὺν χρόνον. Οἰκοδομὴ δὲ τῆς Ἐκκλησίας καὶ διόρθωσις σφαλμάτων, συμπάθεια πρὸς τοὺς ἀσθενεῖς καὶ ὑπεράσπισις τῶν ὑγιῶν ἀδελφῶν δὲν φαίνονται πουθενά. Ἀλλ' οὔτε βοήθεια εἴτε θεραπευτικὴ τῆς ὑπαρχούσης νόσου εἴτε προφυλακτικὴ τῆς ἀναμενομένης παρουσιάζεται. Φαίνεται λοιπὸν ἡ κατάστασις τῆς Ἐκκλησίας —διὰ νὰ χρησιμοποιήσω ἐναργὲς παράδειγμα, ἔστω καὶ ἂν φαίνεται κάπως εὐτελὲς— ἐντελῶς σὰν παλαιὸν ἱμάτιον εὔκολα σχιζόμενον ἀπὸ τὴν τυχοῦσαν ἀφορμήν, ποὺ ἀδυνατεῖ νὰ ἀποκατασταθῇ πάλιν εἰς τὴν ἀρχικήν του δύναμιν. Ὅπως δὲ ἀπαιτεῖται εἰς τοιαύτας περιστάσεις, χρειάζεται μεγάλη φροντὶς καὶ πολλὴ ἐπιμέλεια διὰ νὰ γίνῃ κάτι καλὸν εἰς τὰς Ἐκκλησίας. Εὐεργεσία δὲ εἶναι τὸ νὰ ἑνωθοῦν τὰ ἕως τώρα διεσπασμένα. Ἡ ἕνωσις δὲ εἶναι δυνατὸν νὰ ἐπιτευχθῇ, ἐὰν δείξωμεν ἐπιείκειαν πρὸς τοὺς ἀσθενεστέρους, ὅταν δυνάμεθα νὰ τὸ πράξωμεν χωρὶς νὰ βλάπτωμεν τὰς ψυχάς.

Ἐπειδὴ λοιπὸν πολλὰ στόματα ἔχουν ἀνοιχθῆ κατὰ τοῦ Ἁγίου Πνεύματος καὶ πολλαὶ γλῶσσαι ἔχουν ἀκονισθῆ εἰς τὴν ἐναντίον του βλασφημίαν, σᾶς ζητοῦμεν, ὅσον ἐξαρτᾶται ἀπὸ σᾶς, νὰ περιορίσετε εἰς μικρὸν ἀριθμὸν τοὺς βλασφημοῦντας, δεχόμενοι εἰς κοινωνίαν ἐκείνους ποὺ δὲν θεωροῦν κτίσμα τὸ Ἅγιον Πνεῦμα, διὰ νὰ μείνουν μόνοι οἱ βλάσφημοι καὶ ἢ ἐπανέλθουν ἐντροπιασμένοι εἰς τὴν ἀλήθειαν ἢ ἐπιμένοντες εἰς τὴν πλάνην καταστοῦν ἀναξιόπιστοι λόγῳ τοῦ ὀλιγαρίθμου αὐτῶν. Νὰ μὴ ζητῶμεν λοιπὸν τίποτε περισσότερον, ἀλλὰ νὰ προτείνωμεν εἰς τοὺς θέλοντας νὰ ἑνωθοῦν μὲ ἡμᾶς ἀδελφοὺς τὸ σύμβολον τῆς Νικαίας, καὶ ἂν συμφωνοῦν μὲ ἐκεῖνο, νὰ τοὺς καλῶμεν νὰ μὴ λέγουν κτίσμα τὸ Ἅγιον Πνεῦμα καὶ νὰ μὴ δέχωνται εἰς κοινωνίαν τοὺς λέγοντας αὐτὸ κτίσμα. Πέρα ἀπὸ αὐτὰ παρακαλῶ νὰ μὴ ζητῆται τίποτε ἀπὸ ἡμᾶς. Διότι εἶμαι πεπεισμένος ὅτι μὲ τὴν πολυχρόνιον συνύπαρξιν καὶ τὴν

δὲν ἐπιζητεῖσθαι παρ' ἡμῶν. Πέπεισμαι γὰρ ὅτι τῇ χρονιωτέρᾳ συνδιαγωγῇ καὶ τῇ ἀφιλονίκῳ συγγυμνασίᾳ, καὶ εἴ τι δέοι πλέον προστεθῆναι εἰς τράνωσιν, δώσει ὁ Κύριος ὁ πάντα συνεργῶν εἰς ἀγαθὸν τοῖς ἀγαπῶσιν αὐτόν.

232

114. ΤΟΙΣ ΕΝ ΤΑΡΣΩ ΠΕΡΙ ΚΥΡΙΑΚΟΝ

Ὅσον ἐστὶ τὸ τῆς εἰρήνης ἀγαθὸν τί χρὴ λέγειν πρὸς ἄνδρας υἱοὺς τῆς εἰρήνης; Ἐπεὶ οὖν τὸ μέγα τοῦτο καὶ θαυμαστὸν καὶ πᾶσι περισπούδαστον τοῖς ἀγαπῶσι τὸν Κύριον κινδυνεύει λοιπὸν εἰς ὄνομα ψιλὸν περιστῆναι, διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγείσης λοιπὸν τοῖς πολλοῖς τῆς ἀγάπης, οἶμαι προσήκειν μίαν ταύτην εἶναι σπουδὴν τοῖς γνησίως καὶ ἀληθινῶς δουλεύουσι τῷ Κυρίῳ τὸ ἐπαναγαγεῖν πρὸς ἕνωσιν τὰς Ἐκκλησίας τὰς πολυμερῶς καὶ πολυτρόπως ἀπ' ἀλλήλων διατμηθείσας. Ὃ δὴ καὶ αὐτὸς ἐπιχειρῶν ποιεῖν, οὐκ ἂν δικαίως πολυπράγμονος αἰτίαν λάβοιμι. Οὐδὲν γὰρ οὕτως ἴδιόν ἐστι Χριστιανοῦ ὡς τὸ εἰρηνοποιεῖν· διὸ καὶ τὸν ἐπ' αὐτῷ μισθὸν μέγιστον ἡμῖν ὁ Κύριος ἐπηγγείλατο. Συντυχὼν τοίνυν τοῖς ἀδελφοῖς καὶ θεασάμενος αὐτῶν πολὺ μὲν τὸ φιλάδελφον καὶ τὸ περὶ ὑμᾶς ἀγαπητικόν, πολλῷ δὲ ἔτι πλέον τὸ φιλόχριστον καὶ τὸ περὶ τὴν πίστιν ἀκριβές τε καὶ εὔτονον, καὶ ὅτι πολλὴν ἀμφοτέρων ποιοῦνται σπουδήν, τῆς τε ὑμε-

---

1. Ρωμ. 8, 28.

Ἐπιστολὴ 114. Ἐγράφη τὴν ἰδίαν ἐποχὴν μὲ τὴν προηγουμένην ἐπιστολήν (113). Ὁ Κυριακὸς ἦτο προφανῶς πρεσβύτερος καὶ ἡγέτης τῆς ὀρθοδόξου μερίδος τῆς Ταρσοῦ. Ὁ Βασίλειος ἐδέχθη ἐπίσκεψιν ὁμάδος Χριστιανῶν τῆς Ταρσοῦ, οἱ ὁποῖοι δὲν εἶχαν ξεκαθαρίσει τὴν στάσιν των εἰς τὸ ἐκκλησιαστικὸν θέμα, γράφει δὲ τώρα σχετικῶς πρὸς τὸν Κυριακόν, διὰ

ἀφιλόνικον συγγυμνασίαν, ὁ,τιδήποτε χρειάζεται νὰ προστεθῇ πρὸς διασάφησιν, θὰ τὸ δώσῃ ὁ Κύριος «ὁ πάντα συνεργῶν εἰς ἀγαθὸν τοῖς ἀγαπῶσιν αὐτόν»[1].

232

ΕΠΙΣΤΟΛΗ 114
ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΤΑΡΣΩ ΠΕΡΙ ΤΟΝ ΚΥΡΙΑΚΟΝ

Πόσον σπουδαῖον εἶναι τὸ ἀγαθὸν τῆς εἰρήνης, τί χρειάζεται νὰ τὸ εἴπω πρὸς ἄνδρας ποὺ εἶναι υἱοὶ τῆς εἰρήνης; Ἐπειδὴ λοιπὸν τὸ μέγα τοῦτο καὶ θαυμαστὸν καὶ δι' ὅλους ὅσοι ἀγαποῦν τὸν Κύριον περισπούδαστον ἀγαθὸν κινδυνεύει τώρα νὰ καταστῇ ψιλὸν ὄνομα, διότι ἐπληθύνθη ἡ ἀνομία καὶ ἐψυχράνθη πλέον εἰς τοὺς πολλοὺς ἡ ἀγάπη[1], νομίζω ὅτι μοναδικὴ φροντὶς τῶν γνησίως καὶ ἀληθῶς δουλευόντων εἰς τὸν Κύριον ἁρμόζει τοῦτο, τὸ νὰ ἐπαναφέρουν εἰς ἕνωσιν τὰς Ἐκκλησίας ποὺ διεσπάσθησαν πολυμερῶς καὶ πολυτρόπως μεταξύ των. Ἐπιχειρῶν λοιπὸν καὶ ἐγὼ νὰ πράξω τοῦτο, δὲν θὰ ἦτο ὀρθὸν νὰ δεχθῶ τὴν κατηγορίαν τοῦ πολυπράγμονος. Διότι τίποτε δὲν ταιριάζει τόσον πολὺ εἰς ἕνα Χριστιανὸν ὅσον τὸ εἰρηνοποιεῖν· διὰ τοῦτο καὶ τὸν δι' αὐτὸ μισθὸν μᾶς ὑπεσχέθη πολὺ μεγάλον ὁ Κύριος.

Συναντήσας λοιπὸν τοὺς ἀδελφοὺς τούτους καὶ ἰδὼν μεγάλην τὴν φιλαδελφίαν των καὶ τὴν πρὸς σᾶς ἀγάπην, πολὺ δὲ περισσότερον ἀκόμη τὸ φιλόχριστον καὶ τὴν ἀκρίβειαν καὶ τὸν ζῆλον περὶ τὴν πίστιν, καὶ ὅτι καταβάλλουν πολλὴν φροντίδα δι' αὐτὰ τὰ δύο, δηλαδὴ νὰ μὴ χωρισθοῦν ἀπὸ τὴν ἀγάπην

νὰ ἐξασφαλίσῃ τὴν ἀνεπιφύλακτον προσχώρησίν των εἰς αὐτόν. Οἱ Χριστιανοὶ αὐτοὶ ἦσαν αὐστηροὶ Ὀρθόδοξοι καὶ ἤθελαν διευκρίνισιν τῆς περὶ τοῦ Πνεύματος διδασκαλίας.

1. Ματθ. 24, 12.

τέρας ἀγάπης μὴ χωρίζεσθαι καὶ τὴν ὑγιαίνουσαν πίστιν μὴ καταπροδοῦναι, ἀποδεξάμενος αὐτῶν τὴν ἀγαθὴν προαίρεσιν ἐπιστέλλω τῇ σεμνότητι ὑμῶν παρακαλῶν πάσῃ ἀγάπῃ ἔχειν αὐτοὺς ἡνωμένους γνησίως καὶ πάσης ἐκκλησιαστικῆς φροντίδος κοινωνούς, ἐγγυησάμενος καὶ αὐτοῖς τὴν ὑμετέραν ὀρθότητα ὅτι καὶ αὐτοὶ τῇ τοῦ Θεοῦ χάριτι τῷ ὑπὲρ τῆς ἀληθείας ζήλῳ πρὸς πάντα ἑστὲ παρατεταγμένοι, ὅσαπερ ἂν δέῃ παθεῖν ὑπὲρ τοῦ λόγου τῆς ἀληθείας. Ἔστι δέ, ὡς ἐμαυτὸν πείθω, τὰ οὔτε ὑμῖν ὑπεναντία καὶ τοῖς προειρημένοις τῶν ἀδελφῶν αὐτάρκη πρὸς πληροφορίαν ταῦτα, ὁμολογεῖν ὑμᾶς τὴν ἐκ τῶν πατέρων ἡμῶν ἐκτεθεῖσαν πίστιν τῶν ἐν Νικαίᾳ ποτὲ συνελθόντων καὶ μηδεμίαν τῶν ἐκεῖ λέξεων ἀθετεῖν, ἀλλ' εἰδέναι ὅτι τριακόσιοι δέκα καὶ ὀκτώ, ἀφιλονίκως συνιόντες, οὐκ ἄνευ τῆς τοῦ Ἁγίου Πνεύματος ἐνεργείας ἐφθέγξαντο, προσθεῖναι δὲ τῇ πίστει ἐκείνῃ καὶ τὸ μὴ χρῆναι λέγειν κτίσμα τὸ Πνεῦμα τὸ Ἅγιον, μὴ μέντοι μηδὲ τοῖς λέγουσι κοινωνεῖν, ἵνα καθαρὰ ᾖ τοῦ Θεοῦ ἡ Ἐκκλησία μηδὲν ζιζάνιον ἑαυτῇ παραμεμιγμένον ἔχουσα. Ταύτης αὐτοῖς τῆς πληροφορίας παρὰ τῆς εὐσπλαγχνίας ὑμῶν προτεθείσης καὶ αὐτοὶ τὴν πρέπουσαν ὑμῖν ὑποταγὴν ἕτοιμοί εἰσι παρασχέσθαι. Αὐτὸς γὰρ ἐγγυῶμαι τὸ μέρος τῶν ἀδελφῶν ὡς εἰς οὐδὲν ἀντεροῦσιν, ἀλλὰ πᾶσαν ὑμῖν ἐπιδείξονται εὐταξίας ὑπερβολήν, ἑνὸς τούτου αὐτοῖς τοῦ ἐπιζητουμένου παρ' αὐτῶν ὑπὸ τῆς ὑμετέρας τελειότητος ἑτοίμως παρασχεθέντος.

---

2. Ἡ ἐπιστολὴ αὐτὴ ὁμοιάζει εἰς περιεχόμενον μὲ τὴν ὑπ' ἀριθμὸν 113, ἀλλὰ διαφέρει αὐτῆς εἰς τοῦτο· ἐνῷ ἐκείνη ἐνδιαφέρεται διὰ τὸ πῶς

σας καὶ νὰ μὴ καταπροδώσουν τὴν ὑγιῆ πίστιν, ἐδέχθην τὴν ἀγαθήν των προαίρεσιν καὶ γράφω εἰς τὴν σεμνότητά σας. Παρακαλῶ μὲ ὅλην τὴν ἀγάπην νὰ τοὺς ἔχετε ἡνωμένους μαζί σας γνησίως καὶ κοινωνοὺς κάθε ἐκκλησιαστικῆς φροντίδος. Ἠγγυήθην δὲ καὶ εἰς αὐτοὺς περὶ τῆς ἰδικῆς σας ὀρθοδοξίας καὶ τοὺς ἐβεβαίωσα ὅτι καὶ σεῖς μὲ τὴν χάριν τοῦ Θεοῦ καὶ μὲ τὸν ζῆλον ὑπὲρ τῆς ἀληθείας εἴσθε ἕτοιμοι δι' ὅλα ὅσα χρειάζεται νὰ πάθουν ὑπὲρ τοῦ λόγου τῆς ἀληθείας.

Ὅπως δὲ εἶμαι πεπεισμένος, χρειάζονται οἱ ἑξῆς ὅροι, ποὺ δὲν εἶναι ἀντίθετοι πρὸς τὰ φρονήματά σας καὶ εἶναι αὐτάρκεις διὰ τὴν διαβεβαίωσιν τῶν προειρημένων ἀδελφῶν· νὰ δέχεσθε τὴν ὑπὸ τῶν πατέρων μας ποὺ συνῆλθαν εἰς τὴν Νίκαιαν συνταχθεῖσαν ὁμολογίαν πίστεως καὶ νὰ μὴ ἀθετῆτε καμμίαν ἀπὸ τὰς ἐκεῖ χρησιμοποιουμένας λέξεις, ἀλλὰ νὰ γνωρίζετε ὅτι τριακόσιοι δέκα ὀκτὼ ἄνδρες, συνελθόντες χωρὶς διχονοίας, δὲν ὡμίλησαν χωρὶς τὴν ἐνέργειαν τοῦ Ἁγίου Πνεύματος· νὰ προσθέσετε δὲ εἰς τὴν ὁμολογίαν ἐκείνην καὶ τὸ ὅτι δὲν πρέπει νὰ λέγεται κτίσμα τὸ Ἅγιον Πνεῦμα, καὶ νὰ μὴ κοινωνῆτε μὲ τοὺς λέγοντας αὐτὸ οὕτω, διὰ νὰ μείνῃ καθαρὰ ἡ Ἐκκλησία τοῦ Θεοῦ χωρὶς νὰ ἔχῃ ἀναμεμιγμένον εἰς τὰς τάξεις της κανένα ζιζάνιον.

Ὅταν προταθῇ ἀπὸ τὴν εὐσπλαγχνίαν σας αὐτὴ ἡ διαβεβαίωσις πρὸς αὐτούς, εἶναι καὶ αὐτοὶ ἕτοιμοι νὰ προσφέρουν τὴν ἀπαιτουμένην ὑποταγήν. Διότι ἐγγυῶμαι ἐγὼ ἐκ μέρους των ὅτι δὲν πρόκειται νὰ ἀντείπουν εἰς τίποτε, ἀλλὰ θὰ ἐπιδείξουν ὑπερβολικὴν εὐταξίαν εἰς σᾶς, ὅταν παρασχεθῇ εἰς αὐτοὺς προθύμως ἀπὸ τὴν τελειότητά σας αὐτὸ τὸ μοναδικὸν στοιχεῖον ποὺ ζητοῦν [2].

θὰ γίνουν δεκτοὶ οἱ μετριοπαθεῖς Πνευματομάχοι, αὐτὴ δίδει ὁδηγίας διὰ τὴν ὑποδοχὴν τῶν αὐστηροτέρων Ὀρθοδόξων.

233

123. ΟΥΡΒΙΚΙΩ ΜΟΝΑΖΟΝΤΙ

Ἔμελλες ἡμῖν παρέσεσθαι (καὶ τὸ ἀγαθὸν ἐγγὺς) ἄκρῳ γοῦν δακτύλῳ καταψύξων ἡμᾶς ἐν τοῖς πειρασμοῖς φλεγομένους. Εἶτα τί; Αἱ ἁμαρτίαι ἡμῶν ἀντέβησαν καὶ διεκώλυσαν τὴν ὁρμήν, ἵν' ἀθεράπευτα κάμνωμεν. Ὥσπερ γὰρ ἐν τοῖς κύμασι τὸ μὲν λήγει, τὸ δὲ ἀνίσταται, τὸ δὲ ἤδη φρίκῃ μελαίνεται, οὕτω καὶ τῶν ἡμετέρων κακῶν τὰ μὲν πέπαυται, τὰ δὲ πάρεστι, τὰ δὲ προσδοκᾶται, καὶ μία τῶν κακῶν ἡμῖν, ὡς ἐπὶ τὸ πλεῖστον, ἀπαλλαγή, εἶξαι τῷ καιρῷ καὶ ὑπεξελθεῖν τοῖς διώκουσιν. Ἀλλὰ καὶ ἡμῖν ἦκε μόλις ἢ παραμυθούμενος ἢ καὶ γνώμην δώσων ἢ καὶ προπέμψων, πάντως δὲ αὐτῷ τῷ ὀφθῆναι ῥᾴους ποιήσων. Καὶ τὸ μέγιστον, εὔχου καὶ ὑπερεύχου μὴ καὶ τοὺς λογισμοὺς ἡμῶν βαπτισθῆναι ὑπὸ τοῦ κακοῦ κλύδωνος ἀλλ' ἐν πᾶσι διαφυλάσσειν τῷ Θεῷ τὸ εὐχάριστον, ἵνα μὴ ἐν τοῖς κακοῖς δούλοις ἀριθμηθῶμεν, ἀγαθύνοντι μὲν ἐξομολογούμενοι, παιδεύοντι δὲ διὰ τῶν ἐναντίων μὴ προστιθέμενοι, ἀλλὰ καὶ δι' αὐτῶν τῶν δυσχερῶν ὠφελώμεθα μᾶλλον αὐτῷ πιστεύοντες ὅτε καὶ μᾶλλον χρήζομεν.

Ἐπιστολὴ 123. Ἐγράφη τὸ 373. Ὁ Βασίλειος ζητεῖ τὴν ἐπίσκεψιν τοῦ μοναχοῦ Οὐρβικίου. Βλ. καὶ ἐπιστολὴν 362, ἂν καὶ δὲν εἶναι βέβαιον ὅτι οἱ Οὐρβίκιοι τῶν δύο αὐτῶν ἐπιστολῶν εἶναι τὸ ἴδιον πρόσωπον. Ὁ παραλήπτης τῆς παρούσης ἐπιστολῆς εἶναι γνωστὸν καὶ σεβαστὸν πρόσω-

233

ΕΠΙΣΤΟΛΗ 123
ΠΡΟΣ ΤΟΝ ΜΟΝΑΧΟΝ ΟΥΡΒΙΚΙΟΝ

Ἐπρόκειτο νὰ μᾶς ἐπισκεφθῇς — καὶ τοῦτο ἐπλησίαζε νὰ πραγματοποιηθῇ — διὰ νὰ μᾶς ἀναψύξῃς μὲ τὸ ἄκρον τοῦ δακτύλου σου, καθὼς φλεγόμεθα εἰς τοὺς πειρασμούς. Ἔπειτα τί συνέβη; Αἱ ἁμαρτίαι μας ἀντετάχθησαν εἰς τοῦτο καὶ ἔθεσαν ἐμπόδια εἰς τὴν ὁρμήν σου, διὰ νὰ ὑποφέρωμεν ἀθεράπευτα. Πραγματικά, ὅπως εἰς τὰ κύματα τὸ ἕνα σταματᾷ, τὸ ἄλλο σηκώνεται, τὸ ἄλλο μόλις μελανιάζει ἀπὸ τὰ ρίγη, οὕτω καὶ τῶν ἰδικῶν μας παθημάτων ἄλλα ἔχουν παύσει, ἄλλα εἶναι παρόντα, καὶ ἄλλα ἀναμένονται, καὶ μία ὑπάρχει καθὼς φαίνεται ἀπαλλαγὴ ἀπὸ τὰ κακά μας, νὰ συμμορφωθῶμεν μὲ τὸν καιρὸν καὶ νὰ παραδοθῶμεν εἰς τοὺς διώκτας.

Ἀλλὰ φθάσε εἰς ἡμᾶς, ὅσον δύσκολον καὶ ἂν εἶναι τοῦτο, διὰ νὰ μᾶς παρηγορήσῃς ἢ νὰ μᾶς δώσῃς γνώμην ἢ καὶ νὰ μᾶς προπέμψῃς, πάντως δὲ διὰ νὰ μᾶς ἀνακουφίσῃς μὲ μόνην τὴν ὄψιν σου. Καὶ τὸ σπουδαιότερον, νὰ εὔχεσαι καὶ νὰ ὑπερεύχεσαι νὰ μὴ σκεπασθοῦν καὶ οἱ λογισμοί μας ἀπὸ τὴν ἀπαισίαν τρικυμίαν, ἀλλὰ νὰ διαφυλλάσσωμεν τὸ εὐάρεστον εἰς τὸν Θεόν, διὰ νὰ μὴ συναριθμηθῶμεν μὲ τοὺς κακοὺς δούλους, οἱ ὁποῖοι ὅταν μὲν τοὺς εὐεργετῇ τὸν δοξολογοῦν, ὅταν δὲ τοὺς παιδεύῃ μὲ θλίψεις δὲν τὰς ἀνέχονται. Νὰ εὔχεσαι λοιπόν, ὑπὲρ ἡμῶν, διὰ νὰ ὠφελώμεθα καὶ διὰ μέσου τῶν ταλαιπωριῶν ἀκόμη, πιστεύοντες εἰς αὐτὸν περισσότερον ὅταν τὸν χρειαζώμεθα περισσότερον.

πον καὶ ὁ Βασίλειος τὸν προσκαλεῖ διὰ νὰ λάβῃ ἀπὸ αὐτὸν συμβουλὰς εἰς μίαν δύσκολον περίοδον τῆς ζωῆς του, κατὰ τὴν ὁποίαν ἡ κακὴ κατάστασις τῆς ὑγείας του, αἱ διαβολαὶ τοῦ Εὐσταθίου Σεβαστείας καὶ ἡ στασιμότης τοῦ θέματος τῆς Ἐκκλησίας Ἀντιοχείας, τὸν εἶχαν κουράσει πολύ.

234

165. ΑΣΧΟΛΙΩ ΕΠΙΣΚΟΠΩ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

Παλαιὰν ἡμῖν εὐχὴν ὁ ἅγιος Θεὸς ἐξεπλήρωσε καταξιώσας ἡμᾶς γράμμασι τῆς ἀληθινῆς σου θεοσεβείας ἐντυχεῖν. Τὸ μὲν γὰρ μέγιστον καὶ τῆς μεγίστης σπουδῆς ἄξιον αὐτόν σε ἰδεῖν καὶ ὀφθῆναί σοι καὶ τῶν ἐν σοὶ τοῦ Πνεύματος χαρισμάτων δι' ἑαυτῶν ἀπολαῦσαι. Ἐπειδὴ δὲ τοῦτο ἥ τε τοῦ τόπου διάστασις ἀφαιρεῖται καὶ αἱ ἰδίᾳ ἑκάτερον ἡμῶν κατέχουσαι περιστάσεις, δευτέρας εὐχῆς ἄξιον γράμμασι συνεχέσι τῆς ἐν Χριστῷ ἀγάπης τρέφεσθαι τὴν ψυχήν. Ὃ καὶ νῦν ἡμῖν ὑπῆρξεν, ὅτε ἐλάβομεν εἰς χεῖρας τὴν ἐπιστολὴν τῆς συνέσεώς σου. Πλέον γὰρ ἢ διπλασίους ἐγενόμεθα τῇ ἀπολαύσει τῶν ἐπεσταλμένων. Καὶ γὰρ ἦν τῷ ὄντι καὶ αὐτήν σου καθορᾶν τὴν ψυχὴν οἷον δι' ἐσόπτρου τινὸς τῶν λόγων διαφαινομένην. Πολυπλασίονα δὲ ἡμῖν τὴν εὐφροσύνην ἐποίει οὐ μόνον τὸ τοιοῦτον εἶναί σε ὁποῖον ἡ πάντων μαρτυρία παρίστησιν, ἀλλ' ὅτι τὰ ἐν σοὶ καλὰ τῆς πατρίδος ἡμῶν ἐστι σεμνολογήματα. Οἷον γὰρ εὐθαλής τις κλάδος ῥίζης γενναίας ἀφορμηθεὶς τῶν πνευματικῶν καρπῶν τὴν ὑπεροχίαν ἐνέπλησας. Ὥστε εἰκότως ἡ πατρὶς ἡμῶν τοῖς οἰκείοις βλαστήμασιν ἐπαγάλλεται, καὶ ἡνίκα τοὺς ὑπὲρ τῆς πίστεως ἀγῶνας διήθλεις, ἐδόξαζε τὸν Θεὸν ἀκούουσα τὴν τῶν πατέρων ἀγαθὴν κληρονομίαν διαφυλαττομένην ἐν σοί. Οἷα δέ σου καὶ τὰ παρόντα; Μάρτυρι νέον ἀνθήσαντι ἐπὶ τῆς γείτονος ὑμῖν βαρβάρου τὴν ἐνεγκοῦσαν ἐτίμησας, οἷόν τις εὐγνώμων γεωργὸς τοῖς παρασχομένοις τὰ

Ἐπιστολὴ 165. Ἐγράφη τὸ 374. Τὸ περιεχόμενον τῆς ἐπιστολῆς αὐτῆς ἔχει κάποιαν συγγένειαν μὲ τὸ τῆς ἐπιστολῆς 155 ποὺ ἀπευθύνεται εἰς ἀξιωματοῦχον τῶν παρὰ τὸν Δούναβιν βυζαντινῶν περιοχῶν. Ἀπευθύνεται μήπως καὶ αὐτὴ εἰς ἐκεῖνον καὶ ὄχι εἰς τὸν Ἀσχόλιον; Ἐξ ἄλλου

234

ΕΠΙΣΤΟΛΗ 165
ΠΡΟΣ ΑΣΧΟΛΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

Παλαιὰν εὐχήν μας ἱκανοποίησεν ὁ ἅγιος Θεὸς μὲ τὸ νὰ μᾶς καταξιώσῃ νὰ λάβωμεν γράμμα τῆς γνησίας θεοσεβείας σου. Βέβαια τὸ μέγιστον καὶ ἀξιοσπούδαστον ἀγαθὸν θὰ ἦτο νὰ σὲ ἴδωμεν καὶ νὰ ἰδωθῶμεν ἀπὸ σὲ καὶ ν' ἀπολαύσωμεν ἀπὸ πλησίον τὰ χαρίσματα τοῦ Πνεύματος ποὺ ἔχεις μέσα σου. Ἐπειδὴ δὲ τοῦτο ἀποκλείουν καὶ ἡ τοπικὴ ἀπόστασις ποὺ μᾶς χωρίζει καὶ αἱ περιστάσεις ποὺ μᾶς συνέχουν καὶ τοὺς δύο, ἄξιον δευτέρας εὐχῆς εἶναι τὸ νὰ τρέφωμεν τὴν ψυχὴν μὲ τὴν ἐν Χριστῷ ἀγάπην διὰ γραμμάτων.

Αὐτὸ συνέβη μὲ ἡμᾶς τώρα, ὅταν ἐλάβαμεν τὴν ἐπιστολὴν τῆς συνέσεώς σου. Μὲ τὴν ἀπόλαυσιν τῶν γραφομένων ἐγίναμεν περισσότερον ἀπὸ διπλασίους. Διότι πράγματι ἠδυνήθημεν καὶ τὴν καθαράν σου ψυχὴν νὰ ἴδωμεν διαφαινομένην διὰ μέσου τῶν λόγων ὡσὰν εἰς καθρέπτην. Πολλαπλασίαν δὲ κατέστησε τὴν εὐφροσύνην μας, ὄχι μόνον τὸ γεγονὸς ὅτι εἶσαι ἀκριβῶς ὅπως ἡ μαρτυρία ὅλων σὲ παριστᾷ, ἀλλὰ καὶ ὅτι τὰ καλά σου προσόντα ἀποτελοῦν σεμνολογήματα τῆς πατρίδος μας. Σὰν ἕνας εὐθαλὴς κλάδος ποὺ προῆλθεν ἀπὸ ἀκμαίαν ρίζαν ἐγέμισες τὴν πέραν τῶν ὁρίων μας χώραν μὲ πνευματικοὺς καρπούς. Ὥστε δικαίως ἀγάλλεται ἡ πατρίς μας διὰ τὰ βλαστήματά της καί, ὅταν ἔκαμες τοὺς ὑπὲρ τῆς πίστεως ἀγῶνας, ἐδόξαζε τὸν Θεὸν καθὼς ἤκουεν ὅτι μέσα σου διαφυλάσσεται ἡ ἀγαθὴ κληρονομία τῶν πατέρων.

Ποῖα δὲ εἶναι καὶ τὰ παρόντα ἔργα σου; Ἐτίμησες τὴν γενέτειράν σου μὲ μάρτυρα ποὺ ἤθλησε προσφάτως εἰς τὴν γειτονικὴν βάρβαρον χώραν, στέλλων ὡσὰν εὐγνώμων γεωργὸς

ὅμως συγγενεύει καὶ μὲ τὸ τῆς ἐπιστολῆς 164 Β' τ. ποὺ ἀπευθύνεται πρὸς τὸν Ἀσχόλιον. Ἴσως εἰς τὴν ἀποστολὴν τῶν λειψάνων τοῦ μάρτυρος συνήργησε καὶ ὁ Ἀσχόλιος καὶ ὁ διοικητής.

σπέρματα τὰς ἀπαρχὰς τῶν καρπῶν ἀποπέμπων. Ὄντως πρέποντα ἀθλητῇ Χριστοῦ τὰ δῶρα· μάρτυς τῆς ἀληθείας ἄρτι τὸν τῆς διακαιοσύνης ἀναδησάμενος στέφανον, ὃν καὶ ὑπεδεξάμεθα χαίροντες καὶ ἐδοξάσαμεν τὸν Θεὸν τὸν ἐν πᾶσι τοῖς ἔθνεσι πληρώσαντα λοιπὸν τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ αὐτοῦ. Παρακέκλησο δὲ καὶ ἡμῶν τῶν ἀγαπώντων σε μεμνῆσθαι ἐν ταῖς προσευχαῖς καὶ σπουδαίως ὑπὲρ τῶν ψυχῶν ἡμῶν προσεύχεσθαι τῷ Κυρίῳ, ἵνα καταξιωθῶμέν ποτε ἄρξασθαι καὶ αὐτοὶ δουλεύειν τῷ Θεῷ, κατὰ τὴν ὁδὸν τῶν ἐντολῶν αὐτοῦ ἃς ἔδωκεν ἡμῖν εἰς σωτηρίαν.

235

172. ΣΩΦΡΟΝΙΩ ΕΠΙΣΚΟΠΩ

Ὅπως ηὔφρανας ἡμᾶς τοῖς γράμμασιν οὐδὲν δεόμεθα γράφειν. Εἰκάζεις γὰρ πάντως αὐτοῖς οἷς ἐπέστειλας τοιούτοις οὖσι. Τὸν γὰρ πρῶτον καρπὸν τοῦ Πνεύματος, τὴν ἀγάπην, ἔδειξας ἡμῖν διὰ τοῦ γράμματος. Τούτου δὲ τί ἂν γένοιτο τιμιώτερον ἡμῖν ἐν τῇ παρούσῃ τῶν καιρῶν καταστάσει, ἡνίκα διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ἐψύγη τῶν πολλῶν ἡ ἀγάπη; Οὐδὲν γὰρ οὕτω σπάνιον νῦν ὡς ἀδελφοῦ συντυχία πνευματικοῦ καὶ ῥῆμα εἰρηνικὸν καὶ πνευματικὴ κοινωνία, ἣν εὑρόντες ἐν τῇ σῇ τελειότητι ὑπερηυχαριστήσαμεν τῷ Κυρίῳ δεόμενοι καὶ τῆς τελείας ἐπὶ σοὶ μετασχεῖν εὐφροσύνης. Εἰ γὰρ αἱ ἐπιστολαὶ τοιαῦται, ὁποία ἡ συντυχία; Καὶ εἰ πόρρωθεν οὕτως αἱρεῖς, πόσου ἄξιος ἔσῃ ἐγγύθεν ἡμῖν ἐπιφανείς; Εὖ δὲ ἴσθι, εἰ μὴ μυρίων ἀσχολιῶν

Ἐπιστολὴ 172. Ἐγράφη τὸ 374. Ὁ Σωφρόνιος αὐτὸς δὲν εἶναι βεβαίως ὁ ἴδιος μὲ τὸν φίλον τοῦ Βασιλείου μάγιστρον Σωφρόνιον, πρὸς τὸν ὁποῖον ἔγραφε πολὺ συχνά.

τὰς ἀπαρχὰς τῶν καρπῶν εἰς ἐκείνους ποὺ ἔδωσαν τὸν σπόρον. Τὰ δῶρα ἀληθῶς πρέπουν εἰς ἀθλητὴν τοῦ Χριστοῦ· εἶναι ἕνας μάρτυς τῆς ἀληθείας ποὺ μόλις πρὸ ὀλίγου περιεβλήθη τὸν στέφανον τῆς δικαιοσύνης, τὸν ὁποῖον καὶ ὑπεδέχθημεν μὲ χαρὰν καὶ ἐδοξάσαμεν τὸν Θεόν, ὁ ὁποῖος ὡλοκλήρωσε πλέον τὴν διάδοσιν τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ εἰς ὅλα τὰ ἔθνη. Σὲ παρακαλοῦμεν δὲ νὰ ἐνθυμῆσαι εἰς τὰς προσευχάς σου καὶ ἡμᾶς τοὺς ἀγαπῶντάς σε καὶ νὰ ἱκετεύῃς τὸν Κύριον θερμῶς ὑπὲρ τῶν ψυχῶν μας, διὰ νὰ ἀξιωθῶμεν κάποτε ν' ἀρχίσωμεν καὶ ἡμεῖς νὰ δουλεύωμεν εἰς τὸν Θεὸν κατὰ τὴν ὁδὸν τῶν ἐντολῶν ποὺ μᾶς ἔδωσε διὰ τὴν σωτηρίαν.

235

ΕΠΙΣΤΟΛΗ 172
ΠΡΟΣ ΤΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΩΦΡΟΝΙΟΝ

Πόσον μᾶς ηὔφρανες μὲ τὸ γράμμα, δὲν χρειάζεται νὰ σοῦ τὸ γράψωμεν. Πάντως τὸ εἰκάζεις ἀπὸ τὰ ἴδια τὰ γραφόμενά σου, τέτοια ποὺ εἶναι. Διότι μὲ τὸ γράμμα μᾶς ἔδειξες τὸν πρῶτον καρπὸν τοῦ Πνεύματος, τὴν ἀγάπην. Τί δὲ θὰ ἠμποροῦσε νὰ εἶναι πολυτιμότερον δι' ἡμᾶς εἰς τὴν παροῦσαν κατάστασιν τῶν καιρῶν, ὁπότε μὲ τὴν ἄφθονον αὔξησιν τῆς ἀνομίας κατεψύχθη ἡ ἀγάπη τῶν πολλῶν [1]; Τίποτε σήμερα δὲν εἶναι τόσον σπάνιον ὅσον ἡ συνάντησις ἀδελφοῦ πνευματικοῦ καὶ ὁ εἰρηνικὸς λόγος καὶ ἡ πνευματικὴ κοινωνία. Εὑρόντες εἰς τὴν τελειότητά σου αὐτὴν τὴν κοινωνίαν ὑπερηυχαριστήσαμεν τὸν Κύριον, παρακαλοῦντες νὰ μετάσχωμεν καὶ τῆς τελείας διὰ σὲ εὐφροσύνης. Ἀληθινά, ἐὰν αἱ ἐπιστολαί σου εἶναι τοιαῦται, ποία θὰ εἶναι ἡ συνάντησις; Καὶ ἐὰν ἀπὸ μακρυὰ αἰχμαλωτίζῃς μὲ τέτοιον τρόπον, πόσον περισσότερον δὲν θὰ τὸ κάμῃς, ὅταν φανῇς πλησίον μας;

1. Ματθ. 24, 12.

περιεῖχε πλῆθος καὶ αἱ ἀπαραίτητοι αὗται ἀνάγκαι αἷς ἐνδεδέμεθα, αὐτόν με ἐπειχθῆναι πρὸς τὴν σὴν τελειότητα. Καίτοιγε μέγα μοι ἐμπόδιόν ἐστι πρὸς τὰς κινήσεις ἡ παλαιὰ αὕτη τοῦ σώματος ἀρρωστία, ἀλλ' ὅμως οὐκ ἂν ὑπελογισάμην τοῦτο ἐμπόδιον τῆς προσδοκωμένης ἕνεκεν ὠφελείας. Τὸ γὰρ ἀνδρὶ τὰ αὐτὰ φρονοῦντι καὶ τὴν τῶν πατέρων πρεσβεύοντι πίστιν, ὡς ὁ τῶν τιμίων ἀδελφῶν καὶ συμπρεσβυτέρων λόγος, καταξιωθῆναι περιτυχεῖν ὄντως ἐστὶν εἰς τὴν ἀρχαίαν μακαριότητα τῶν Ἐκκλησιῶν ἐπανελθεῖν, ὅτε ὀλίγοι μὲν ἦσαν οἱ νοσοῦντες περὶ ζητήσεις, ἐν ἡσυχίᾳ δὲ ἦσαν πάντες ἐργάται ὄντες τῶν ἐντολῶν ἀνεπαίσχυντοι, διὰ τῆς ἁπλῆς καὶ ἀπεριέργου ὁμολογίας λατρεύοντες τῷ Κυρίῳ καὶ ἄσυλον τὴν πίστιν καὶ ἀπερίεργον τὴν εἰς Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα διαφυλάσσοντες.

236

213. ΑΝΕΠΙΓΡΑΦΟΣ

1. Κύριος ὁ παρασχόμενός μοι ταχεῖαν ἐπὶ ταῖς θλίψεσι τὴν ἀντίληψιν, αὐτός σοι τῆς ἀναπαύσεως ἣν ἀνέπνευσας ἡμᾶς ἐν τῇ παρούσῃ διὰ τοῦ γράμματος ἐπισκέψει παράσχοιτο τὴν ἀντίληψιν, τῇ ἀληθινῇ καὶ μεγάλῃ εὐφροσύνῃ τοῦ πνεύματος τὸν ἐπὶ τῇ παρακλήσει μισθὸν τῆς ταπεινώσεως ἡμῶν ἀποπληρῶν. Ἔτυχον γάρ πως τὴν ψυχὴν κεκακωμένος, ἐν πολυανθρώπῳ συλλήψει κτηνώδη τινὰ καὶ παντελῶς ἄλογον τοῦ λαοῦ καταμαθὼν ῥαθυμίαν καὶ τῶν ἀγόντων αὐτοὺς παλαιὰν καὶ δυσδιόρθωτον συνήθειαν τοῦ κακοῦ. Ἐπεὶ δὲ εἶδον τὰ γράμματα καὶ τὸν ἐν αὐτοῖς τῆς ἀγάπης θησαυρόν, ἐπέγνων ὅτι ἐπέλαμψεν ἡμῖν τοῖς ἐν

Ἐπιστολὴ 213. Ἐγράφη τὸ 375. Ὁ ἄγνωστος παραλήπτης ἦτο προφανῶς ἐπίσκοπος καὶ φίλος τοῦ Βασιλείου.

Νὰ γνωρίζῃς δὲ καλά, ὅτι, ἐὰν δὲν μᾶς συνεῖχε πλῆθος μυρίων ἀσχολιῶν καὶ αὐταὶ αἱ ἐπείγουσαι ἀνάγκαι ποὺ μᾶς δεσμεύουν, θὰ ἔτρεχα ἐγὼ ὁ ἴδιος εἰς τὴν τελειότητά σου. Βέβαια μέγα ἐμπόδιον διὰ τὰς κινήσεις μοῦ εἶναι αὐτὴ ἡ παλαιὰ ἀρρώστεια τοῦ σώματος, ἀλλ' ὅμως δὲν θὰ ἐθεωροῦσα τοῦτο ὡς ἐμπόδιον ἐμπρὸς εἰς τὴν ἀναμενομένην ὠφέλειαν. Τὸ νὰ ἀξιωθῶμεν νὰ συναντήσωμεν ἄνδρα ποὺ εἶναι ὁμόφρων καὶ πρεσβεύει τὴν ἰδίαν ὁμολογίαν πίστεως τῶν πατέρων, ὅπως βεβαιώνουν οἱ τίμιοι ἀδελφοὶ καὶ συμπρεσβύτεροι, εἶναι πράγματι σὰν νὰ ἐπανερχώμεθα εἰς τὴν ἀρχαίαν μακαριότητα τῶν Ἐκκλησιῶν, τότε ποὺ ὀλίγοι ἦσαν οἱ πάσχοντες ἀπὸ τὴν νόσον τῆς ἀναζητήσεως, ἐν ἡσυχίᾳ δὲ ἦσαν ὅλοι, ἐργάται ἀνεπαίσχυντοι τῶν ἐντολῶν, λατρεύοντες τὸν Κύριον κατὰ τὴν ἁπλῆν καὶ γνησίαν ὁμολογίαν καὶ διαφυλάσσοντες τὴν πίστιν εἰς Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα ἀπαραβίαστον καὶ γνησίαν.

236

ΕΠΙΣΤΟΛΗ 213
ΑΝΕΠΙΓΡΑΦΟΣ

1. Ὁ Κύριος ποὺ ἔδωσε ταχεῖαν βοήθειαν εἰς τὰς θλίψεις, αὐτὸς νὰ παράσχῃ καὶ εἰς σὲ τὴν βοήθειαν διὰ τὴν ἀναψυχὴν ποὺ μᾶς προσέφερες μὲ τὴν παροῦσαν ἐπίσκεψίν σου διὰ γράμματος, συμπληρώνων τὴν ἀμοιβὴν διὰ τὴν παραμυθίαν πρὸς τὴν ταπεινότητα ἡμῶν μὲ τὴν ἀληθινὴν καὶ μεγάλην εὐφροσύνην τοῦ Πνεύματος. Ἔτυχα νὰ ἔχω κάπως πονεμένην ψυχήν, διότι παρετήρησα εἰς μίαν πολυάνθρωπον συνάθροισιν μίαν κτηνώδη καὶ παράλογον ἀδιαφορίαν τοῦ λαοῦ καὶ μίαν παλαιὰν καὶ δυσδιόρθωτον ἕξιν κακοῦ τῶν ἡγετῶν των. Μόλις ὅμως εἶδα τὸ γράμμα καὶ τὸν εἰς αὐτὸ θησαυρόν, κατενόησα ὅτι ὁ οἰκονομῶν τὰς ὑποθέσεις μας [1] ἀνέτειλεν γλυκεῖαν παρηγορίαν εἰς ἡμᾶς ποὺ ζῶμεν εἰς πικρίαν.

1. Ὁ Θεός.

πικρίᾳ ζῶσι γλυκεῖαν παραμυθίαν ὁ οἰκονομῶν τὰ ἡμέτερα. Διὸ καὶ ἀντιφθέγγομαί σου τὴν ὁσιότητα παρακαλῶν τὴν συνήθη παράκλησιν, μὴ διαλιπεῖν σε εὐχόμενον ὑπὲρ τῆς ἐλεεινῆς μου ζωῆς, μήποτε τῇ φαντασίᾳ τοῦ βίου τούτου καταβαπτισθεὶς ἐπιλάθωμαι μὲν τοῦ Θεοῦ, τοῦ ἐγείροντος ἀπὸ γῆς πτωχόν, ἔπαρσιν δέ τινα παθὼν εἰς κρῖμα ἐμπέσω τοῦ διαβόλου, ῥᾳθυμήσας δὲ τῆς οἰκονομίας καθεύδων ὑπὸ τοῦ Δεσπότου καταληφθῶ, ἢ καὶ διὰ τῶν βλαβερῶν ἔργων προστιθεὶς καὶ τύπτων τὴν συνείδησιν τῶν συνδούλων, ἢ καὶ μετὰ τῶν μεθυόντων γινόμενος, ἐν τῇ δικαιοδοσίᾳ τοῦ Θεοῦ πάθω τὰ τοῖς πονηροῖς τῶν οἰκονόμων ἠπειλημένα. Παρακαλῶ οὖν σε ἐπὶ πάσῃ προσευχῇ δέεσθαι τοῦ Θεοῦ νήφειν ἡμᾶς ἐν πᾶσιν, ἵνα μὴ αἰσχύνη γινώμεθα καὶ ὄνειδος τῷ ὀνόματι τοῦ Χριστοῦ ἐν τῇ ἀποκαλύψει τῶν κρυπτῶν τῆς καρδίας ἡμῶν κατὰ τὴν μεγάλην ἡμέραν τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

2. Γίνωσκε δέ με ἐν προσδοκίᾳ εἶναι τοῦ κατ' ἐπήρειαν τῶν αἱρετικῶν ἀνακληθήσεσθαι εἰς τὸ στρατόπεδον ἐπὶ προφάσει δὴ τῆς εἰρήνης· καὶ τοῦτο ἀκούσαντα καὶ τὸν ἐπίσκοπον τόνδε ἐπεσταλκέναι ἡμῖν σπουδάσαι περὶ τὴν Μεσοποταμίαν γενέσθαι, καὶ τῶν ἐκεῖ τοὺς ὁμοδόξους καὶ ἐπικρατύνοντας τὰ τῶν Ἐκκλησιῶν συναγαγόντα μετ' αὐτῶν ὁρμῆσαι πρὸς τὸν βασιλέα. Ἐμοὶ δὲ τάχα μὲν οὐδὲ τὸ σῶμα αὐτὸ πρὸς τὴν ἐν τῷ χειμῶνι ὁδοιπορίαν ἀρκέσει. Τέως δὲ οὐδὲ ἀναγκαῖον τὸ πρᾶγμα ἐφάνη, πλὴν εἰ μή τι αὐτὸς συμβουλεύσεις. Ἀναμενῶ γὰρ καὶ τὴν παρὰ τῆς θεοσεβείας σου συμβουλήν, ὥστε κρατυνθῆναι τὴν γνώμην. Διὸ παρακαλῶ θᾶττον ἡμῖν διά τινος τῶν σπουδαίων ἀδελφῶν τὸ παριστὰν τῇ τελειότητί σου καὶ ἐνθέῳ συνέσει φανερωθῆναι.

---

2. Ψαλμ. 112, 7.
3. Α' Τιμ. 3, 6.
4. Ματθ. 24, 48-51.

Διὰ τοῦτο καὶ ἀντιπροσφωνῶ τὴν ὁσιότητά σου δίδων τὴν συνήθη παρηγορίαν, νὰ μὴ παύσῃς νὰ εὔχεσαι ὑπὲρ τῆς ἐλεεινῆς μου ζωῆς, μὴ τυχόν, καταποντισθεὶς εἰς τὰς φαντασιοπληξίας τοῦ βίου τούτου λησμονήσω μὲν τὸν Θεόν, ὁ ὁποῖος ἐγείρει τὸν πτωχὸν ἀπὸ τὴν γῆν [2], παθὼν δὲ καμμίαν ἔπαρσιν πέσω εἰς τὴν καταδίκην τοῦ διαβόλου [3], ἀδιαφορήσας δὲ διὰ τὸ ὑπούργημά μου καταληφθῶ ἀπὸ τὸν Δεσπότην εἰς τὸν ὕπνον [4], ἢ ἐπιφορτίζων αὐτὸ μὲ τὰ βλαβερὰ ἔργα καὶ τύπτων τὴν συνείδησιν τῶν συνδούλων ἢ συναναστρεφόμενος τοὺς μεθύσους, πάθω κατὰ τὴν δικαιοκρισίαν τοῦ Θεοῦ ὅσα ἠπείλησε τοὺς πονηροὺς οἰκονόμους. Σὲ παρακαλῶ λοιπὸν νὰ δέεσαι τοῦ Θεοῦ εἰς κάθε προσευχὴν νὰ εἴμεθα εἰς ὅλα ἄγρυπνοι, διὰ νὰ μὴ γινωμεν ἐντροπὴ καὶ ὄνειδος εἰς τὸ ὄνομα τοῦ Χριστοῦ μὲ τὴν ἀποκάλυψιν τῶν κρυπτῶν τῆς καρδίας μας κατὰ τὴν μεγάλην ἡμέραν τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

2. Γνώριζε δὲ ὅτι, ἐξ αἰτίας ἐπιρροῶν τῶν αἱρετικῶν, ἀναμένω ἀπὸ στιγμῆς εἰς στιγμὴν νὰ κληθῶ εἰς τὴν αὐλὴν μὲ πρόσχημα τὴν εἰρήνην. Τοῦτο ἀκούσας καὶ ὁ ἐν λόγῳ ἐπίσκοπος [5] μᾶς ἔγραψε νὰ φροντίσωμεν νὰ μεταβῶμεν εἰς τὴν Μεσοποταμίαν καί, ἀφοῦ συναθροίσω ἐκεῖ τοὺς ὁμοδόξους ἐπισκόπους ποὺ διοικοῦν τὰς Ἐκκλησίας, νὰ ἐκκινήσω μαζὶ μὲ αὐτοὺς εἰς τὸν βασιλέα. Εἰς ἐμὲ ὅμως οὔτε κἂν αὐτὸ τὸ σῶμά μου δὲν θὰ ἀνθέξῃ εἰς τὴν ὁδοιπορίαν κατὰ τὴν διάρκειαν τοῦ χειμῶνος. Ἔπειτα δὲ δὲν ἐφάνη οὔτε ἀναγκαία αὐτὴ ἡ ἐνέργεια, ἐκτὸς ἐὰν ἐσὺ μὲ συμβουλεύσῃς σχετικῶς [6]. Θὰ ἀναμένω λοιπὸν καὶ τὴν ἐκ μέρους τῆς θεοσεβείας σου συμβουλήν, ὥστε νὰ ἐνισχυθῇ ἡ γνώμη μου. Διὰ τοῦτο παρακαλῶ γρήγορα νὰ μοῦ φανερωθῇ μέσῳ ἑνὸς ἀπὸ τοὺς ἐμπίστους ἀδελφούς ὅ,τι κρίνεται ὀρθὸν ἀπὸ τὴν τελειότητά καὶ ἔνθεον σύνεσίν σου.

---

5. Δὲν ἀναφέρει τὸ ὄνομα τοῦ ἐπισκόπου διὰ λόγους ἀσφαλείας· προφανῶς θὰ τὸ ἀνεκοίνωνεν ὁ ταχυδρόμος. Ἴσως ἦτο ὁ Μελέτιος Ἀντιοχείας.

6. Τοῦτο σημαίνει ὅτι ὁ παραλήπτης εἶναι σπουδαία προσωπικότης.

237

258. ΕΠΙΦΑΝΙΩ ΕΠΙΣΚΟΠΩ

1. Τὸ πάλαι προσδοκηθὲν ἐκ τῆς τοῦ Κυρίου προρρήσεως, νῦν δὲ λοιπὸν τῇ πείρᾳ τῶν πραγμάτων βεβαιούμενον, ὅτι «Διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν», ἤδη κεκρατημένον παρ' ἡμῖν, ἔδοξε λύειν τὰ γράμματα τῆς τιμιότητός σου κομισθέντα. Οὕτως γὰρ ἀγάπης ἔνδειγμα οὐ τὸ τυχὸν πρῶτον μὲν μνησθῆναι ἡμῶν τῶν οὕτω μικρῶν καὶ μηδενὸς ἀξίων, ἔπειτα καὶ ἀδελφοὺς ἀποστεῖλαι εἰς ἐπίσκεψιν ἡμετέραν πρέποντας εἶναι διακόνους εἰρηνικῶν γραμμάτων. Οὐδὲν γὰρ τούτου σπανιώτερον θέαμα, πάντων πρὸς πάντας λοιπὸν ὑπόπτως διακειμένων. Οὐδαμοῦ γὰρ εὐσπλαγχνία, οὐδαμοῦ συμπάθεια, οὐδαμοῦ δάκρυον ἀδελφικὸν ἐπ' ἀδελφῷ κάμνοντι. Οὐ διωγμοὶ ὑπὲρ τῆς ἀληθείας, οὐκ Ἐκκλησίαι στενάζουσαι πανδημεί, οὐχ ὁ πολὺς οὗτος τῶν περιεχόντων ἡμᾶς δυσχερῶν κατάλογος κινεῖν δύναται ἡμᾶς πρὸς τὴν ὑπὲρ ἀλλήλων μέριμναν. Ἀλλὰ τοῖς πτώμασιν ἐναλλόμεθα, τὰ τραύματα ἐπιξαίνομεν, τὰς παρὰ τῶν αἱρετικῶν ἐπηρείας οἱ δοκοῦντες τῷ αὐτῷ κοινωνεῖν φρονήματι ἐπιτείνομεν, καὶ οἱ ἐν τοῖς καιριωτάτοις ἔχοντες συμφωνίαν ἑνί γέ τινι πάντως διεστήκασιν ἀπ' ἀλλήλων. Πῶς οὖν μὴ θαυμάσωμεν τὸν ἐν τοιούτοις πράγμασι καθαρὰν καὶ ἄδολον τὴν πρὸς τοὺς πλησίον ἀγάπην ἐπιδεικνύμενον, καὶ διὰ τοσαύτης θαλάσσης καὶ ἠπείρου τῆς χω-

---

Ἐπιστολὴ 258. Ἐγράφη τὸ 377. Ὁ παραλήπτης εἶναι ὁ γνωστὸς μοναχικὸς ἡγέτης ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου καὶ ἀνταιρετικὸς θεολόγος Ἐπιφάνιος. Τὸ 376 ἐπεχείρησε νὰ ἀνακαλέσῃ εἰς τὴν ὀρθοδοξίαν τὸν Βιτάλιν, ὁ ὁποῖος εἶχε χειροτονηθῇ ἀπὸ τὸν Ἀπολινάριον ὡς ἐπίσκοπος Ἀντιοχείας, ἀλλ' ἀπέτυχεν, ἔγραψε δὲ σχετικῶς πρὸς τὸν Βασίλειον.

237

ΕΠΙΣΤΟΛΗ 258
ΠΡΟΣ ΤΟΝ ΕΠΙΣΚΟΠΟΝ ΕΠΙΦΑΝΙΟΝ

1. Τὸ ἀπὸ τὸν παλαιὸν χρόνον προσδοκώμενον ἐκ τῆς προρρήσεως τοῦ Κυρίου, τώρα δὲ πλέον ἐπιβεβαιούμενον ἐκ τῆς πείρας τῶν πραγμάτων, ὅτι δηλαδὴ «ἐπειδὴ ἐπληθύνθη ἡ ἀνομία θὰ ψυγῇ ἡ ἀγάπη τῶν πολλῶν» [1], ἂν καὶ ἤδη εἶχεν ἐπικρατήσει εἰς ἡμᾶς, ἐφάνη ὅτι τὸ ἀνῆρεσε τὸ γράμμα ποὺ ἐκομίσθη ἀπὸ τὴν τιμιότητά σου. Πράγματι εἶναι ἔνδειξις ἀγάπης ὄχι τυχοῦσα, πρῶτον μὲν τὸ ὅτι ἐνεθυμήθης ἡμᾶς τοὺς τόσον μικροὺς καὶ ἀναξίους, ἔπειτα δὲ καὶ τὸ νὰ μᾶς ἀποστείλῃς εἰς ἐπίσκεψίν μας ἀδελφοὺς ποὺ εἶναι κατάλληλοι φορεῖς εἰρηνικῶν γραμμάτων. Τίποτε δὲν εἶναι σπανιώτερον θέαμα ἀπὸ αὐτὸ σήμερα ποὺ ὅλοι πλέον διάκεινται πρὸς ὅλους ὑπόπτως. Πουθενὰ δὲν ὑπάρχει εὐσπλαγχνία, πουθενὰ συμπάθεια, πουθενὰ ἀδελφικὸν δάκρυον δι' ἀδελφὸν ὑποφέροντα. Οὔτε οἱ διωγμοὶ κατὰ τῶν ἀκολουθούντων τὴν ἀλήθειαν, οὔτε αἱ Ἐκκλησίαι ποὺ στενάζουν ὁλόκληροι, οὔτε αὐτὸς ὁ πολὺς κατάλογος τῶν δυσχερειῶν ποὺ μᾶς συνέχουν ἠμποροῦν νὰ μᾶς κινήσουν πρὸς τὴν μεταξύ μας συμπάθειαν. Ἀλλὰ πηδῶμεν ἐπάνω εἰς τοὺς πεσμένους, ξαίνομεν τὰ τραύματα, ἐπιτείνομεν τὰς ἐκ μέρους τῶν αἱρετικῶν δοκιμασίας ἡμεῖς ποὺ ὑποτίθεται ὅτι εἴμεθα κοινωνοὶ τοῦ ἰδίου φρονήματος· ἡμεῖς ποὺ εἴμεθα σύμφωνοι εἰς τὰ σπουδαιότατα δόγματα ὁπωσδήποτε χωριζόμεθα μεταξύ μας εἰς κάποιον σημεῖον. Πῶς νὰ μὴ θαυμάσωμεν λοιπὸν τὸν ἄνδρα ποὺ ἐπιδεικνύει καθαρὰν καὶ ἄδολον τὴν πρὸς τὸν πλησίον ἀγάπην εἰς τοιαῦτα πράγματα καί, ἐνῷ μᾶς χωρίζει τόση θά-

---

Ὁ Ἐπιφάνιος, ἔχων στενὰς σχέσεις μὲ τὴν Δύσιν ἀνεγνώριζεν ὡς ἐπίσκοπον Ἀντιοχείας ὄχι τὸν Μελέτιον ἀλλὰ τὸν Παυλῖνον ποὺ ἦτο καὶ τῆς Ρώμης ἐκλεκτός, ἂν καὶ οἱ ὀπαδοί του δὲν ἀπετέλουν τίποτε περισσότερον ἀπὸ μίαν ἐνορίαν.

1. Ματθ. 24, 12.

ριζούσης ἡμᾶς σωματικῶς τὴν ἐνδεχομένην ἐπιμέλειαν ταῖς ψυχαῖς ἡμῶν χαριζόμενον;

2. Ἐθαύμασα δέ σου κἀκεῖνο ὅτι καὶ τὴν ἐν τῷ Ἐλαιῶνι τῶν ἀδελφῶν διάστασιν λυπηρῶς ἐδέξω καὶ βούλει τινὰ αὐτοῖς γενέσθαι πρὸς ἀλλήλους συμβιβασμόν. Καὶ ὅτι σε οὐδὲ τὰ παρευρεθέντα ὑπό τινων καὶ ταραχὰς ἐμποιήσαντα τῇ ἀδελφότητι παρέλαθεν, ἀλλὰ καὶ τὴν ἐπὶ τούτοις μέριμναν ἀνεδέξω, καὶ ταῦτα ἀπεδεξάμην. Ἐκεῖνο δὲ οὐκέτι τῆς σῆς ἐνόμισα εἶναι συνέσεως ἄξιον, τὸ ἡμῖν τὴν περὶ τῶν τηλικούτων διόρθωσιν ἐπιτρέπειν, ἀνθρώποις οὔτε χάριτι Θεοῦ ἀγομένοις διὰ τὸ ἁμαρτίαις συζῆν, οὔτε τινὰ κεκτημένοις περὶ τοὺς λόγους δύναμιν διὰ τὸ τῶν μὲν ματαίων ἀγαπητῶς ἀποστῆναι, τῶν δὲ τῆς ἀληθείας δογμάτων μήπω τὴν προσήκουσαν ἕξιν ἀναλαβεῖν. Ἐπεστείλαμεν οὖν ἤδη τοῖς ἀγαπητοῖς ἀδελφοῖς ἡμῶν τοῖς κατὰ τὸν Ἐλαιῶνα, Παλλαδίῳ τῷ ἡμετέρῳ καὶ Ἰννοκεντίῳ τῷ Ἰταλῷ, πρὸς τὰ παρ' αὐτῶν ἡμῖν ἐπεσταλμένα, ὅτι οὐδὲν δυνάμεθα τῇ κατὰ Νίκαιαν πίστει προστιθέναι ἡμεῖς, οὐδὲ τὸ βραχύτατον, πλὴν τῆς εἰς τὸ Πνεῦμα τὸ Ἅγιον δοξολογίας, διὰ τὸ ἐν παραδρομῇ τοὺς πατέρας ἡμῶν τούτου τοῦ μέρους ἐπιμνησθῆναι· οὕπω τοῦ κατ' αὐτὸ ζητήματος τότε κεκινημένου. Τὰ δὲ προσυφαινόμενα τῇ πίστει ἐκείνῃ δόγματα περὶ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως, ὡς βαθύτερα τῆς ἡμετέρας καταλήψεως οὔτε ἐβασανίσαμεν οὔτε παρεδεξάμεθα, εἰδότες ὅτι, ἐπειδὰν τὴν ἁπλότητα τῆς πίστεως ἅπαξ παρακινήσωμεν, οὔτε τι πέρας τῶν λόγων εὑρήσομεν ἀεὶ τῆς ἀντιλογίας εἰς τὸ πλεῖον ἡμᾶς προαγούσης, καὶ τὰς ψυχὰς τῶν ἀκεραιοτέρων παραταράξομεν τῇ παρεισαγωγῇ τῶν ξενιζόντων.

3. Τὴν δὲ κατὰ Ἀντιόχειαν Ἐκκλησίαν (λέγω δὴ τὴν τῷ

---

2. Τὸ ὄρος τῶν Ἐλαιῶν εἰς τὰ Ἱεροσόλυμα.

λασσα καὶ ξηρὰ σωματικῶς, χαρίζει εἰς τὰς ψυχάς μας ὅλην τὴν δυνατὴν ἐπιμέλειαν;

2. Σὲ ἐθαύμασα δὲ ἐπίσης δι' ἐκεῖνο, ὅτι ἐδέχθης μὲ λύπην τὴν διάστασιν τῶν ἀδελφῶν εἰς τὸν Ἐλαιῶνα [2] καὶ θέλεις νὰ πραγματοποιηθῇ κάποιος συμβιβασμὸς μεταξύ των. Ὁμοίως δὲ ἐπεδοκίμασα τὸ ὅτι δὲν σοῦ διέφυγαν τὰ δόγματα ποὺ ἐφευρέθησαν ἀπὸ κάποιους καὶ προεκάλεσαν ταραχὰς εἰς τὴν ἀδελφότητα [3], ἀλλὰ ἀνέλαβες καὶ δι' αὐτὰ φροντίδα. Ἐκεῖνο δὲ μόνον δὲν ἐθεώρησα ὅτι ἦτο ἀντάξιον τῆς συνέσεώς σου, τὸ ὅτι ἀνέθεσες τὴν διόρθωσιν τόσον σπουδαίων ὑποθέσεων εἰς ἡμᾶς, ἀνθρώπους ποὺ δὲν ὁδηγούμεθα ἀπὸ τὴν χάριν τοῦ Θεοῦ, διότι ζῶμεν εἰς τὰς ἁμαρτίας, οὔτε κατέχομεν κάποιαν δύναμιν λόγου, καθ' ὅσον τῆς μὲν ματαίας σοφίας εὐχαρίστως ἀπεμακρύνθημεν ἀλλὰ ἀκόμη δὲν ἀπεκτήσαμεν τὴν ἀπαραίτητον κατάρτισιν εἰς τὰ δόγματα τῆς ἀληθείας.

Ἐγράψαμεν λοιπὸν ἤδη εἰς τοὺς ἀγαπητοὺς ἀδελφοὺς ἡμῶν τοὺς διαμένοντας εἰς τὸν Ἐλαιῶνα, τὸν ἰδικόν μας Παλλάδιον καὶ τὸν Ἰταλὸν Ἰννοκέντιον, ἀπαντῶντες εἰς τὸ γράμμα ποὺ μᾶς ἔστειλαν αὐτοί, ὅτι ἡμεῖς δὲν δυνάμεθα νὰ προσθέσωμεν εἰς τὸ σύμβολον τῆς Νικαίας τίποτε, οὔτε τὸ βραχύτατον, πλὴν τῆς δοξολογίας εἰς τὸ Ἅγιον Πνεῦμα, καθ' ὅσον οἱ πατέρες ἡμῶν ἀκροθιγῶς μόνον ἐμνημόνευσαν τὸ μέρος τοῦτο, ἀφοῦ δὲν εἶχε προκληθῇ τότε ἀκόμη τὸ ζήτημα τοῦτο. Τὰ δὲ ὑφαινόμενα ἐπάνω εἰς τὸ σύμβολον ἐκεῖνο δόγματα περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου οὔτε ἐβασανίσαμεν οὔτε παρεδέχθημεν, διότι εἶναι βαθύτερα τῆς ἰδικῆς μας καταλήψεως, γνωρίζοντες ὅτι, ὅταν ἅπαξ θίξωμεν τὴν ἁπλότητα τῆς πίστεως, δὲν θὰ εὕρωμεν πλέον πέρας τῶν λόγων, καθὼς ἡ ἀντιλογία θὰ μᾶς φέρῃ πάντοτε παραπέρα, ἀλλὰ καὶ τὰς ψυχὰς τῶν ἁπλοϊκωτέρων θὰ διαταράξωμεν μὲ τὴν εἰσαγωγὴν πραγμάτων ποὺ θὰ τοὺς ξενίζουν.

3. Εἰς δὲ τὴν Ἐκκλησίαν τῆς Ἀντιοχείας — ἐννοῶ φυσικὰ

---

3. Ἡ αἵρεσις τοῦ Ἀπολιναρίου δηλαδή.

αὐτῷ φρονήματι συμβαίνουσαν) δῴη ποτὲ ὁ Κύριος ἰδεῖν αὐτὴν ἡνωμένην. Κινδυνεύει γὰρ αὕτη μάλιστα δεδέχθαι τὰς ἐπιβουλὰς τοῦ ἐχθροῦ μνησικακοῦντος αὐτῇ διὰ τὸ πρῶτον τοῖς ἐκεῖ τὴν τῶν Χριστιανῶν προσηγορίαν ἐμπολιτεύσασθαι. Καὶ τέτμηται μὲν ἡ αἵρεσις πρὸς τὴν ὀρθοδοξίαν, τέτμηται δὲ καὶ αὐτὴ πρὸς ἑαυτὴν ἡ ὀρθότης. Ἡμεῖς δέ, ἐπειδὴ καὶ ὁ πρῶτος παρρησιασάμενος ὑπὲρ τῆς ἀληθείας καὶ τὸν καλὸν ἐκεῖνον διαθλήσας ἀγῶνα ἐπὶ τῶν καιρῶν Κωνσταντίου ὁ αἰδεσιμώτατος Μελέτιός ἐστιν ὁ ἐπίσκοπος, καὶ ἔσχεν αὐτὸν ἡ ἐμὴ Ἐκκλησία κοινωνικὸν ὑπεραγαπήσασα αὐτὸν διὰ τὴν καρτερὰν ἐκείνην καὶ ἀνένδοτον ἔνστασιν, καὶ ἔχομεν αὐτὸν κοινωνικὸν μέχρι τοῦ νῦν τῇ τοῦ Θεοῦ χάριτι καὶ ἕξομέν γε, ἐὰν ὁ Θεὸς θέλῃ. Ἐπεὶ καὶ ὁ μακαριώτατος πάπας Ἀθανάσιος, ἐπιστὰς ἀπὸ Ἀλεξανδρείας, πάνυ ἐβούλετο αὐτῷ τὴν πρὸς αὐτὸν κοινωνίαν καταπραχθῆναι, ἀλλὰ κακίᾳ συμβούλων εἰς ἕτερον καιρὸν ὑπερετέθη αὐτῶν ἡ συνάφεια· ὡς οὐκ ὤφειλε. Τῶν δὲ τελευταίων ἐπεισελθόντων οὐδενὸς οὐδέπω τὴν κοινωνίαν προσηκάμεθα, οὐκ ἐκείνους κρίνοντες ἀναξίους, ἀλλὰ μηδὲν ἔχοντες τούτου καταγινώσκειν. Καίτοι πολλὰ μὲν ἠκούσαμεν περὶ τῶν ἀδελφῶν, ἀλλ' οὐ προσηκάμεθα, διὰ τὸ μὴ ἀντικαταστῆναι τοῖς κατηγόροις τοὺς ἐγκαλουμένους κατὰ τὸ γεγραμμένον, ὅτι «μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ πρῶτον αὐτοῦ ἀκούσῃ καὶ γνῷ τί ποιεῖ;». Ὥστε οὔπω δυνάμεθα αὐτοῖς ἐπιστέλλειν, τιμιώτατε ἀδελφέ, οὔτε ἀναγκάζεσθαι εἰς τοῦτο ὀφείλομεν. Πρέπον δ' ἂν εἴη τῇ εἰρηνικῇ σου προθέσει μὴ τὸ μὲν συνάπτειν, τὸ δὲ διασπᾶν, ἀλλὰ τῇ προϋπαρχούσῃ ἑνώσει τὰ κεχωρισμένα προσάγειν. Ὥστε πρῶτον μὲν εὖξαι, ἔπειτα καί, ὅση δύναμις, παρακάλεσον ῥίψαντας αὐτοὺς ἐκ τῶν ψυχῶν τὸ φιλότιμον καὶ ὑπὲρ τοῦ ἀποδοῦναι τὴν

4. Πράξ. 11, 26.
5. Ἐννοεῖ τὸν Παυλῖνον.

τὴν βαδίζουσαν μὲ τὸ ἴδιον φρόνημα — εἴθε νὰ δώσῃ κάποτε ὁ Κύριος νὰ τὴν ἴδωμεν ἡνωμένην. Διότι κινδυνεύει πολὺ νὰ δεχθῇ τὰς ἐπιβουλὰς τοῦ ἐχθροῦ ποὺ μνησικακεῖ ἐναντίον της διὰ τὸν λόγον ὅτι ἐκεῖ πρώτην φορὰν ἐχρησιμοποιήθη τὸ ὄνομα τῶν Χριστιανῶν [4]. Καὶ ἔχει μὲν ἀποσπασθῇ ἡ αἵρεσις ἀπὸ τὴν ὀρθοδοξίαν, ἀλλὰ ἔχει διασπασθῇ καὶ ἡ ὀρθοδοξία καθ' ἑαυτήν. Ὡς πρὸς ἡμᾶς δέ, ἐπειδὴ ὁ πρῶτος ποὺ ὡμίλησε θαρραλέως ἐκεῖ ὑπὲρ τῆς ἀληθείας καὶ ἤθλησε τὸν καλὸν ἐκεῖνον ἀγῶνα κατὰ τὸν χρόνον τοῦ Κωνσταντίου εἶναι ὁ ἐπίσκοπος Μελέτιος, τὸν ἔλαβε κοινωνικὸν ἡ Ἐκκλησία μου λόγῳ τῆς ἰσχυρᾶς ἐκείνης καὶ ἀνενδότου ἀντιστάσεως, καὶ τὸν ἔχομεν κοινωνικὸν ἕως σήμερα καὶ θὰ τὸν ἔχωμεν, ἐὰν ὁ Θεὸς τὸ θέλῃ. Ἄλλωστε καὶ ὁ μακαριώτατος πάπας Ἀθανάσιος, μεταβὰς ἐκεῖ ἀπὸ τὴν Ἀλεξάνδρειαν, πολὺ ἤθελε νὰ πραγματοποιηθῇ ἡ πρὸς αὐτὸν κοινωνία του, ἀλλὰ ἐξ αἰτίας τῆς κακίας συμβούλων ἡ ἕνωσίς των ἀνεβλήθη δι' ἀργότερα, πρᾶγμα ποὺ εἴθε νὰ μὴ εἶχε συμβῇ. Δὲν ἐδέχθημεν δὲ ποτὲ τὴν κοινωνίαν κανενὸς ἀπὸ τοὺς ἀργότερα εἰσελθόντας εἰς τὴν ἕδραν [5], ὄχι διότι ἐκρίναμεν ἐκείνους ἀναξίους, ἀλλὰ διότι δὲν εἴχαμεν τίποτε βάσει τοῦ ὁποίου νὰ καταδικάσωμεν τοῦτον [6]. Καὶ ὅμως πολλὰ ἠκούσαμεν περὶ τῶν ἀδελφῶν αὐτῶν, ἀλλὰ δὲν τὰ παρεδέχθημεν, διότι οἱ κατηγορούμενοι δὲν ἐξητάσθησαν εἰς ἀντιπαραβολὴν μὲ τοὺς κατηγόρους, κατὰ τὸ γεγραμμένον, «μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ πρῶτον αὐτοῦ ἀκούσῃ καὶ γνῷ τί ποιεῖ;». Ὥστε δὲν δυνάμεθα ἀκόμη νὰ τοὺς γράψωμεν, τιμιώτατε ἀδελφέ, οὔτε πρέπει νὰ πιεζώμεθα εἰς τοῦτο.

Πρέπον δὲ εἶναι εἰς τὴν εἰρηνικήν σου πρόθεσιν ὄχι ἄλλου νὰ ἐπιτυγχάνῃ εἰρήνην καὶ ἄλλου διάσπασιν, ἀλλὰ νὰ φέρῃ εἰς τὴν προηγουμένην ἕνωσίν των τὰ χωρισμένα. Ὥστε πρῶτα μὲν προσευχήσου, ἔπειτα δὲ παρακάλεσε αὐτοὺς μὲ ὅλην τὴν δύναμιν, ἀφοῦ ἀπορρίψουν ἀπὸ τὰς ψυχὰς τὰς φιλοδο-

6. Ἐννοεῖ τὸν Μελέτιον.

ἰσχὺν τῇ Ἐκκλησίᾳ καὶ καθελεῖν τὸ φρύαγμα τῶν ἐχθρῶν συμβῆναι αὐτοὺς πρὸς ἀλλήλους. Ἱκανῶς δέ μου κἀκεῖνο τὴν ψυχὴν παρεκάλεσε, τὸ προστεθὲν παρὰ τῆς σῆς ἀκριβείας τοῖς λοιποῖς καλῶς καὶ ἀκριβῶς θεολογηθεῖσι· τὸ τρεῖς ἀναγκαῖον εἶναι τὰς ὑποστάσεις ὁμολογεῖν. Ὥστε τοῦτο καὶ οἱ κατὰ Ἀντιόχειαν ἀδελφοὶ διδασκέσθωσαν παρὰ σοῦ, πάντως δέ που καὶ ἐδιδάχθησαν· οὐ γὰρ ἂν εἶλου δηλονότι τὴν πρὸς αὐτοὺς κοινωνίαν μὴ τοῦτο αὐτῶν μάλιστα τὸ μέρος ἀσφαλισάμενος.

4. Τὸ δὲ τῶν Μαγουσαίων ἔθνος (ὅπερ διὰ τῆς ἑτέρας ἐπιστολῆς σημᾶναι ἡμᾶς κατηξίωσας) πολύ ἐστι παρ' ἡμῖν κατὰ πᾶσαν σχεδὸν τὴν χώραν διεσπαρμένον, ἀποίκων τὸ παλαιὸν ἐκ τῆς Βαβυλωνίας ἡμῖν ἐπεισαχθέντων. Οἳ ἔθεσιν ἰδιάζουσι κέχρηνται ἄμικτοι ὄντες πρὸς τοὺς ἄλλους ἀνθρώπους· λόγῳ δὲ πρὸς αὐτοὺς κεχρῆσθαι, καθό εἰσιν ἐζωγρημένοι ὑπὸ τοῦ διαβόλου εἰς τὸ ἐκείνου θέλημα, παντελῶς ἐστιν ἀδύνατον. Οὔτε γὰρ βιβλία ἐστὶ παρ' αὐτοῖς οὔτε διδάσκαλοι δογμάτων, ἀλλὰ ἔθει ἀλόγῳ συντρέφονται παῖς παρὰ πατρὸς διαδεχόμενοι τὴν ἀσέβειαν. Ἐκτὸς δὴ τούτων, ἃ ὑπὸ πάντων ὁρᾶται, τὴν ζωοθυσίαν παραιτοῦνται ὡς μίασμα δι' ἀλλοτρίων χειρῶν· τὰ πρὸς τὴν χρείαν ζῷα κατασφάζοντες, γάμοις ἐπιμαίνονται παρανόμοις καὶ τὸ πῦρ ἡγοῦνται Θεὸν καὶ εἴ τι τοιοῦτο. Τὰς δὲ ἐκ τοῦ Ἀβραὰμ γενεαλογίας οὐδεὶς ἡμῖν, μέχρι τοῦ παρόντος, τῶν μάγων ἐμύθολόγησεν, ἀλλὰ Ζαρνοῦάν τινα ἑαυτοῖς ἀρχηγὸν τοῦ γένους ἐπιφημίζουσι. Διόπερ οὐδὲν ἔχω πλέον ἐπιστέλλειν ὑπὲρ αὐτῶν τῇ τιμιότητί σου.

---

7. Ἀπὸ τὴν Μάγουσαν τῆς Ἀραβίας.

ξίας νὰ συμφιλιωθοῦν μεταξύ των, τόσον διὰ τὴν ἀποκατάστασιν τῆς ἰσχύος τῆς Ἐκκλησίας, ὅσον καὶ διὰ τὴν καθαίρεσιν τῆς ὑπεροψίας τῶν ἐχθρῶν.

Ἀρκετὰ δὲ μοῦ παρηγόρησε τὴν ψυχὴν καὶ ἐκεῖνο ποὺ προσετέθη ὑπὸ τῆς ἀκριβείας σου εἰς τὰ ἄλλα τὰ ὁποῖα καλῶς καὶ ἀκριβῶς ἐθεολογήθησαν· τὸ ὅτι εἶναι ἀναγκαῖον νὰ ὁμολογῶμεν τρεῖς τὰς ὑποστάσεις. Τοῦτο ἂς διδαχθοῦν ἀπὸ σὲ καὶ οἱ εἰς τὴν Ἀντιόχειαν ἀδελφοί, μολονότι ὁπωσδήποτε τὸ ἐδιδάχθησαν· διότι δὲν θὰ ἀπεφάσιζες τὴν πρὸς αὐτοὺς κοινωνίαν, ἂν δὲν εἶχες βεβαιωθῆ περὶ τούτου ἐκ μέρους των.

4. Τὸ δὲ ἔθνος τῶν Μαγουσαίων [7] — τὸ ὁποῖον ἠξίωσες διὰ τῆς ἄλλης ἐπιστολῆς νὰ ἐπισημάνωμεν — εἶναι πολὺ διεσπαρμένον ἐδῶ εἰς ὁλόκληρον τὴν χώραν, διότι εἰσῆλθαν παλαιὰ ἐδῶ ὡς ἄποικοι ἀπὸ τὴν Βαβυλωνίαν. Αὐτοὶ χρησιμοποιοῦν ἔθιμα ἰδιαίτερα καὶ δὲν ἀναμιγνύονται μὲ τοὺς ἄλλους ἀνθρώπους. Εἶναι δὲ ἐντελῶς ἀδύνατον νὰ συνομιλήσῃ κανεὶς μὲ αὐτούς, διότι εἶναι αἰχμαλωτισμένοι ἀπὸ τὸν διάβολον εἰς τὸ θέλημά του. Οὔτε βιβλία ὑπάρχουν εἰς αὐτοὺς οὔτε διδάσκαλοι δογμάτων, ἀλλὰ ἀνατρέφονται μὲ ἄλογα ἔθιμα διαδεχόμενοι τὴν ἀσέβειαν τὸ παιδὶ ἀπὸ τὸν πατέρα. Ἐκτὸς δὲ ἐκείνων τὰ ὁποῖα βλέπονται ἀπὸ ὅλους, ἀποφεύγουν τὴν σφαγὴν ὡς μίασμα, σφάζοντες τὰ ἀπαιτούμενα διὰ τὴν διατροφὴν των ζῷα μὲ ξένα χέρια, ἐπιδίδονται μὲ πάθος εἰς παρανόμους γάμους, θεωροῦν τὸ πῦρ θεὸν καὶ τὰ παρόμοια.

Τὰς δὲ γενεαλογίας των ἀπὸ τοῦ Ἀβραὰμ κανεὶς ἕως τώρα ἀπὸ τοὺς μάγους δὲν μᾶς τὰς ἐμυθολόγησεν, ἀλλ' ἀντιθέτως ὡς ἀρχηγὸν τοῦ γένους των μνημονεύουν κάποιον Ζαρνοῦαν. Διὰ τοῦτο δὲν ἠμπορῶ νὰ γράψω τίποτε περισσότερον περὶ αὐτῶν εἰς τὴν τιμιότητά σου.

238

260. ΟΠΤΙΜΩ ΕΠΙΣΚΟΠΩ

1. Καὶ ἄλλως ἡδέως ὁρῶν τοὺς ἀγαθοὺς παῖδας διά τε τὸ ὑπὲρ τὴν ἡλικίαν τῶν ἠθῶν εὐσταθὲς καὶ διὰ τὸ πρὸς τὴν σὴν εὐλάβειαν οἰκεῖον ἀφ' οὗ τι καὶ μέγα προσδοκᾶν ἐστιν ἐπ' αὐτοῖς, ἐπειδὴ μετὰ γραμμάτων σῶν εἶδον αὐτοὺς προσιόντας μοι, ἐδιπλασίασα τὸ ἐπ' αὐτοῖς φίλτρον. Ὅτε δὲ ἀνέγνων τὴν ἐπιστολὴν καὶ εἶδον ἐν αὐτῇ ὁμοῦ μὲν τὸ περὶ τὰς Ἐκκλησίας προνοητικὸν τῆς σῆς διαθέσεως, ὁμοῦ δὲ τὸ περὶ τὴν ἀνάγνωσιν τῶν θείων Γραφῶν ἐπιμελές, ηὐχαρίστησα τῷ Κυρίῳ καὶ ηὐξάμην τὰ ἀγαθὰ τοῖς τὰ τοιαῦτα ἡμῖν διακομίζουσι γράμματα καὶ πρό γε αὐτῶν αὐτῷ τῷ γράψαντι ἡμῖν.

2. Ἐπεζήτησας τὸ πολυθρύλητον ἐκεῖνο καὶ παρὰ πᾶσιν ἄνω καὶ κάτω περιφερόμενον ῥητόν, τίνα τὴν λύσιν ἔχει τὸ· «Πᾶς ὁ ἀποκτείνας Κάιν ἑπτὰ ἐκδικούμενα παραλύσει». Διὰ δὲ τούτου τέως μὲν αὐτὸς σεαυτὸν συνέστησας τὸ Τιμοθέου, ὃ παρέδωκε Παῦλος αὐτῷ, ἀκριβῶς φυλάττοντα (δῆλος γὰρ εἶ προσέχων τῇ ἀναγνώσει)· ἔπειτα καὶ ἡμᾶς τοὺς γέροντας καὶ νεαρκηκότας ἤδη καὶ τῷ χρόνῳ καὶ τῇ ἀσθενείᾳ τοῦ σώματος καὶ τῷ πλήθει τῶν θλίψεων αἳ πολλαὶ νῦν περὶ ἡμᾶς κινηθεῖσαι ἐβάρησαν ἡμῶν τὴν ζωήν, ὅμως διανέστησας καὶ ζέων τῷ πνεύματι κατεψυγμένους ἡμᾶς, ὡς τὰ φωλεύοντα τῶν ζῴων, εἰς ἐγρήγορσιν μετρίαν καὶ ζωτικὴν ἐνέργειαν ἐπανήγαγες. Ἔστι δ' οὖν τὸ ῥητὸν καὶ ἁπλῶς οὕτω νοηθῆναι δυνάμενον καὶ ποικίλον ὑποδέξασθαι λόγον. Ἡ

Ἐπιστολὴ 260. Ἐγράφη τὸ 377. Ὁ Ὄπτιμος, ἐπίσκοπος Ἀντιοχείας τῆς Πισιδίας, ἦτο ἕνας ἀπὸ τοὺς σπουδαίους ὀρθοδόξους ἱεράρχας τῆς ἐποχῆς ἐκείνης· φίλος τοῦ Γρηγορίου Θεολόγου καὶ τῆς Ὀλυμπιάδος.

1. Γέν. 4, 15.

238

ΕΠΙΣΤΟΛΗ 260
ΠΡΟΣ ΤΟΝ ΕΠΙΣΚΟΠΟΝ ΟΠΤΙΜΟΝ

1. Καὶ κατὰ τὰ ἄλλα βλέπω πάντοτε μ' εὐχαρίστησιν τὰ ἀγαθὰ παιδιά, διὰ τὴν σταθερότητα τῶν ἠθῶν ποὺ ὑπερβαίνει τὰ μέτρα τῆς ἡλικίας των καὶ διὰ τὴν οἰκειότητα πρὸς τὴν εὐλάβειάν σου, ἀπὸ τὴν ὁποίαν εἶναι δυνατὸν νὰ περιμένωμεν μεγάλα πράγματα ἀπὸ αὐτούς· ἀλλ' ὅταν τοὺς εἶδα νὰ μὲ πλησιάζουν μὲ γράμμα σου, ἐδιπλασίασα τὴν πρὸς αὐτοὺς ἀγάπην μου. Ὅταν δὲ ἀνέγνωσα τὴν ἐπιστολήν καὶ εἶδα εἰς αὐτὴν ἀφ' ἑνὸς μὲν τὴν προνοητικὴν διάθεσίν σου πρὸς τὰς Ἐκκλησίας, ἀφ' ἑτέρου δὲ τὴν ἐπιμέλειαν εἰς τὴν ἀνάγνωσιν τῶν θείων Γραφῶν, ηὐχαρίστησα τὸν Κύριον καὶ ηὐχήθην τὰ ἀγαθὰ εἰς αὐτοὺς ποὺ μᾶς φέρουν τέτοια γράμματα καὶ πρὶν ἀπὸ αὐτοὺς εἰς ἐκεῖνον ποὺ μᾶς ἔγραψεν.

2. Ἐζήτησες τὴν ἑρμηνείαν τοῦ πολυθρυλήτου ἐκείνου χωρίου ποὺ περιφέρεται ἀπὸ ὅλους ἄνω καὶ κάτω, τοῦ· «πᾶς ὁ ἀποκτείνας Κάιν ἑπτὰ ἐκδικούμενα παραλύσει»[1]. Μὲ αὐτὸ κατ' ἀρχὰς συνεστήθης εἰς ἡμᾶς ὡς ἀκριβὴς τηρητὴς τῆς παραγγελίας ποὺ ἔδωσεν ὁ Παῦλος εἰς τὸν Τιμόθεον [2] —διότι εἶναι φανερὸν ὅτι εἶσαι προσεκτικὸς εἰς τὴν ἀνάγνωσιν— ἔπειτα δὲ ἀνέστησες καὶ ἡμᾶς τοὺς γέροντας καὶ ναρκωμένους ἤδη ἀπὸ τὸν χρόνον καὶ τὴν ἀσθένειαν τοῦ σώματος καὶ τὸ πλῆθος τῶν θλίψεων ποὺ τώρα κινηθεῖσαι εἰς μεγάλον ἀριθμὸν ἐβάρυναν τὴν ζωήν μας, καὶ μὲ τὸ θερμόν σου πνεῦμα ἐπανέφερες ἡμᾶς τοὺς κατεψυγμένους σὰν τὰ ναρκωμένα εἰς τὴν φωλεάν των ζῷα, εἰς κάποιαν ἐγρήγορσιν καὶ εἰς ζωτικὴν ἐνέργειαν.

Εἶναι δὲ δυνατὸν καὶ μὲ ἐντελῶς ἁπλοῦν τρόπον νὰ νοηθῇ καὶ ἐπεξειργασμένην ἑρμηνείαν νὰ δεχθῇ. Ἡ δὲ ἁπλουστέρα

---

2. Α' Τιμ. 4, 13 «ἕως ἔρχομαι, πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ».

μὲν οὖν ἁπλουστέρα καὶ παντὶ δυναμένη ἐκ τοῦ προχείρου παραστῆναι διάνοια αὕτη ἐστίν, ὅτι δεῖ τὸν Κάιν ἑπταπλασίονα δοῦναι τὴν τιμωρίαν ὑπὲρ ὧν ἥμαρτεν. Οὐ γάρ ἐστι δικαίου κριτοῦ ἴσας πρὸς ἴσας ὁρίζειν τὰς ἀνταποδόσεις, ἀλλ' ἀνάγκη τὸν κατάρξαντα κακοῦ μετὰ προσθήκης ἀποτῖσαι τὰ ὀφειλόμενα, εἰ μέλλοι αὐτός τε βελτίων ταῖς τιμωρίαις γενήσεσθαι καὶ τοὺς λοιποὺς σωφρονεστέρους ποιεῖν τῷ ὑποδείγματι. Οὐκοῦν, ἐπειδὴ τέτακται ἑπτάκις ἀποπληρῶσαι τὴν δίκην τῶν ἡμαρτημένων τὸν Κάιν, παραλύσει, φησί, τοῦτο τὸ ὑπὸ τῆς θείας κρίσεως ἐπ' αὐτῷ δεδογμένον ὁ ἀποκτείνας αὐτόν. Οὗτός ἐστιν ὁ νοῦς ὁ ἐντεῦθεν ἀπὸ τῆς πρώτης ἀναγνώσεως ἡμῖν προσπίπτων.

3. Ἐπειδὴ δὲ ἐρευνᾶν πέφυκε τὰ βάθη τῶν φιλοπονωτέρων ἡ διάνοια, ἐπιζητεῖ τὸ δίκαιον πῶς ἐν τῷ ἑπτάκις ἀποπληροῦται καὶ τί τὰ ἐκδικούμενα, πότερον τὰ ἁμαρτηθέντα ἑπτά ἐστιν ἢ ἓν μὲν τὸ ἁμάρτημα, ἑπτὰ δὲ ἐπὶ τῷ ἑνὶ αἱ κολάσεις; Ἀεὶ μὲν οὖν ἡ Γραφὴ τὸν τῆς ἀφέσεως τῶν ἁμαρτημάτων ἀριθμὸν ἐν τοῖς ἑπτὰ περιορίζει. «Ποσάκις γάρ, φησίν, ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφὸς καὶ ἀφήσω αὐτῷ (ὁ Πέτρος ἐστὶ λέγων τῷ Κυρίῳ); Ἕως ἑπτάκις;». Εἶτα ἀπόκρισις τοῦ Κυρίου· «Οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηντάκις ἑπτά». Οὐ γὰρ ἐπ' ἄλλον ἀριθμὸν μετέβη ὁ Κύριος, ἀλλὰ τὸν ἑπτὰ πολυπλασιάσας ἐν αὐτῷ τὸν ὅρον ἔθετο τῆς ἀφέσεως. Καὶ δι' ἑπτὰ μὲν ἐτῶν ὁ Ἑβραῖος ἀπελύετο τῆς δουλείας. Ἑπτὰ δὲ ἑβδομάδες ἐτῶν τὸν ὀνομαστὸν ἰωβηλαῖον ἐποίουν ἐν τοῖς πάλαι, ἐν ᾧ ἐσαββάτιζε μὲν ἡ γῆ, χρεῶν δὲ ἦσαν ἀποκοπαί, δουλείας ἀπαλλαγὴ καὶ οἱονεὶ νέος ἄνωθεν καθίστατο βίος, ἐν τῷ ἑβδοματικῷ ἀριθμῷ τοῦ παλαιοῦ τρόπον τινὰ τὴν συντέλειαν δε-

3. Ματθ. 18, 21ἑ.
4. Δευτ. 15, 12.

ἔννοιά του, ποὺ ἠμπορεῖ νὰ παρουσιασθῇ προχείρως εἰς τὸν καθένα εἶναι αὐτή· ὅτι πρέπει ὁ Κάιν νὰ δώσῃ ἑπταπλασίαν τιμωρίαν δι' ὅσα ἡμάρτησε. Διότι δὲν εἶναι ἴδιον δικαίου κριτοῦ νὰ ὁρίζῃ τὰς ἀνταποδόσεις ἴσας πρὸς ἴσας, ἀλλ' εἶναι ἀνάγκη ἐκεῖνος ποὺ ἤρχισε πρῶτος τὸ κακὸν νὰ ἀποτίσῃ τὰ ὀφειλόμενα μαζὶ μὲ κάτι πρόσθετον, ἐὰν πρόκηται καὶ αὐτὸς νὰ γίνῃ καλύτερος μὲ τὰς τιμωρίας καὶ τοὺς ἄλλους νὰ καταστήσῃ σωφρονεστέρους μὲ τὸ παράδειγμα. Λοιπόν, ἐπειδὴ ὡρίσθη διὰ τὸν Κάιν νὰ πληρώσῃ ἑπτὰ φορὰς τὴν ποινὴν διὰ τὴν ἁμαρτίαν του, ἐκεῖνος ποὺ θὰ τὸν φονεύσῃ θὰ ἐξαφανίσῃ, λέγει, αὐτὴν τὴν καταδικαστικὴν ἀπόφασιν τῆς θείας κρίσεως. Αὐτὴ εἶναι ἡ ἔννοια ποὺ παρουσιάζεται εἰς τὴν σκέψιν μας ἀπὸ πρώτην ἀνάγνωσιν.

3. Ἐπειδὴ δὲ ἡ διάνοια τῶν φιλοπονωτέρων ἀναγνωστῶν ἔχει τὴν συνήθειαν νὰ ἐρευνᾷ τὰ βάθη, ζητεῖ νὰ μάθῃ πῶς ἱκανοποιεῖται τὸ δίκαιον εἰς τὸ «ἑπτάκις» καὶ τί εἶναι «τὰ ἐκδικούμενα», δηλαδὴ ἑπτὰ εἶναι αἱ ἁμαρτίαι ἢ ἕνα μὲν εἶναι τὸ ἁμάρτημα, ἑπτὰ δὲ αἱ τιμωρίαι διὰ τὸ ἕνα; Πάντοτε βεβαίως ἡ Γραφὴ καθορίζει εἰς ἑπτὰ τὸν ἀριθμὸν τῶν ἁμαρτημάτων. Οὕτω· «ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός καὶ ἀφήσω αὐτῷ; Ἕως ἑπτάκις;» λέγει ὁ Πέτρος πρὸς τὸν Κύριον. Ἔπειτα ἔρχεται ἡ ἀπόκρισις τοῦ Κυρίου· «Οὐ λέγω ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά» [3]. Οὕτω ὁ Κύριος δὲν μετέβη εἰς ἄλλον ἀριθμόν, ἀλλὰ ἔθεσε τὸ ὅριον τῆς ἀφέσεως εἰς τὸν ἀριθμὸν ποὺ προέκυψε διὰ τοῦ πολλαπλασιασμοῦ τοῦ ἑπτά. Ὁ Ἑβραῖος ἠλευθερώνετο ἀπὸ τὴν δουλείαν μετὰ ἑπτὰ ἔτη [4]. Ἑπτὰ δὲ ἑβδομάδες ἐτῶν ἔκαμαν τὸ ὀνομαστὸν ἰωβηλαῖον τὰ παλαιὰ χρόνια, κατὰ τὸ ὁποῖον ἡ γῆ ἔμενεν εἰς ἀγρανάπαυσιν, κατηργοῦντο τὰ χρέη, ἐγίνετο ἀπαλλαγὴ ἀπὸ τὴν δουλείαν [5] καὶ οὕτως εἰπεῖν ἐγκαθίστατο ἕνας νέος βίος ἀπὸ τὴν ἀρχήν, ἐνῷ ὁ παλαιὸς κατὰ κάποιον τρόπον ἐτερματίζετο εἰς τὸν ἑβδοματικὸν ἀριθμόν.

---

5. Λευϊτ. 25, 10.

χομένου. Ταῦτα δὲ τύποι τοῦ αἰῶνος τούτου ὃς διὰ τῶν ἑπτὰ ἡμερῶν ἀνακυκλούμενος ἡμᾶς παρατρέχει, ἐν ᾧ γίνονται αἱ τῶν μετριωτέρων ἁμαρτημάτων ἐκτίσεις, κατὰ τὴν φιλάνθρωπον ἐπιμέλειαν τοῦ ἀγαθοῦ Δεσπότου, ὡς μὴ τῷ ἀπεράντῳ αἰῶνι παραδοθῆναι ἡμᾶς εἰς κόλασιν. Τὸ μὲν οὖν ἑπτάκις διὰ τὴν πρὸς τὸν κόσμον τοῦτον συγγένειαν, ὡς τῶν φιλοκόσμων ἀνθρώπων ἀπ' αὐτῶν ὀφειλόντων μάλιστα ζημιοῦσθαι ὧν ἕνεκεν εἵλοντο πονηρεύεσθαι. Ἐκδικούμενα δέ, εἴτε τὰ παρὰ τῷ Κάιν ἡμαρτημένα λέγοις, εὑρήσεις ἑπτά· εἴτε τὰ παρὰ τοῦ κριτοῦ ἐπ' αὐτῷ ὁρισθέντα, καὶ οὕτως οὐκ ἀποτεύξει τῆς ἐννοίας. Ἐν μὲν οὖν τοῖς παρὰ τοῦ Κάιν τετολμημένοις πρῶτον ἁμάρτημα φθόνος ἐπὶ τῇ προτιμήσει τοῦ Ἄβελ· δεύτερον δόλος μεθ' οὗ διελέχθη τῷ ἀδελφῷ εἰπών· «Διέλθωμεν εἰς τὸ πεδίον»· τρίτον φόνος, προσθήκη τοῦ κακοῦ· τέταρτον ὅτι καὶ ἀδελφοῦ φόνος, μείζων ἡ ἐπίστασις· πέμπτον ὅτι καὶ πρῶτος φονεὺς ὁ Κάιν πονηρὸν ὑπόδειγμα τῷ βίῳ καταλιπών· ἕκτον ἀδίκημα ὅτι γονεῦσι πένθος ἐνεποίησεν· ἕβδομον ὅτι Θεὸν ἐψεύσατο· ἐρωτηθεὶς γὰρ «Ποῦ Ἄβελ ὁ ἀδελφός σου;» εἶπεν· «Οὐκ οἶδα». Ἑπτὰ οὖν τὰ ἐκδικούμενα παρελύετο ἐν τῷ ἀναιρεθῆναι τὸν Κάιν. Ἐπειδὴ γὰρ εἶπεν ὁ Κύριος ὅτι «Ἐπικατάρατος ἡ γῆ, ἣ ἔχανε δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου», καὶ «Στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς», ὁ Κάιν φησίν· «Εἰ ἐκβάλλεις με σήμερον ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι καὶ ἔσομαι στένων καὶ τρέμων ἐπὶ τῆς γῆς, καὶ πᾶς ὁ εὑρίσκων με ἀποκτενεῖ με». Πρὸς δὴ τοῦτο ὁ Κύριός φησιν· «Οὐχ οὕτω· πᾶς ὁ ἀποκτείνας Κάιν ἑπτὰ ἐκδικούμενα παραλύσει». Ἐπειδὴ γὰρ ἐνόμισεν εὐάλωτος εἶναι παντὶ ὁ Κάιν, διὰ τὸ τὴν ἐκ τῆς γῆς ἀσφάλειαν μὴ

6. Γέν. 4, 8.
7. Γέν. 4, 9.

Αὐτὰ δὲ εἶναι τύποι τοῦ παρόντος αἰῶνος, ὁ ὁποῖος μᾶς προσπερνᾷ ἐκτυλισσόμενος εἰς κύκλους ἑπτὰ ἡμερῶν καὶ εἰς τὸν ὁποῖον γίνονται αἱ πληρωμαὶ διὰ τὰ μετριώτερα ἁμαρτήματα, κατὰ τὴν φιλάνθρωπον ἐπιμέλειαν τοῦ ἀγαθοῦ Δεσπότου νὰ μὴ παραδοθῶμεν εἰς τὸν ἀπέραντον αἰῶνα πρὸς τιμωρίαν. Τὸ μὲν ἑπτάκις λοιπὸν χρησιμοποιεῖται λόγῳ τῆς συγγενείας τοῦ ἑπτὰ μὲ τὸν κόσμον τοῦτον, καθ' ὅσον οἱ φιλόκοσμοι ἄνθρωποι πρέπει νὰ τιμωρῶνται εἰδικῶς βάσει τῶν πραγμάτων χάριν τῶν ὁποίων ἐξέλεξαν τὴν πονηρίαν.

«Ἐκδικούμενα» δέ, ἐὰν εἴπῃς τὰ ἁμαρτήματα τοῦ Κάιν, θὰ εὕρῃς ἑπτά· ἐὰν θεωρήσῃς τὰ ὑπὸ τοῦ κριτοῦ εἰς βάρος του ὁρισθέντα, καὶ πάλιν δὲν θὰ ἀποτύχῃς τῆς ἐννοίας. Λοιπὸν μεταξὺ τῶν τολμημάτων τοῦ Κάιν πρῶτον ἁμάρτημα εἶναι ὁ φθόνος διὰ τὴν προτίμησιν τοῦ Ἄβελ· τὸ δεύτερον ὁ δόλος μὲ τὸν ὁποῖον συνεζήτησε πρὸς τὸν ἀδελφόν, εἰπών, «διέλθωμεν εἰς τὸ πεδίον»[6]· τρίτον ὁ φόνος, ἕνα πρόσθετον κακόν· τέταρτον τὸ ὅτι εἶναι ἀδελφοκτονία, ἡ μεγαλυτέρα παρανομία· πέμπτον ὅτι ὁ Κάιν ὑπῆρξεν ὁ πρῶτος εἰς τὴν ἱστορίαν φονεὺς καὶ ἄφησε παράδειγμα εἰς τὴν ἀνθρωπότητα· ἕκτον ἀδίκημα ὅτι ἐπροξένησε πένθος εἰς τοὺς γονεῖς· ἕβδομον ὅτι ἐψεύσθη εἰς τὸν Θεόν. Διότι ἐρωτηθείς, «ποῦ Ἄβελ ὁ ἀδελφός σου;» εἶπεν· «οὐκ οἶδα»[7]. Ἑπτὰ λοιπὸν ἀνομήματα πρὸς ἐξιλέωσιν κατηργήθησαν μὲ τὴν ἐκτέλεσιν τοῦ Κάιν. Ἐπειδὴ εἶπεν ὁ Κύριος ὅτι «ἐπικατάρατος εἶναι ἡ γῆ, ἡ ὁποία ἤνοιξε διὰ νὰ δεχθῇ τὸ αἷμα τοῦ ἀδελφοῦ σου» καί· «θὰ σύρεσαι εἰς τὴν γῆν στενάζων καὶ τρέμων»[8], ὁ Κάιν λέγει· «ἐὰν μὲ ἐκβάλῃς σήμερα ἀπὸ τὴν γῆν, θὰ κρυβῶ ἀπὸ τὴν ὄψιν σου καὶ θὰ εἶμαι στενάζων καὶ τρέμων ἐπὶ τῆς γῆς καὶ ὁποιοσδήποτε μὲ εὕρῃ θὰ μὲ φονεύσῃ»[9]. Εἰς αὐτὸ λοιπὸν λέγει ὁ Κύριος· «ὄχι οὕτως· ὅποιος φονεύσῃ τὸν Κάιν θὰ καταργήσῃ ἑπτὰ ἀνομήματα πρὸς ἐξιλέ-

8. Γέν. 4, 11 - 12.
9. Γέν. 4, 14.

ἔχειν (ἐπικατάρατος γὰρ ἡ γῆ ἀπ' αὐτοῦ) καὶ τῆς ἀπὸ Θεοῦ βοηθείας ἠρημῶσθαι, ὀργισθέντος αὐτῷ ἐπὶ τῷ φόνῳ ὡς οὔτε ἀπὸ γῆς οὔτε ἀπ' οὐρανοῦ ἀντιλήψεως αὐτῷ λειπομένης· «Ἔσται, φησί, πᾶς ὁ εὑρίσκων με ἀποκτενεῖ με». Ἐλέγχει αὐτοῦ τὸ σφάλμα ὁ λόγος λέγων· «Οὐχ οὕτω», τουτέστιν οὐκ ἀναιρεθήσῃ (κέρδος γὰρ τοῖς κολαζομένοις ὁ θάνατος ἀπαλλαγὴν φέρων τῶν λυπηρῶν), ἀλλὰ παραταθήσῃ τῷ βίῳ, ἵνα κατ' ἀξίαν τῶν ἡμαρτημένων ἀντιμετρηθῇ τὰ κολαστήρια. Ἐπειδὴ δὲ τὸ ἐκδικούμενον διχῶς νοεῖται, τότε ἁμαρτηθὲν ἐφ ᾧ ἡ ἐκδίκησις καὶ ὁ τρόπος τῆς κολάσεως δι' οὗ ἡ ἐκδίκησις, ἴδωμεν εἰ ἑπτὰ τρόποι βασανιστηρίων ἐπηνέχθησαν τῷ πονηρευσαμένῳ.

4. Τὰ μὲν οὖν ἑπτὰ ἁμαρτήματα τοῦ Κάιν ἐν τοῖς κατόπιν ὁ λόγος ἀπηριθμήσατο. Νῦν δὲ ζητοῦμεν εἰ ἑπτά ἐστιν αὐτῷ τὰ εἰς κόλασιν ἐπαγόμενα, καὶ φαμὲν οὕτως, μετὰ τὴν πεῦσιν τοῦ Κυρίου· «Ποῦ Ἄβελ ὁ ἀδελφός σου;» ἣν οὐχὶ μαθεῖν βουλόμενος, ἀλλὰ μετανοίας αὐτῷ ἀφορμὴν παρεχόμενος, ὁ φιλάνθρωπος Δεσπότης προσήγαγεν, ὡς δηλοῖ αὐτὰ τὰ ῥήματα. Ἀρνησαμένου γὰρ αὐτοῦ ταχὺν ποιεῖται τὸν ἔλεγχον εἰπών· «Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με». Ὥστε τὸ «Ποῦ Ἄβελ ὁ ἀδελφός σου;» ἐκείνῳ ἀφορμὴν ἐδίδου τῆς συναισθήσεως τοῦ ἡμαρτημένου, οὐ τῷ Θεῷ ἐγίνετο διδασκαλίας πρόξενον. Εἰ γὰρ μὴ ἔτυχεν ἐπισκοπῆς Θεοῦ, εἶχεν ἂν πρόφασιν ὡς ἐγκαταλελειμμένος καὶ οὐδεμίαν λαβὼν ἀφορμὴν εἰς μετάνοιαν. Νῦν δὲ ἐπεφάνη ὁ ἰατρός, ἵνα προσφύγῃ

10. Γέν. 4, 15.
11. Γέν. 4, 9.

ωσιν» [10]. Ἐπειδὴ δηλαδὴ ὁ Κάιν ἐνόμισεν ὅτι ἦτο εὐάλωτος εἰς τὸν καθένα, διότι δὲν εἶχε τὴν ἀσφάλειαν ἀπὸ τὴν γῆν —ἀφοῦ ἡ γῆ ἦτο ἐπικατάρατος ἐξ αἰτίας του— καὶ εἶχεν ἀποξενωθῆ τῆς ἐκ μέρους τοῦ Θεοῦ βοηθείας, ὁ ὁποῖος ὠργίσθη κατ' αὐτοῦ διὰ τὸν φόνον, καθὼς δὲν τοῦ ὑπελείπετο βοήθεια οὔτε ἀπὸ τὴν γῆν οὔτε ἀπὸ τὸν οὐρανόν, λέγει, «θὰ συμβῆ νὰ μὲ φονεύσῃ ὅποιος μὲ εὕρῃ». Ὁ λόγος ὅμως ἐλέγχει τὸ σφάλμα του λέγων· «ὄχι οὕτω», δηλαδὴ δὲν θ' ἀναιρεθῇς — διότι εἰς τοὺς τιμωρουμένους ὁ θάνατος εἶναι κέρδος, φέρων ἀπαλλαγὴν τῶν λυπηρῶν— , ἀλλὰ θὰ παραμείνῃς εἰς τὴν ζωήν, οὕτως ὥστε αἱ τιμωρίαι νὰ μετρηθοῦν ἀντιστοίχως πρὸς τὴν ἀξίαν τῶν ἁμαρτημάτων. Ἐπειδὴ δὲ τὸ «ἐκδικούμενον» νοεῖται διττῶς, ἀφ' ἑνὸς μὲν ὡς τὸ ἁμάρτημα διὰ τὸ ὁποῖον ἐπιβάλλεται ἡ καταδίκη, καὶ ὁ τρόπος τῆς τιμωρίας, διὰ τοῦ ὁποίου ἐκτελεῖται ἡ καταδίκη, ἂς ἴδωμεν ἐὰν ἐπεβλήθησαν ἑπτὰ τρόποι βασανιστηρίων εἰς τὸν πράξαντα πονηρά.

4. Καὶ τὰ μὲν ἑπτὰ ἁμαρτήματα τοὺ Κάιν ἀπηριθμήθησαν εἰς τὸ προηγούμενον τμῆμα τῆς ἐπιστολῆς. Τώρα δὲ ζητοῦμεν ἂν εἶναι ἑπτὰ τὰ ἐπιβληθέντα εἰς αὐτὸν πρὸς τιμωρίαν. Καὶ λέγομεν τὰ ἑξῆς διὰ τὰ μετὰ τὴν ἐρώτησιν τοῦ Κυρίου, «Ποῦ εἶναι Ἄβελ ὁ ἀδελφός σου;», τὴν ὁποίαν ὁ φιλάνθρωπος Δεσπότης προέβαλεν, ὄχι διότι ἤθελε νὰ μάθῃ, ἀλλὰ διὰ νὰ τοῦ προσφέρῃ ἀφορμὴν μετανοίας, καθὼς δηλώνουν τὰ ἴδια τὰ λόγια. Ὅταν δηλαδὴ αὐτὸς ἠρνήθη γνῶσιν τοῦ πράγματος [11], τὸν ἤλεγξε ταχέως λέγων, «φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με» [12]. Ὥστε τό· «Ποῦ εἶναι Ἄβελ ὁ ἀδελφός σου;» ἔδιδεν εἰς ἐκεῖνον ἀφορμὴν τῆς συναισθήσεως τῆς ἁμαρτίας, δὲν ἐπροκαλοῦσε προσφορὰν πληροφορίας εἰς τὸν Θεόν. Διότι ἐὰν δὲν εἶχε τύχει τῆς ἐπισκέψεως τοῦ Θεοῦ, θὰ ἠμποροῦσε νὰ ἔχῃ ὡς πρόφασιν ὅτι ἦτο ἐγκαταλελειμμένος καὶ δὲν εἶχε λάβει καμμίαν ἀφορμὴν πρὸς μετάνοιαν. Τώρα ὅμως παρουσιάσθη ὁ ἰατρός, διὰ νὰ καταφύγῃ εἰς αὐτὸν ὁ ἀσθενής. Ἐκεῖνος

12. Γέν. 4, 10.

αὐτῷ ὁ ἀσθενῶν. Ὁ δὲ οὐ μόνον κρύπτει τὸ ἕλκος, ἀλλὰ καὶ ἕτερον προσεξεργάζεται τῷ φόνῳ τὸ ψεῦδος ἐπισυνάπτων· «Οὐκ οἶδα. Μὴ φύλαξ εἰμὶ τοῦ ἀδελφοῦ μου ἐγώ;». Ἐντεῦθεν λοιπὸν ἀπαριθμεῖ τὰς τιμωρίας. «Ἐπικατάρατος ἡ γῆ ἀπὸ σοῦ». Μία κόλασις. «Ἐργᾷ τὴν γῆν». Δευτέρα αὕτη. Ἀνάγκη γάρ τις ἄρρητος αὐτῷ συνέζευκτο πρὸς τὸ ἔργον τῆς γῆς αὐτὸν κατεπείγουσα, ὥστε μηδὲ βουλομένῳ ἐξεῖναι ἀναπαύεσθαι, ἀλλ' ἀεὶ αὐτὸν προσταλαιπωρεῖσθαι τῇ ἐχθρᾷ αὐτοῦ γῇ ἣν ἐπικατάρατον ἑαυτῷ ἐποίησε μιάνας ἀδελφικῷ αἵματι. «Ἐργᾷ οὖν τὴν γῆν». Δεινὴ τιμωρία· ἡ μετὰ τῶν μισούντων διαγωγή, σύνοικον ἔχειν πολέμιον, ἄπαυστον ἐχθρόν. «Ἐργᾷ τὴν γῆν», τουτέστι, κατατεινόμενος τοῖς ἔργοις τοῖς γεηπονικοῖς οὐδένα χρόνον ἀνήσεις, οὔτε νυκτὸς οὔτε ἡμέρας ἐκλυόμενος ἐκ τῶν πόνων, ἀλλὰ δεσπότου τινὸς πικροῦ χαλεπωτέραν ἔχων τὴν ἄρρητον ἀνάγκην ἐπὶ τὰ ἔργα σε διεγείρουσαν. «Καὶ οὐ προσθήσει δοῦναι τὴν ἰσχὺν αὐτῆς». Καίτοι εἰ καὶ τὸ τῆς ἐργασίας ἄπαυστον εἶχέ τινα καρπόν, αὐτὸς ὁ πόνος οὐ μετρία βάσανος τῷ ἀεὶ κατατεινομένῳ καὶ κοπιῶντι. Ἐπειδὴ δὲ καὶ ἐργασία ἄπαυστος καὶ ἄκαρπος ἡ περὶ γῆν ταλαιπωρία (οὐ γὰρ ἐδίδου τὴν ἰσχύν), τρίτη αὕτη ἐστὶ τιμωρία, ἡ ἀκαρπία τῶν πόνων. «Στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς». Δύο προσέθηκεν ἄλλας ταῖς τρισί· στεναγμὸν διηνεκῆ καὶ τρόμον τοῦ σώματος, τὸν ἐκ τῆς ἰσχύος στηριγμὸν τῶν μελῶν οὐκ ἐχόντων. Ἐπειδὴ γὰρ κακῶς ἐχρήσατο τῇ δυνάμει τοῦ σώματος, ὑφῃρέθη αὐτοῦ ὁ τόνος, ὥστε κλονεῖσθαι αὐτὸν καὶ κατασείεσθαι, οὔτε ἄρτον ῥᾳδίως δυνάμενον προσφέρειν τῷ στόματι οὔτε ποτὸν προσκομίζειν, τῆς πονηρᾶς χειρὸς μετὰ τὴν ἀνοσίαν πρᾶξιν οὐδὲ ταῖς ἰδίαις καὶ ἀναγ-

13. Γέν. 4, 9.
14. Γέν. 4, 11.

δὲ ὄχι μόνον κρύπτει τὸ ἕλκος, ἀλλὰ ἐπεξεργάζεται καὶ ἄλλο, προσθέτων εἰς τὸν φόνον τὸ ψεῦδος. «Οὐκ οἶδα. Μὴ φύλαξ εἰμὶ τοῦ ἀδελφοῦ μου ἐγώ;» [13].

Ἀπὸ τὸ σημεῖον αὐτὸ λοιπὸν ἀπαρίθμησε τὰς τιμωρίας. «Ἐπικατάρατος ἡ γῆ ἀπὸ σοῦ» [14], μία τιμωρία. «Ἐργᾷ τὴν γῆν» [15], δευτέρα αὐτή. Διότι ἔχει ζευχθῆ εἰς αὐτὸν κάποια μυστικὴ ἀνάγκη ποὺ τὸν πιέζει νὰ ἐργάζεται τὴν γῆν, ὥστε καὶ ὅταν θέλῃ νὰ μὴ ἠμπορῇ νὰ ἀναπαύεται, ἀλλὰ νὰ ὁδηγῆται εἰς ταλαιπωρίας ἀπὸ τὴν ἐχθράν του γῆν, τὴν ὁποίαν ἔκαμεν ἐπικατάρατον δι' ἑαυτόν, διότι τὴν ἐμίανε μὲ ἀδελφικὸν αἷμα. «Θὰ ἐργάζεσαι λοιπὸν τὴν γῆν». Δεινὴ τιμωρία, τὸ νὰ διέρχεσαι τὴν ζωὴν μαζὶ μὲ τοὺς μισοῦντάς σε, νὰ ἔχῃς συγκάτοικον ἕνα πολέμιον, ἕνα ἄπαυστον ἐχθρόν. «Θὰ ἐργάζεσαι τὴν γῆν», δηλαδὴ καταπονούμενος εἰς τὰ γεωπονικὰ ἔργα δὲν θὰ ἀναπαυθῇς ποτὲ καὶ δὲν θὰ ἀπαλλαγῇς ἀπὸ τοὺς κόπους οὔτε νύκτα οὔτε ἡμέραν, ἀλλὰ θὰ ἔχῃς σκληροτέραν ἀπὸ πικρὸν αὐθέντην τὴν ἄρρητον ἀνάγκην νὰ σὲ διεγείρῃ πρὸς τὰ ἔργα. «Καὶ δὲν θὰ συνεχίσῃ νὰ δίδῃ τὴν ἰσχύν της» [16].

Καὶ ἐὰν δὲ ἡ ἀκατάπαυστος ἐργασία εἶχε κάποιον καρπόν, αὐτὸς ὁ ἴδιος ὁ κόπος δὲν ἦτο μικρὰ βάσανος διὰ τὸν πάντοτε προσπαθοῦντα καὶ κοπιάζοντα. Ἐπειδὴ δὲ ἡ ταλαιπωρία εἰς τὴν γῆν ἦτο ἄπαυστος καὶ ἄκαρπος —ἀφοῦ δὲν ἔδιδε ἰσχύν—, αὐτὸ εἶναι τρίτη τιμωρία, ἡ ἀκαρπία τῶν κόπων. «Θὰ εἶσαι στενάζων καὶ τρέμων ἐπάνω εἰς τὴν γῆν» [17]. Προσέθεσε δύο ἀκόμη εἰς τὰς ἄλλας τρεῖς· συνεχῆ στεναγμὸν καὶ τρόμον τοῦ σώματος, ἀφοῦ τὰ μέλη δὲν εἶχαν τὸν στηριγμὸν ποὺ προέρχεται ἀπὸ τὴν ἰσχύν. Ἐπειδὴ δηλαδὴ ἐχρησιμοποίησε κακῶς τὴν δύναμιν τοῦ σώματος, τοῦ ἀφῃρέθη ὁ τόνος ὥστε νὰ κλονίζεται καὶ νὰ σείεται, μὴ δυνάμενος οὔτε ἄρτον νὰ προσφέρῃ εὔκολα εἰς τὸ στόμα οὔτε ποτὸν νὰ προσκομίζῃ· τὸ πονηρὸν χέρι μετὰ τὴν ἀνοσίαν πρᾶξιν δὲν ἀφήνεται νὰ ἐξυπηρετῇ οὔτε εἰς τὰς

15. Γέν. 4, 12.
16. Γέν. 4, 12.
17. Γέν. 4, 12.

καίαις τοῦ σώματος χρείαις λοιπὸν ὑπηρετεῖσθαι συγχωρουμένης. Ἄλλη τιμωρία ἦν αὐτὸς ἀπεκάλυψεν ὁ Κάιν εἰπών· «Εἰ ἐκβάλλεις με νῦν ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι». Τί ἐστι τό· «Εἰ ἐκβάλλεις με ἀπὸ τῆς γῆς»; Τουτέστιν εἰ χωρίζεις με τῆς ἀπ' αὐτῆς ὠφελείας. Οὐ γὰρ μετετίθετο ἐφ' ἕτερον τόπον, ἀλλ' ἠλλοτριοῦτο τῶν ἐπ' αὐτῆς καλῶν. «Καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι». Ἡ βαρυτάτη κόλασις τοῖς σωφρονοῦσιν, ὁ ἀπὸ Θεοῦ χωρισμός. «Καὶ ἔσται, φησί, πᾶς ὁ εὑρίσκων με ἀποκτενεῖ με». Εἰκάζει ἐκ τοῦ ἀκολούθου τῶν προαγόντων. Εἰ ἀπὸ τῆς γῆς ἐκβέβλημαι, εἰ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, λείπεται ἀπὸ παντὸς ἀναιρεῖσθαι. Τί οὖν ὁ Κύριος; «Οὐχ οὕτως». Ἀλλ' ἔθετο σημεῖον ἐπ' αὐτόν. Ἑβδόμη αὕτη τιμωρία, τὸ μηδὲ κρύπτεσθαι τὴν τιμωρίαν, ἀλλὰ σημείῳ προδήλῳ πᾶσι προκεκηρύχθαι ὅτι οὗτός ἐστιν ὁ τῶν ἀνοσίων ἔργων δημιουργός. Καὶ γὰρ ὀρθῶς λογιζομένῳ βαρυτάτη κολάσεων ἡ αἰσχύνη, ἣν καὶ περὶ τῆς κρίσεως μεμαθήκαμεν, ὅτι οὗτοι ἀναστήσονται εἰς ζωὴν αἰώνιον καὶ οὗτοι εἰς αἰσχύνην καὶ ὀνειδισμὸν αἰώνιον.

5. Ἀκολουθεῖ τούτῳ ζήτημα συγγενές, τὸ παρὰ τοῦ Λάμεχ ταῖς γυναιξὶν εἰρημένον· «Ὅτι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα καὶ νεανίσκον εἰς μώλωπά μοι· ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Κάιν, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά». Καὶ νομίζουσί τινες ὑπὸ τοῦ Λάμεχ ἀνηρῆσθαι τὸν Κάιν, ὡς μέχρι τῆς γενεᾶς ἐκείνης διαρκέσαντος αὐτοῦ ἐπὶ τῷ μακροτέραν δοῦναι τὴν τιμωρίαν. Ἔστι δὲ οὐκ ἀληθές. Δύο γὰρ φαίνεται φόνους πεποιηκώς, ἐξ ὧν αὐτὸς διηγεῖται. «Ἄνδρα ἀπέκτεινα καὶ νεανίσκον»· τὸν ἄνδρα εἰς τραῦμα καὶ νεανίσκον εἰς μώλωπα. Ἄλλο οὖν τραῦμα καὶ ἄλλο μώλωψ. Καὶ ἄλλο ἀνὴρ καὶ ἄλλο νεανίσκος. «Ὅτι ἐκ Κάιν ἐκδεδίκηται ἑπτάκις,

18. Δαν. 12, 2.

ἰδιαιτέρας καὶ ἀπαραιτήτους χρείας τοῦ σώματος. Ἄλλη τιμωρία εἶναι αὐτὴ τὴν ὁποίαν ἐφανέρωσεν ὁ Κάιν εἰπών, «ἐὰν μὲ ἐκβάλῃς τώρα ἀπὸ τὴν γῆν, θὰ κρυβῶ ἀπὸ τὴν ὄψιν σου». Τί σημαίνει τό, «ἐὰν μὲ ἐκβάλῃς ἀπὸ τὴν γῆν»; Σημαίνει· «ἐὰν μὲ χωρίσῃς τῆς ἀπ' αὐτῆς ὠφελείας». Διότι δὲν μετετίθετο εἰς ἄλλον τόπον ἀλλ' ἀπεξενώνετο τῶν ἀγαθῶν ποὺ εἶναι εἰς αὐτήν. «Καὶ θὰ κρυβῶ ἀπὸ τὴν ὄψιν σου». Ἡ βαρυτάτη τιμωρία διὰ τοὺς σώφρονας εἶναι ὁ χωρισμὸς ἀπὸ τὸν Θεόν. «Καὶ θὰ συμβῇ ὥστε ὅποιος μὲ εὕρῃ θὰ μὲ φονεύσῃ». Εἰκάζει ἀπὸ τὰς συνεπείας τῶν προηγηθέντων. Ἐὰν ἐκβληθῶ ἀπὸ τὴν γῆν, ἐὰν κρυβῶ ἀπὸ τὴν ὄψιν σου, ὑπολείπεται νὰ φονευθῶ ἀπὸ τὸν πρῶτον τυχόντα. Τί λέγει λοιπὸν ὁ Κύριος; «Ὄχι οὕτω». Καὶ ἔθεσεν εἰς τὸν Κάιν ἕνα σημεῖον. Αὐτὴ εἶναι ἑβδόμη τιμωρία, τὸ νὰ μὴ κρύπτεται κἂν ἡ τιμωρία, ἀλλὰ νὰ διακηρύσσεται εἰς ὅλους μὲ ἕνα φανερὸν σημεῖον, ὅτι αὐτὸς εἶναι ὁ δημιουργὸς τῶν ἀνοσίων ἔργων. Ἡ ἐντροπὴ εἶναι ἡ βαρυτάτη τιμωρία διὰ τὸν λογικῶς σκεπτόμενον, ὅπως ἐμάθαμεν περὶ τῆς κρίσεως, ὅτι οὗτοι θὰ ἀναστηθοῦν εἰς ζωὴν αἰώνιον καὶ οὗτοι εἰς αἰσχύνην καὶ ὀνειδισμὸν αἰώνιον[18].

5. Ἀκολουθεῖ ἕνα συγγενὲς μὲ αὐτὸ ζήτημα, τὸ λεχθὲν ἀπὸ τὸν Λάμεχ εἰς τὰς γυναῖκας· «ὅτι ἐφόνευσα ἕνα ἄνδρα διὰ τὸ τραῦμά μου καὶ ἕνα νεανίσκον διὰ τὸν μώλωπά μου. Ὅτι διὰ τὸν Κάιν ἐλήφθη ἑπταπλασία τιμωρία, διὰ δὲ τὸν Λάμεχ ἑβδομήντα φορὰς ἑπταπλῆ»[19]. Καὶ μερικοὶ νομίζουν ὅτι ὁ Κάιν ἐφονεύθη ἀπὸ τὸν Λάμεχ, ὡσὰν νὰ εἶχε ἐπιζήσει μέχρι τῆς γενεᾶς ἐκείνης διὰ νὰ ὑποστῇ μακροτέραν τιμωρίαν. Δὲν εἶναι ὅμως ἀληθές. Διότι ἀπὸ ὅσα διηγεῖται ὁ ἴδιος φαίνεται ὅτι ἔκαμε δύο φόνους. «Ἄνδρα ἀπέκτεινα καὶ νεανίσκον»· τὸν ἄνδρα διὰ τὸ τραῦμα καὶ τὸν νεανίσκον διὰ τὸν μώλωπα. Ἄλλο λοιπὸν τὸ τραῦμα καὶ ἄλλο ὁ μώλωψ. Καὶ ἄλλο ἀνὴρ καὶ ἄλλο νεανίσκος. «Ὅτι διὰ τὸν Κάιν ἐλήφθη ἑπταπλασία τιμωρία, διὰ

19. Γέν. 4, 23ε.

ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά». Τετρακοσίας καὶ ἐνενήκοντα τιμωρίας ὑποσχεῖν εἰμι δίκαιος, εἴπερ δικαία ἡ τοῦ Θεοῦ κρίσις ἐπὶ τῷ Κάιν, ὥστε ἑπτὰ αὐτὸν παρασχεῖν τὰς κολάσεις. Ὁ μὲν γὰρ ὥσπερ οὐκ ἔμαθε παρ' ἄλλου τὸ φονεύειν οὕτως οὐδὲ εἶδε τιμωρίαν ὑπέχοντα φονευτήν. Ἐγὼ δὲ ἐν ὀφθαλμοῖς ἔχων τὸν στένοντα καὶ τρέμοντα καὶ τὸ μέγεθος τῆς ὀργῆς τοῦ Θεοῦ οὐκ ἐσωφρονίσθην τῷ ὑποδείγματι. Ὅθεν ἄξιός εἰμι τετρακοσίας καὶ ἐνενήκοντα δοῦναι κολάσεις. Ἔνιοι δὲ πρὸς τοιοῦτον ὥρμησαν λόγον οὐκ ἀπάδοντα τοῦ ἐκκλησιαστικοῦ δόγματος· ὅτι ἀπὸ τοῦ Κάιν ἕως τοῦ κατακλυσμοῦ ἑπτὰ παρεληλύθασι γενεαί, καὶ εὐθέως ἐπήχθη πάσῃ τῇ γῇ τιμωρία διὰ τὸ πολλὴν γενέσθαι χύσιν τῆς ἁμαρτίας. Τὸ δὲ ἁμάρτημα τοῦ Λάμεχ οὐ κατακλυσμοῦ δεῖται πρὸς θεραπείαν, ἀλλ' αὐτοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου. Ἀρίθμησον τοίνυν ἀπὸ Ἀδὰμ μέχρι τῆς παρουσίας τοῦ Χριστοῦ τὰς γενεὰς καὶ εὑρήσεις, κατὰ τὴν τοῦ Λουκᾶ γενεαλογίαν, τῇ ἑβδομηκοστῇ καὶ ἑβδόμῃ διαδοχῇ γεγεννημένον τὸν Κύριον.

Ταῦτα μὲν οὖν εἰς δύναμιν ἐξητάσθη πολλῶν τῶν ἐνόντων ἐξετασθῆναι παρεθέντων, ἵνα μὴ ἔξω τοῦ μέτρου τῆς ἐπιστολῆς τὸν λόγον προαγάγωμεν· ἀρκεῖ δὲ τῇ συνέσει σου καὶ τὰ βραχέα σπέρματα. «Λίδου γάρ, φησί, τῷ σοφῷ ἀφορμὴν καὶ σοφώτερος ἔσται», καί· «Λόγον δεξάμενος σοφὸς αἰνέσει αὐτὸν καὶ ἐπ' αὐτὸν προσθήσει».

6. Τὰ δὲ τοῦ Συμεὼν ῥήματα πρὸς τὴν Μαρίαν οὐδὲν ἔχει ποικίλον οὐδὲ βαθύ. «Εὐλόγησε γὰρ αὐτοὺς Συμεὼν καὶ εἶπε πρὸς Μαρίαν τὴν μητέρα αὐτοῦ· Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ καὶ εἰς σημεῖον ἀντιλεγόμενον. Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀπο-

---

20. Ἐγώ, δηλαδὴ ὁ Λάμεχ.

δὲ τὸν Λάμεχ ἑβδομήντα φορὰς ἑπταπλασία». Εἶναι δίκαιον νὰ ὑποστῶ τετρακοσίας ἐνενήντα τιμωρίας, ἐὰν εἶναι δικαία ἡ κρίσις τοῦ Θεοῦ διὰ τὸν Κάιν περὶ ὑποβολῆς του εἰς ἑπτὰ τιμωρίας. Διότι ἐκεῖνος μέν, ὅπως δὲν ἔμαθεν ἀπὸ ἄλλους τὸ φονεύειν, οὕτω δὲν εἶδε φονευτὴν νὰ ὑφίσταται τιμωρίαν. Ἐγὼ [20] δέ, ἔχων πρὸ τῶν ὀφθαλμῶν μου τὸν στενάζοντα καὶ τρέμοντα καὶ τὸ μέγεθος τῆς ὀργῆς τοῦ Θεοῦ, δὲν ἐσωφρονίσθην ἀπὸ τὸ παράδειγμα. Ἑπομένως εἶμαι ἄξιος νὰ ὑποστῶ τετρακοσίας ἐνενήντα τιμωρίας.

Μερικοὶ ὅμως ἔφθασαν εἰς τὴν ἑξῆς ἔννοιαν ποὺ δὲν ἀπᾴδει πρὸς τὸ ἐκκλησιαστικὸν δόγμα· ὅτι ἀπὸ τὸν Κάιν μέχρι τοῦ κατακλυσμοῦ ἐπέρασαν ἑπτὰ γενεαί, καὶ ἀμέσως ἐπεβλήθη εἰς ὅλην τὴν γῆν τιμωρία διὰ τὸ ὅτι εἶχε διαδοθῆ πολὺ ἡ ἁμαρτία. Τὸ δὲ ἁμάρτημα τοῦ Λάμεχ δὲν χρειάζεται κατακλυσμὸν πρὸς θεραπείαν, ἀλλ' αὐτὸν τοῦτον τὸν αἴροντα τὴν ἁμαρτίαν [21]. Ἀρίθμησε λοιπὸν ἀπὸ τὸν Ἀδὰμ μέχρι τῆς παρουσίας τοῦ Χριστοῦ τὰς γενεὰς καί, σύμφωνα μὲ τὴν γενεαλογίαν τοῦ Λουκᾶ, θὰ εὕρῃς ὅτι ὁ Κύριος ἐγεννήθη κατὰ τὴν ἑβδομηκοστὴν ἑβδόμην διαδοχήν.

Ταῦτα βεβαίως ἐξητάσθησαν κατὰ δύναμιν, ἂν καὶ πολλὰ ἀπὸ τὰ ὑπὸ ἐξέτασιν σημεῖα παρελείφθησαν, διὰ νὰ μὴ ἐπεκτείνωμεν τὸν λόγον ἔξω τῶν μέτρων τῆς ἐπιστολῆς. Ἀρκοῦν δὲ εἰς τὴν σύνεσίν σου καὶ τὰ σύντομα σπέρματα. Διότι, λέγει, «δίδου τῷ σοφῷ ἀφορμὴν καὶ σοφώτερος ἔσται» [22] καὶ «σοφὸς δεξάμενος λόγον, θὰ αἰνέσῃ αὐτὸν καὶ θὰ ἐπαυξήσῃ αὐτόν» [23].

6. Οἱ δὲ λόγοι τοῦ Συμεὼν πρὸς τὴν Μαρίαν δὲν ἔχουν τίποτε τὸ πολύπλοκον ἢ σκοτεινόν. «Εὐλόγησεν αὐτοὺς Συμεὼν καὶ εἶπε πρὸς Μαρίαν τὴν μητέρα αὐτοῦ· «Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ καὶ εἰς σημεῖον ἀντιλεγόμενον. Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται

21. Ἰω. 1, 29.
22. Παροιμ. 9, 9.
23. Σειρὰχ 21, 15.

καλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί». Ἐν οἷς ἐκεῖνο ἐθαύμασα πῶς τὰ προάγοντα ὡς σαφῆ παρελθὼν ἐν τοῦτο ἐπεζήτησας τό· «Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία». Καίτοι ἐμοὶ οὐχ ἧττον φαίνεται ἄπορον πῶς ὁ αὐτὸς εἰς πτῶσιν κεῖται καὶ ἀνάστασιν καὶ τί τὸ σημεῖον τὸ ἀντιλεγόμενον, καὶ τρίτον, πῶς τῆς Μαρίας τὴν ψυχὴν διελεύσεται ῥομφαία.

7. Ἡγοῦμαι τοίνυν εἰς πτῶσιν καὶ ἀνάστασιν εἶναι τὸν Κύριον οὐκ ἄλλων πιπτόντων καὶ ἄλλων ἀνισταμένων, ἀλλ' αὐτοῦ τοῦ ἐν ἡμῖν χείρονος καταπίπτοντος καὶ τοῦ βελτίονος διανισταμένου. Καθαιρετικὴ μὲν γὰρ τῶν σωματικῶν παθῶν ἐστιν ἡ τοῦ Κυρίου ἐπιφάνεια, διεγερτικὴ δὲ τῶν τῆς ψυχῆς ἰδιωμάτων. Ὡς ὅταν λέγῃ ὁ Παῦλος, «Ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι», ὁ αὐτὸς καὶ ἀσθενεῖ καὶ δύναται, ἀλλ' ἀσθενεῖ μὲν τῇ σαρκί, δυνατὸς δέ ἐστι τῷ πνεύματι, οὕτω καὶ ὁ Κύριος οὐχὶ τοῖς μὲν τοῦ πίπτειν τὰς ἀφορμὰς παρέχει, τοῖς δὲ τοῦ ἀνίστασθαι. Οἱ γὰρ πίπτοντες ἀπὸ τῆς στάσεως ἐν ᾗ ποτε ἦσαν καταπίπτουσι δηλονότι. Οὐδέποτε δὲ εἱστήκει ὁ ἄπιστος ἀεὶ χαμαὶ συρόμενος μετὰ τοῦ ὄφεως. Οὐκ ἔχει οὖν ὅθεν πέσῃ διὰ τὸ καταβεβλῆσθαι τῇ ἀπιστίᾳ. Ὥστε πρώτη εὐεργεσία, τὸν στήκοντα τῇ ἁμαρτίᾳ πεσεῖν καὶ ἀποθανεῖν, εἶτα ζῆσαι τῇ δικαιοσύνῃ καὶ ἀναστῆναι τῆς εἰς Χριστὸν πίστεως ἑκάτερον ἡμῖν χαριζομένης. Πιπτέτω τὰ χείρονα, ἵνα λάβῃ καιρὸν τὰ βελτίω εἰς τὴν ἀνάστασιν. Ἐὰν μὴ πέσῃ ἡ πορνεία, ἡ σωφροσύνη οὐκ ἀνίσταται. Ἐὰν μὴ ἡ ἀλογία συντριβῇ, τὸ λογικὸν τὸ ἐν ἡμῖν οὐκ ἀνθήσει. Οὕτως οὖν «Εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν».

8. «Εἰς δὲ σημεῖον ἀντιλεγόμενον». Κυρίως σημεῖον ἔγνωμεν παρὰ τῇ Γραφῇ τὸν σταυρὸν εἰρημένον. Ἔθηκε γὰρ Μωσῆς, φησί, τὸν ὄφιν ἐπὶ σημείου, τουτέστιν ἐπὶ σταυροῦ, ὃ σημεῖόν

ρομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί»[24]. Ἐκεῖνο δὲ ἐθαύμασα εἰς αὐτά, πῶς, παραμερίσας τὰ προηγούμενα ὡς σαφῆ, ἕνα μόνον ἐζήτησες, τὸ «καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ρομφαία». Εἰς ἐμὲ ὅμως δὲν φαίνεται ὀλιγώτερον ἄξιον ἀπορίας, πῶς ὁ ἴδιος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν, καὶ τί εἶναι τὸ ἀντιλεγόμενον σημεῖον, καὶ τρίτον πῶς θὰ διέλθῃ ρομφαία τὴν ψυχὴν τῆς Μαρίας.

7. Νομίζω λοιπὸν ὅτι ὁ Κύριος εἶναι εἰς πτῶσιν καὶ ἀνάστασιν ὄχι ὑπὸ τὴν ἔννοιαν ὅτι ἄλλοι πίπτουν καὶ ἄλλοι ἀνίστανται, ἀλλ' ὑπὸ τὴν ἔννοιαν τῆς καταπτώσεως τοῦ ἐντός μας χειροτέρου στοιχείου καὶ τῆς ἀναστάσεως τοῦ καλυτέρου. Διότι ἡ ἐνανθρώπησις τοῦ Κυρίου εἶναι καθαιρετικὴ τῶν σωματικῶν παθῶν καὶ διεγερτικὴ τῶν ἰδιωμάτων τῆς ψυχῆς. Ὅπως ὅταν λέγῃ ὁ Παῦλος, «ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι», ὁ ἴδιος καὶ ἀσθενεῖ καὶ εἶναι δυνατός, ἀλλὰ ἀσθενεῖ μὲν κατὰ τὴν σάρκα, δυνατὸς δὲ εἶναι κατὰ τὸ πνεῦμα, οὕτω καὶ ὁ Κύριος δὲν παρέχει τὰς ἀφορμὰς εἰς ἄλλους μὲν νὰ πίπτουν, εἰς ἄλλους δὲ νὰ ἀνίστανται. Διότι οἱ πίπτοντες εἶναι φανερὸν ὅτι καταπίπτουν ἀπὸ τὴν στάσιν εἰς τὴν ὁποίαν κάποτε ἦσαν. Ποτὲ δὲ δὲν ἵσταται ὁ ἄπιστος ποὺ σύρεται πάντοτε κάτω μαζὶ μὲ τὸν ὄφιν. Δὲν ἔχει λοιπὸν ἀπὸ ποῦ νὰ πέσῃ καθ' ὅσον ἔχει καταβληθῆ ἀπὸ τὴν ἀπιστίαν. Ὥστε πρώτη εὐεργεσία εἶναι, ὁ ἱστάμενος νὰ πέσῃ λόγῳ τῆς ἁμαρτίας καὶ νὰ ἀποθάνῃ, ἔπειτα δὲ νὰ ζήσῃ ἐν δικαιοσύνῃ καὶ νὰ ἀναστηθῇ καθὼς ἡ εἰς Χριστὸν πίστις μᾶς χαρίζει καὶ τὰ δύο. Ἂς πίπτουν τὰ χειρότερα, διὰ νὰ λάβουν εὐκαιρίαν νὰ ἀναστηθοῦν τὰ καλύτερα. Ἐὰν δὲν πέσῃ ἡ πορνεία, δὲν ἀνίσταται ἡ σωφροσύνη. Ἐὰν δὲν συντριβῇ ἡ ἀλογία, τὸ ἐντὸς ἡμῶν λογικὸν δὲν θὰ ἀνθήσῃ. Οὕτω λοιπόν, «εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν».

8. «Εἰς δὲ σημεῖον ἀντιλεγόμενον». Εἰς τὴν Γραφὴν ὡς κυρίως σημεῖον γνωρίζομεν νὰ λέγεται ὁ σταυρός. Ὁ Μωυσῆς λέγει, ἐτοποθέτησε τὸν ὄφιν ἐπὶ σημείου, δηλαδὴ ἐπὶ τοῦ σταυ-

24. Λουκ. 2, 34 - 35.

ἐστι παραδόξου τινὸς καὶ ἀφανοῦς πράγματος ἐνδεικτικόν, ὁρώμενον μὲν παρ' αὐτῶν, νοούμενον δὲ παρὰ τῶν ἐντρεχῶν τὴν διάνοιαν. Ἐπεὶ οὖν οὐ παύονται ζυγομαχοῦντες περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου, οἱ μὲν ἀνειληφέναι σῶμα, οἱ δὲ ἀσώματον αὐτοῦ τὴν ἐπιδημίαν γεγενῆσθαι διοριζόμενοι, καὶ οἱ μὲν παθητὸν ἐσχηκέναι τὸ σῶμα, οἱ δὲ φαντασίᾳ τινὶ τὴν διὰ σώματος οἰκονομίαν πληροῦν, καὶ ἄλλοι χοϊκόν, ἄλλοι δὲ ἐπουράνιον σῶμα, καὶ οἱ μὲν προαιώνιον τὴν ὕπαρξιν, οἱ δὲ ἀπὸ Μαρίας τὴν ἀρχὴν ἐσχηκέναι, διὰ τοῦτο «Εἰς σημεῖον ἀντιλεγόμενον».

9. Ῥομφαίαν δὲ λέγει τὸν λόγον τὸν πειραστικόν, τὸν κριτικὸν τῶν ἐνθυμήσεων, τὸν διικνούμενον ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν. Ἐπειδὴ τοίνυν πᾶσα ψυχὴ παρὰ τὸν καιρὸν τοῦ πάθους οἱονεὶ διακρίσει τινὶ ὑπεβάλλετο, κατὰ τὴν τοῦ Κυρίου φωνὴν εἰπόντος ὅτι· «Πάντες σκανδαλισθήσεσθε ἐν ἐμοί», προφητεύει ὁ Συμεὼν καὶ περὶ αὐτῆς τῆς Μαρίας ὅτι· «Παρεστῶσα τῷ σταυρῷ καὶ βλέπουσα τὰ γινόμενα καὶ ἀκούουσα τῶν φωνῶν, μετὰ τὴν τοῦ Γαβριὴλ μαρτυρίαν, μετὰ τὴν ἀπόρρητον γνῶσιν τῆς θείας συλλήψεως, μετὰ τὴν μεγάλην τῶν θαυμάτων ἐπίδειξιν, γενήσεταί τις καὶ περὶ τὴν σὴν ψυχὴν σάλος. Ἔδει γὰρ τὸν Κύριον ὑπὲρ παντὸς γεύσασθαι θανάτου καὶ ἱλαστήριον γενόμενον τοῦ κόσμου πάντας δικαιῶσαι ἐν τῷ αὐτοῦ αἵματι. Καὶ σοῦ οὖν αὐτῆς, τῆς ἄνωθεν δεδιδαγμένης τὰ περὶ τοῦ Κυρίου ἅψεταί τις διάκρισις, τουτέστι ῥομφαία».

«Ὅπως ἂν ἀποκαλυφθῶσιν ἀπὸ πολλῶν καρδιῶν διαλογισμοὶ», αἰνίττεται ὅτι μετὰ τὸν σκανδαλισμόν, τὸν ἐπὶ τῷ σταυρῷ τοῦ Χριστοῦ γενόμενον, τοῖς τε μαθηταῖς καὶ αὐτῇ τῇ Μαρίᾳ, ταχεῖά τις ἴασις ἐπακολουθήσει παρὰ τοῦ Κυρίου βεβαιοῦσα αὐτῶν

25. Ἀριθ. 21, 9.
26. Ἑβρ. 4, 12.

ροῦ[25], τὸ ὁποῖον εἶναι ἐνδεικτικὸν παραδόξου καὶ ἀοράτου πράγματος, βλεπόμενον μὲν ἀπὸ αὐτούς, νοούμενον δὲ ἀπὸ τοὺς ἐντρεχεῖς εἰς τὴν διάνοιαν. Ἐπειδὴ λοιπὸν δὲν παύουν νὰ ἀντιμάχωνται περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου, ἰσχυριζόμενοι ἄλλοι μὲν ὅτι ἀνέλαβε σῶμα, ἄλλοι δὲ ὅτι ἐπεδήμησεν ἀσώματος, καὶ ἄλλοι μὲν ὅτι εἶχε παθητὸν σῶμα, ἄλλοι δὲ ὅτι ἐξετέλεσε τὴν διὰ τοῦ σώματος οἰκονομίαν κατὰ φανταστικὴν παρουσίαν, καὶ ἄλλοι ὅτι ἦτο μὲ χοϊκὸν ἄλλοι δὲ μὲ ἐπουράνιον σῶμα, καὶ ἄλλοι ὅτι εἶχε προαιώνιον ὕπαρξιν, ἄλλοι δὲ ὅτι ἔλαβε τὴν ἀρχὴν ἀπὸ τὴν Μαρίαν, διὰ τοῦτο ἐλέχθη, «εἰς σημεῖον ἀντιλεγόμενον».

9. Ρομφαίαν δὲ ἀποκαλεῖ τὸν πειραστικὸν λόγον, τὸν κριτικὸν τῶν σκέψεων, τὸν φθάνοντα ἀκόμη μέχρι τοῦ μερισμοῦ τῆς ψυχῆς καὶ τοῦ πνεύματος, τῶν ἁρμῶν καὶ τῶν μυελῶν[26]. Ἐπειδὴ λοιπὸν κατὰ τὸν καιρὸν τοῦ πάθους κάθε ψυχὴ ὑπεβάλλετο εἰς ἕνα εἶδος ἀμφιβολίας, κατὰ τὸν λόγον τοῦ Κυρίου, ποὺ εἶπεν ὅτι, «πάντες σκανδαλισθήσεσθε ἐν ἐμοί»[27], προφητεύει ὁ Συμεὼν καὶ περὶ αὐτῆς τῆς Μαρίας, ὅτι «παρισταμένη εἰς τὸν σταυρὸν καὶ βλέπουσα τὰ γινόμενα καὶ ἀκούουσα τὰς φωνάς, μετὰ τὴν μαρτυρίαν τοῦ Γαβριήλ, μετὰ τὴν ἀπόρρητον γνῶσιν τῆς θείας συλλήψεως, μετὰ τὴν μεγάλην ἐπίδειξιν τῶν θαυμάτων, θὰ προκληθῇ κάποιος σάλος καὶ εἰς τὴν ἰδικήν σου ψυχήν. Διότι ὁ Κύριος πρέπει νὰ γευθῇ τὸν ὑπὲρ παντὸς θάνατον καὶ γενόμενος ἱλαστήριον τοῦ κόσμου νὰ δικαιώσῃ ὅλους μὲ τὸ αἷμά του. Καὶ σὲ δὲ τὴν ἰδίαν, μολονότι ἐδιδάχθης ἀπὸ ἄνω τὰ ἀναφερόμενα εἰς τὸν Κύριον, θὰ σὲ ἐγγίσῃ κάποια ἀμφιβολία, δηλαδὴ ρομφαία».

Τὸ «ὅπως ἂν ἀποκαλυφθῶσιν ἀπὸ πολλῶν καρδιῶν διαλογισμοὶ» ὑπαινίσσεται ὅτι μετὰ τὸν σκανδαλισμόν, ποὺ ἔγινεν ἐξ αἰτίας τοῦ σταυροῦ τοῦ Χριστοῦ καὶ εἰς τοὺς μαθητὰς καὶ εἰς αὐτὴν τὴν Μαρίαν, θὰ ἐπακολουθήσῃ κάποια ταχεῖα ἴασις παρὰ τοῦ Κυρίου, ἐπιστηρίζουσα τὴν καρδίαν των εἰς

27. Ματθ. 26, 31.

τὴν καρδίαν εἰς τὴν ἐπ᾽ αὐτὸν πίστιν. Οὕτω γὰρ εἴδομεν καὶ Πέτρον μετὰ τὸ σκανδαλισθῆναι βεβαιότερον τῆς εἰς Χριστὸν πίστεως ἀντισχόμενον. Τὸ ἀνθρώπινον οὖν σαθρὸν διηλέγχθη, ἵνα τὸ ἰσχυρὸν τοῦ Κυρίου δειχθῇ.

τὴν πρὸς αὐτὸν πίστιν. Οὕτω δὲ εἴδαμεν τὸν Πέτρον μετὰ τὸν σκανδαλισμόν του νὰ κατέχῃ βεβαιοτέραν τὴν πίστιν εἰς Χριστόν. Τὸ ἀνθρώπινον λοιπὸν ἀπεδείχθη σαθρόν, διὰ νὰ δειχθῇ ἰσχυρὸν τὸ τοῦ Κυρίου.

77. ΑΝΕΠΙΓΡΑΦΟΣ ΠΕΡΙ ΘΗΡΑΣΙΟΥ

Ἓν καὶ τοῦτο τῆς ἀγαθῆς ἀρχῆς τοῦ μεγάλου ἀπελαύσαμεν Θηρασίου, τῆς σῆς λογιότητος τὴν ἐπιδημίαν συνεχῶς ἡμῖν γινομένη. Τὸ αὐτὸ δὲ τοῦτο ἐζημιώθημεν στερηθέντες τοῦ ἄρχοντος. Ἀλλ' ἐπειδὴ τὰ ἅπαξ ἡμῖν παρὰ τοῦ Θεοῦ χαρισθέντα μένει βέβαια καὶ ταῖς ψυχαῖς ἀλλήλων ἐνοικούμενα διὰ τῆς μνήμης, εἰ καὶ τοῖς σώμασι διωρίσμεθα, γράφωμεν γοῦν συνεχῶς καὶ φθεγγώμεθα πρὸς ἀλλήλους τὰ ἀναγκαῖα, καὶ μάλιστα νῦν, ὅτε ὁ χειμὼν τὴν ὀλιγοχρόνιον ταύτην ἐκεχειρίαν ἐσπείσατο. Ἐλπίζομεν δὲ μὴ ἀπολείψεσθαί σε τοῦ θαυμασιωτάτου ἀνδρὸς Θηρασίου, πρέπον εἶναι κρίναντα κοινωνεῖν τῷ ἀνδρὶ τοιούτων φροντίδων, ἤγουν μὲν οὐ καὶ μάτην πρόφασιν ἀσμενίζοντα παρέχουσάν σε ἰδεῖν τε τοὺς φίλους καὶ παρ' αὐτῶν θεαθῆναι. Πολλὰ δὲ ἔχων εἰπεῖν καὶ περὶ πολλῶν εἰς τὴν συντυχίαν ὑπερεθέμην οὐκ ἀσφαλὲς εἶναι ἡγούμενος ἐπιστολαῖς τὰ τοιαῦτα καταπιστεύειν.

Ἐπιστολὴ 77. Ἐγράφη τὸ 371. Ἂν καὶ ἀνεπίγραφος, εἶναι βέβαιον

239

ΕΠΙΣΤΟΛΗ 77
ΑΝΕΠΙΓΡΑΦΟΣ ΠΕΡΙ ΤΟΥ ΘΗΡΑΣΙΟΥ

Μία ἀπὸ τὰς ἀπολαύσεις ποὺ μᾶς ἐχάρισεν ἡ ἀγαθὴ ἐξουσία τοῦ μεγάλου Θηρασίου εἶναι ἡ ἐδῶ συνεχὴς παρουσία τῆς λογιότητός σου. Τὸ ἴδιον δὲ ἐζημιώθημεν μὲ τὴν στέρησιν τοῦ ἄρχοντος αὐτοῦ. Ἐπειδὴ ὅμως τὰ χαρισθέντα εἰς ἡμᾶς ἀπὸ τὸν Θεὸν κάποτε μένουν σταθερὰ καὶ κατοικοῦν εἰς τὰς ψυχὰς ἀλλήλων διὰ τῆς μνήμης, ἂν καὶ εἴμεθα χωρισμένοι σωματικῶς, ἂς γράφωμεν λοιπὸν συνεχῶς καὶ ἂς ἀνταλλάσσωμεν τὰς ἀναγκαίας σκέψεις, καὶ μάλιστα τώρα, ποὺ ἡ τρικυμία μᾶς ἐδώρησεν αὐτὴν τὴν ὀλιγοχρόνιον ἐκεχειρίαν. Ἐλπίζομεν δὲ ὅτι δὲν θὰ ἐγκαταλείψῃς τὸν θαυμασιώτατον ἄνδρα Θηράσιον, κρίνων πρέπον νὰ μετέχῃς τῶν φροντίδων μὲ τοιοῦτον ἄνδρα, καὶ ὅτι βεβαίως δὲν θὰ περιφρονήσῃς τὴν εὐκαιρίαν νὰ ἴδῃς τοὺς φίλους καὶ νὰ ἰδωθῇς ἀπὸ αὐτούς. Ἐνῷ ἔχω πολλὰ καὶ περὶ πολλῶν νὰ σοῦ εἴπω, τὰ ἀναβάλλω διὰ τὴν συνάντησιν, ἐπειδὴ δὲν τὸ θεωρῶ ἀσφαλὲς νὰ ἐμπιστευθῶ τοιαῦτα πράγματα εἰς ἐπιστολάς.

ὅτι ἀπευθύνεται εἰς τὸν Ἐλπίδιον, πάρεδρον τοῦ Θηρασίου, ἐπάρχου τῆς Καππαδοκίας ἐπὶ ἕνα διάστημα. Βλ. καὶ ἐπιστολὰς 63, 64 Β' τ.

240

97. ΤΗ ΒΟΥΛΗ ΤΥΑΝΩΝ

Ὁ ἀνακαλύπτων βαθέα καὶ φανερῶν βουλὰς καρδιῶν Κύριος ἔδωκε καὶ τοῖς ταπεινοῖς σύνεσιν τῶν δυσθεωρήτων, ὥς τινες οἴονται, τεχνασμάτων. Οὐδὲν οὖν ἡμᾶς ἔλαθεν, οὐδὲ τῶν πεπραγμένων τι κεκρυμμένον. Ἀλλ' ὅμως ἡμεῖς οὔτε ὁρῶμεν οὔτε ἀκούομεν ἄλλο τι ἢ τὴν εἰρήνην τοῦ Θεοῦ καὶ ὅσα πρὸς αὐτὴν φέρει. Εἰ γὰρ ἕτεροι δυνατοὶ καὶ μεγάλοι καὶ ἑαυτοῖς πεποιθότες, ἀλλ' ἡμεῖς οἱ μηδὲν καὶ τοῦ οὐδενὸς ἄξιοι οὐκ ἂν ποτὲ τοσοῦτον ἑαυτοὺς ὑπολάβοιμεν ὥστε ἐν τῇ μονώσει δύνασθαι νομίσαι περιέσεσθαι τῶν πραγμάτων, ἀκριβῶς εἰδότες ὅτι πλέον ἡμεῖς τῆς ἑνὸς ἑκάστου τῶν ἀδελφῶν ἐπικουρίας δεόμεθα ἢ ὅσον ἡ ἑτέρα τῶν χειρῶν τῆς ἑτέρας. Ἐπεὶ καὶ ἐξ αὐτῆς τῆς τοῦ σώματος ἡμῶν κατασκευῆς τὸ ἀναγκαῖον τῆς κοινωνίας ὁ Κύριος ἡμᾶς ἐδίδαξεν. Ὅταν γὰρ πρὸς αὐτὰ ταῦτα ἀπίδω τὰ μέλη ἡμῶν, ὅτι ἓν οὐδὲν ἑαυτῷ πρὸς ἐνέργειαν αὔταρκες, πῶς ἐμαυτὸν λογίσομαι ἐξαρκεῖν ἑαυτῷ πρὸς τὰ τοῦ βίου πράγματα; Οὔτε γὰρ ἂν ποῦς ἀσφαλῶς βαδίσειε μὴ συνυποστηρίζοντος τοῦ ἑτέρου, οὔτ' ἂν ὀφθαλμὸς ὑγιῶς ἴδοι μὴ κοινωνὸν ἔχων τὸν ἕτερον καὶ μετ' αὐτοῦ συμφώνως προσβάλλων τοῖς ὁρατοῖς. Ἡ ἀκοὴ ἀκριβεστέρα, ἢ δι' ἀμφοῖν τοῖν πόροιν τὴν φωνὴν δεχομένη, καὶ ἀντίληψις κραταιοτέρα τῇ κοινωνίᾳ τῶν δακτύλων. Καὶ ἁπαξαπλῶς οὐδὲν οὔτε τῶν

Ἐπιστολὴ 97. Ἐγράφη τὸ 372. Ὅπως ἐπανειλημμένως ἔχει λεχθῆ κατὰ τὸν σχολιασμὸν τῶν ἐπιστολῶν τοῦ Βασιλείου, ὁ Οὐάλης εἶχε διαιρέσει τὴν πολὺ ἐκτεταμένην χώραν τῆς Καππαδοκίας εἰς δύο μεγάλας ἐπαρχίας, πρᾶγμα τὸ ὁποῖον ἐμείωσε τὴν θέσιν τῆς Καισαρείας ποὺ ἔμεινε τώρα ὡς πρωτεύουσα τῆς πρώτης ἐπαρχίας. Πρωτεύουσα τῆς δευτέρας ἔγινε πρῶτα μὲν ἡ πολίχνη Ποδανδός, ἔπειτα δὲ ἡ πόλις τῶν Τυάνων. Ἡ βουλὴ καὶ ὁ

240

ΕΠΙΣΤΟΛΗ 97
ΠΡΟΣ ΤΗΝ ΒΟΥΛΗΝ ΤΩΝ ΤΥΑΝΩΝ

Ὁ Κύριος ποὺ ἀποκαλύπτει τὰ βάθη καὶ φανερώνει τὰς βουλὰς τῶν καρδιῶν ἔδωσε καὶ εἰς τοὺς ταπεινοὺς κατανόησιν τῶν δυσθεωρήτων, ὅπως μερικοὶ νομίζουν, τεχνασμάτων. Τίποτε λοιπὸν δὲν μᾶς διέφυγεν, οὔτε ἔμεινε κρυμμένον τίποτε ἀπὸ τὰ πραχθέντα. Ἀλλ' ὅμως ἡμεῖς οὔτε βλέπομεν οὔτε ἀκούομεν τίποτε ἄλλο ἀπὸ τὴν εἰρήνην τοῦ Θεοῦ καὶ ἀπὸ ὅσα ὁδηγοῦν πρὸς αὐτήν. Ἐὰν δὲ ἄλλοι εἶναι δυνατοὶ καὶ μεγάλοι καὶ ἔχουν πεποίθησιν εἰς ἑαυτούς, ἡμεῖς φυσικά, ποὺ δὲν εἴμεθα τίποτε καὶ δὲν ἀξίζομεν τίποτε, δὲν θὰ σχηματίσωμεν ποτὲ τοιαύτην γνώμην διὰ τὸν ἑαυτόν μας, ὥστε νὰ νομίσωμεν ὅτι εἶναι δυνατὸν μὲ τὴν ἀπομόνωσιν νὰ ὑπερισχύσωμεν τῶν πραγμάτων, διότι γνωρίζομεν ἀκριβῶς ὅτι ἡμεῖς χρειαζόμεθα τὴν βοήθειαν τοῦ καθενὸς ἀπὸ τοὺς ἀδελφοὺς περισσότερον ἀπὸ ὅσον ἡ μία χεὶρ τὴν ἄλλην.

Ἄλλωστε καὶ ἀπὸ τὴν κατασκευὴν τοῦ σώματός μας ὁ Κύριος μᾶς ἐδίδαξε τὴν ἀναγκαιότητα τῆς κοινωνίας. Ὅταν δηλαδὴ λάβω ὑπ' ὄψιν ὅτι ἕνα ἀπὸ τὰ μέλη μας χωριστὸν δὲν εἶναι αὐτάρκες νὰ ἐνεργήσῃ δι' ἑαυτό, πῶς θὰ πιστεύσω ὅτι ἐγὼ ἐπαρκῶ εἰς τὴν ἐξυπηρέτησιν τοῦ ἑαυτοῦ μου διὰ τὰ πράγματα τοῦ βίου; Οὔτε τὸ ἕνα πόδι ἠμπορεῖ νὰ βαδίσῃ ἀσφαλῶς χωρὶς τὴν ὑποστήριξιν τοῦ ἄλλου, οὔτε ὁ ὀφθαλμὸς ἠμπορεῖ νὰ ἴδῃ ἀκριβῶς χωρὶς τὴν κοινωνίαν τοῦ ἄλλου, χωρὶς νὰ προβληθῇ μαζὶ μὲ αὐτὸν εἰς τὰ ὁρατὰ ἀντικείμενα. Ἡ ἀκοὴ εἶναι ἀκριβεστέρα, ὅταν δέχεται τὴν φωνὴν μὲ τοὺς δύο ἀκουστικοὺς πόρους μαζί, καὶ ἡ ἁφὴ εἶναι κραταιοτέρα ὅταν γίνεται μὲ τὰ δάκτυλα

ἐπίσκοπος Τυάνων Ἄνθιμος ἐνήργησαν ὥστε ἡ ἐπισκοπὴ Τυάνων νὰ καταστῇ μητρόπολις αὐτοτελὴς πρὸς ζημίαν τῆς μητροπόλεως Καισαρείας. Αὐτὸ ὑπῆρξεν ἀφορμὴ συντάξεως τῆς παρούσης ἐπιστολῆς, εἰς τὴν ὁποίαν γίνεται λόγος περὶ εἰρήνης καὶ ὁμονοίας.

ἐκ φύσεως οὔτε τῶν ἐκ προαιρέσεως κατορθουμένων ὁρῶ ἄνευ τῆς τῶν ὁμοφύλων συμπνοίας ἐπιτελούμενον, ὅπου γε καὶ αὐτὴ ἡ προσευχὴ μὴ ἔχουσα τοὺς συμφωνοῦντας ἀδρανεστέρα ἐστὶ πολλῷ ἑαυτῆς καὶ ὁ Κύριος ἐπηγγείλατο μέσος γενήσεσθαι δύο ἢ τριῶν ἐπικαλουμένων αὐτὸν ἐν ὁμονοίᾳ. Καὶ αὐτὴν δὲ τὴν οἰκονομίαν ὁ Κύριος κατεδέξατο, ἵνα εἰρηνοποιήσῃ διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς οὐρανοῖς. Ὥστε διὰ πάντα ταῦτα ἐν εἰρήνῃ μένειν τὰς λειπομένας ἡμῶν ἡμέρας εὐχόμεθα, ἐν εἰρήνῃ δὲ γενέσθαι τὴν κοίμησιν ἡμῶν αἰτοῦμεν. Ὑπὲρ ταύτης οὐδὲ πόνον ἐλλείπειν ὁντιναοῦν ἔγνωκα, οὐ ταπεινόν τι φθέγξασθαι ἢ ποιῆσαι, οὐχ ὁδοιπορίας μῆκος ὑπολογίσασθαι, οὐκ ἄλλο τι τῶν ὀχληρῶν ὑποστείλασθαι, ὥστε τῶν μισθῶν τῆς εἰρηνοποιίας ἐπιτυχεῖν. Κἂν μὲν ἔπηταί τις ταῦτα καθηγουμένοις ἡμῖν, τοῦτο ἄριστον καὶ εὐχῆς τυγχάνει πέρας· ἐὰν δὲ πρὸς τὴν ἐναντίαν ἀφέλκῃ, ἐγὼ μὲν οὐδὲ οὕτω τῆς ἐμαυτοῦ κρίσεως ἀποστήσομαι. Αὐτὸς δὲ ἕκαστος τῆς οἰκείας ἐργασίας ἐν ἡμέρᾳ τῆς ἀνταποδόσεως τοὺς καρποὺς ἐπιγνώσεται.

241

55. ΓΡΗΓΟΡΙΩ ΠΡΕΣΒΥΤΕΡΩ

Ἐνέτυχόν σου τοῖς γράμμασι μετὰ πάσης μακροθυμίας, καὶ ἐθαύμασα πῶς δυνάμενος ἡμῖν συντόμως καὶ εὐκόλως ἀπολογή-

---

1. Ματθ. 18, 20.
2. Κολασ. 1, 20.

Ἐπιστολὴ 55. Ἐγράφη εἰς τὰς ἀρχὰς τοῦ ἀρχιερατικοῦ σταδίου τοῦ Βασιλείου καὶ ἀπευθύνεται πρὸς ἱερέα τῆς περιοχῆς του Γρηγόριον καλούμενον, ὁ ὁποῖος εἶχεν εἰς τὴν οἰκίαν του συνείσακτον γυναῖκα, ἐνῷ ἦτο ἄγα-

ἡνωμένα. Καὶ γενικῶς δὲν βλέπω νὰ ἐπιτελῆται τίποτε ἀπὸ τὰ κατορθούμενα εἴτε ἐκ τῶν φυσικῶν εἴτε ἐκ τῶν ἐθελουσίων, χωρὶς τὴν ἐπικουρίαν τῶν ὁμοειδῶν. Καὶ αὐτὴ ἡ προσευχὴ μάλιστα, ὅταν δὲν ἔχῃ συμμετόχους, εἶναι κατὰ πολὺ ἀσθενεστέρα ἀπὸ ὅσον εἶναι κανονικὰ καὶ ὁ Κύριος ὑπεσχέθη ὅτι θὰ εὑρίσκεται εἰς τὸ μέσον δύο ἢ τριῶν ἐπικαλουμένων αὐτὸν μὲ ὁμοφροσύνην [1]. Καὶ τὴν σωτηριώδη δὲ οἰκονομίαν ἀνέλαβεν ὁ Κύριος, διὰ νὰ εἰρηνοποιήσῃ μὲ τὸ αἷμα τοῦ σταυροῦ αὐτοῦ καὶ τὰ ἐπίγεια καὶ τὰ οὐράνια [2].

Δι' ὅλα αὐτὰ λοιπὸν εὐχόμεθα αἱ ὑπολειπόμεναι ἡμέραι μας νὰ παραμείνουν εἰρηνικαί, ζητοῦμεν δὲ καὶ ἡ κοίμησίς μας νὰ γίνῃ εἰρηνικά. Ὑπὲρ τῆς εἰρήνης ἔχω ἀπόφασιν νὰ μὴ παραλείψω ὁποιονδήποτε κόπον, νὰ μὴ εἴπω ἢ κάμω κάτι ταπεινόν, νὰ μὴ ὑπολογίσω μῆκος ὁδοιπορίας, νὰ μὴ ἀποφύγω κανένα ἄλλο ἀπὸ τὰ ὀχληρά, ὥστε νὰ ἐπιτύχω τὸν μισθὸν τῆς εἰρηνοποιίας. Καὶ ἂν μὲν μᾶς ἀκολουθήσῃ κανεὶς ὡς ὁδηγοὺς εἰς τὸν δρόμον τοῦτον, αὐτὸ θὰ εἶναι ἄριστον καὶ εὐκταῖον τέλος· ἐὰν δὲ βαδίζῃ πρὸς τὸν ἀντίθετον δρόμον, ἐγὼ πάντως οὔτε τότε δὲν θὰ μεταβάλω ἀπόφασιν. Ὁ καθένας δὲ θὰ ἀναγνωρίσῃ μόνος του τοὺς καρποὺς τοῦ ἔργου του κατὰ τὴν ἡμέραν τῆς ἀνταποδόσεως.

241

ΕΠΙΣΤΟΛΗ 55
ΠΡΟΣ ΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ ΓΡΗΓΟΡΙΟΝ

Ἀνέγνωσα μὲ κάθε μακροθυμίαν τὸ γράμμα σου καὶ ἐθαύμασα, πῶς, ἐνῷ ἠμπορεῖς ν' ἀπολογηθῇς σύντομα καὶ εὔκολα

μος. Τὰς συνεισάκτους ἀπηγόρευαν οἱ ἐκκλησιαστικοὶ κανόνες, διότι ἡ παρουσία αὐτῶν ἀφ' ἑνὸς μὲν ἠμποροῦσε νὰ σκανδαλίσῃ τοὺς κληρικοὺς ἀφ' ἑτέρου δὲ ἐσκανδάλιζε τοὺς ἄλλους. Ὁ θεσμὸς τῶν συνεισάκτων δὲν σημαίνει κατ' ἀνάγκην διαφθοράν.

σασθαι διὰ τῶν πραγμάτων τοῖς μὲν κατηγορουμένοις ἐπιμένειν καταδέχῃ, λόγοις δὲ μακροῖς θεραπεύειν ἐπιχειρεῖς τὰ ἀνίατα. Οὔτε πρῶτοι οὔτε μόνοι, ὦ Γρηγόριε, ἐνομοθετήσαμεν γυναῖκας ἀνδράσι μὴ συνοικεῖν. Ἀλλ' ἀνάγνωθι τὸν κανόνα τὸν ἐξενεχθέντα παρὰ τῶν ἁγίων πατέρων ἡμῶν ἐν τῇ συνόδῳ Νικαίας, ὃς φανερῶς ἀπηγόρευσε συνεισάκτους μὴ εἶναι. Ἀγαμία δὲ ἐν τούτῳ ἔχει τὸ σεμνόν, ἐν τῷ κεχωρίσθαι τῆς μετὰ γυναικῶν διαγωγῆς. Ὡς, ἐὰν ἐπαγγελλόμενός τις τῷ ὀνόματι ἔργῳ τὰ τῶν ταῖς γυναιξὶ συνοικούντων ποιῇ, δῆλός ἐστι τὸ μὲν τῆς παρθενίας σεμνὸν ἐν τῇ προσηγορίᾳ διώκων, τοῦ δὲ καθ' ἡδονὴν ἀπρεποῦς μὴ ἀφιστάμενος. Τοσούτῳ οὖν μᾶλλον ἐχρῆν σε εὐκόλως εἶξαι ἡμῶν τῇ ἀξιώσει, ὅσῳπερ λέγεις ἐλεύθερος εἶναι παντὸς σωματικοῦ πάθους. Οὔτε γὰρ τὸν ἑβδομηκονταετῆ γεγονότα πείθομαι ἐμπαθῶς συνοικεῖν γυναικί, οὔτε ὡς ἐπιγενομένῃ τινὶ ἀτόπῳ πράξει ὡρίσαμεν ἃ καὶ ὡρίσαμεν, ἀλλ' ἐπειδὴ ἐδιδάχθημεν παρὰ τοῦ ἀποστόλου μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον. Οἴδαμεν δὲ ὅτι τὸ παρά τινων ὑγιῶς γινόμενον ἄλλοις ἀφορμὴ πρὸς ἁμαρτίαν ὑπάρξει. Τούτου ἕνεκεν προσετάξαμεν ἑπόμενοι τῇ διαταγῇ τῶν ἁγίων πατέρων χωρισθῆναί σε τοῦ γυναίου. Τί οὖν ἐγκαλεῖς τῷ χωρεπισκόπῳ καὶ παλαιᾶς ἔχθρας μέμνησαι; Τί δὲ ἡμᾶς καταμέμφῃ ὡς εὐκόλους ἀκοὰς ἔχοντας εἰς τὸ τὰς διαβολὰς προσίεσθαι, ἀλλ' οὐχὶ σεαυτῷ μὴ ἀνεχομένῳ ἀποστῆναι τῆς πρὸς τὴν γυναῖκα συνηθείας; Ἔκβαλε τοίνυν αὐτὴν ἀπὸ τοῦ οἴκου σου καὶ κατάστησον αὐτὴν ἐν μοναστηρίῳ. Ἔστω ἐκείνη μετὰ παρθένων

---

1. Οἱ ἄγαμοι κληρικοὶ καὶ μοναχοί. Βλ. Γ΄ κανόνα τῆς Α΄ Οἰκ. Συν.
2. Ρωμ. 14, 13.
3. Ὁ Βασίλειος εἶχε δώσει παραγγελίαν εἰς τὸν Γρηγόριον νὰ ἀπομακρύνῃ τὴν γυναῖκα. Αὐτὸς ἀπήντησεν ὅτι ὡσὰν γέρων ποὺ ἦτο δὲν εἶχεν ἀπρεπεῖς σχέσεις μὲ αὐτὴν καὶ τὴν ἐκρατοῦσε διὰ νὰ τὸν ὑπηρετῇ· ἔλεγε

διὰ τῶν πράξεων, δέχεσαι νὰ ἐπιμένῃς εἰς τὴν ἀξιόμεμπτον διαγωγήν σου καὶ ἐπιχειρεῖς νὰ θεραπεύσῃς τὰ ἀνίατα μὲ τὴν πολυλογίαν σου. Οὔτε πρῶτοι οὔτε μόνοι, Γρηγόριε, ἐνομοθετήσαμεν νὰ μὴ συνοικοῦν γυναῖκες μὲ ἄνδρας. Ἀνάγνωσε τὸν κανόνα τὸν συνταχθέντα ἀπὸ τοὺς ἁγίους πατέρας ἡμῶν εἰς τὴν σύνοδον τῆς Νικαίας, ὁ ὁποῖος ἀπαγορεύει σαφῶς νὰ διατηροῦν οἱ ἄγαμοι [1] συνεισάκτους. Ἄλλωστε ἡ ἀξία τῆς ἀγαμίας εἰς τοῦτο ἔγκειται, εἰς τὸ νὰ διαχωρίζωνται οἱ μοναχοὶ ἀπὸ τὴν συναναστροφὴν τῶν γυναικῶν. Ἐὰν ὅμως ὁ κατ' ὄνομα μόνον ἐπαγγελλόμενος τὴν ἀρετὴν ἐνεργῇ ὅπως αὐτοὶ ποὺ συνοικοῦν μὲ γυναῖκας, εἶναι φανερὸν ὅτι ἐπιδιώκει τὴν σεμνότητα τῆς παρθενίας μὲ τὰ λόγια, ἐνῷ δὲν ἀπέχει τῆς ἀπρεπείας τῆς ἡδονῆς.

Τόσον δὲ περισσότερον εὔκολα ἔπρεπε νὰ δεχθῇς τὴν ἀξίωσίν μας, ὅσον βεβαιώνεις ὅτι εἶσαι ἐλεύθερος ἀπὸ κάθε σωματικὸν πάθος. Φυσικὰ οὔτε εἶμαι πεπεισμένος ὅτι αὐτὸς ποὺ ἔφθασε τὰ ἑβδομήντα του χρόνια συνοικεῖ ἐμπαθῶς μὲ γυναῖκα οὔτε ἀπεφασίσαμεν ὅσα ὡρίσαμεν ἀπὸ βεβαιότητα ὅτι συνέβη καμμία ἄτοπος πρᾶξις. Τὰ ὡρίσαμεν διότι ἐδιδάχθημεν ἀπὸ τὸν ἀπόστολον νὰ μὴ θέτωμεν πρόσκομμα ἢ σκάνδαλον εἰς τὸν ἀδελφόν [2]. Γνωρίζομεν δὲ ὅτι μία ἐνέργεια ποὺ γίνεται ἀπὸ μερικοὺς ὑγιῶς, εἰς ἄλλους καθίσταται ἀφορμὴ δι' ἁμαρτίαν.

Διὰ τοῦτο σὲ διετάξαμεν, ἀκολουθοῦντες τὴν ἐντολὴν τῶν ἁγίων πατέρων, νὰ χωρισθῇς ἀπὸ τὴν γυναῖκα. Διατί λοιπὸν κατηγορεῖς τὸν χωρεπίσκοπον καὶ ἐνθυμεῖσαι παλαιὰν ἔχθραν; Διατί δὲ μέμφεσαι καὶ ἡμᾶς ὅτι ἔχομεν εὔκολα τὰ αὐτιά μας εἰς τὸ νὰ δεχθῶμεν διαβολάς [3], καὶ δὲν μέμφεσαι τὸν ἑαυτόν σου ποὺ δὲν ἀνέχεται νὰ ἀπαλλαγῇ τῆς συναναστροφῆς τῆς γυναικός; Ἀπομάκρυνε λοιπὸν αὐτὴν ἀπὸ τὴν οἰκίαν σου καὶ ἐγκατάστησέ την εἰς μοναστήριον. Αὐτὴ νὰ μείνῃ μαζὶ μὲ

δὲ ἐπίσης ὅτι ὁ χωρεπίσκοπος τὸν διέβαλε καὶ ὁ Βασίλειος εἶναι εὔκολος εἰς τὸ νὰ δέχεται διαβολάς.

καὶ σὺ ὑπηρετοῦ ὑπὸ ἀνδρῶν, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ δι' ἡμᾶς βλασφημῆται. Ἕως ἂν ταῦτα ποιῇς, αἱ μυριάδες ἄσπερ συγγράφεις διὰ τῶν ἐπιστολῶν οὐδὲν ὠφελήσουσί σε, ἀλλὰ τελευτήσεις ἀργῶν καὶ δώσεις τῷ Κυρίῳ λόγον τῆς σεαυτοῦ ἀργίας. Ἐὰν δὲ τολμήσῃς, μὴ διορθωσάμενος σεαυτόν, ἀντέχεσθαι τῆς ἱερωσύνης, ἀνάθεμα ἔσει παντὶ τῷ λαῷ καὶ οἱ δεχόμενοί σε ἐκκήρυκτοι κατὰ πᾶσαν Ἐκκλησίαν γενήσονται.

242

160. ΔΙΟΔΩΡΩ

1. Ἀφίκετο ἡμῖν γράμματα τὴν ἐπιγραφὴν ἔχοντα Διοδώρου, τὰ δὲ ἐφεξῆς ἄλλου τινὸς πρέποντα εἶναι μᾶλλον ἢ Διοδώρου. Δοκεῖ γάρ μοί τις τῶν τεχνικῶν τὸ σὸν πρόσωπον ὑποδὺς οὕτως ἑαυτὸν ἀξιόπιστον ἐθελῆσαι ποιῆσαι τοῖς ἀκροωμένοις. Ὅς γε, ἐρωτηθεὶς ὑπό τινος εἰ θεμιτὸν αὐτὸν πρὸς γάμον ἀγαγέσθαι τῆς γυναικὸς τελευτησάσης τὴν ἀδελφήν, οὐκ ἔφριξε τὴν ἐρώτησιν, ἀλλὰ καὶ πράως ἤνεγκε τὴν ἀκοὴν καὶ τὸ ἀσελγὲς ἐπιθύμημα πάνυ γενναίως αὐτῷ καὶ ἀγωνιστικῶς συγκατέπραξεν. Εἰ μὲν οὖν παρῆν μοι τὸ γράμμα, αὐτὸ ἂν ἀπέστειλα καὶ ἐξήρκεις σαυτῷ τε ἀμῦναι καὶ τῇ ἀληθείᾳ. Ἐπεὶ δὲ ὁ δείξας πάλιν ἀφείλετο καὶ ὥσπερ τι τρόπαιον καθ' ἡμῶν περιέφερε, κεκωλυκότων τὸ ἐξ ἀρχῆς, ἔγγραφον ἔχειν λέγων τὴν ἐξουσίαν, ἐπέστειλα νῦν σοι

---

4. Ρωμ. 2, 24.

5. Ἀργὸς ὑπὸ τὴν ἔννοιαν ὄχι μόνον τῆς ἀπωλείας τῆς ἱερωσύνης, ἀλλὰ τῆς ἀκαρπίας εἰς καλὰ ἔργα.

Ἐπιστολὴ 160. Ἐγράφη τὸ 373 ἢ 374. Ἐλέγχει τὸν Διόδωρον τοῦτον διὰ τὴν ἐνέργειάν του νὰ ἐπιτρέψῃ γάμον μὲ τὴν ἀδελφὴν τῆς ἀπο-

παρθένους καὶ σὺ νὰ ὑπηρετῆσαι ἀπὸ ἄνδρας, διὰ νὰ μὴ βλασφημῆται ἐξ αἰτίας μας τὸ ὄνομα τοῦ Θεοῦ [4]. Ὅσον καιρὸν ὅμως κάμνεις αὐτά, αἱ μυριάδες αὐτῶν ποὺ γράφεις εἰς τὰς ἐπιστολάς σου, δὲν θὰ σὲ ὠφελήσουν τίποτε· θ' ἀποθάνῃς ἀργὸς καὶ θὰ δώσῃς λόγον εἰς τὸν Κύριον διὰ τὴν ἀργίαν σου [5]. Ἐὰν δὲ τολμήσῃς νὰ διατηρήσῃς τὴν ἱερωσύνην, χωρὶς νὰ διορθώσῃς τὸν ἑαυτόν σου, θὰ εἶσαι ἀνάθεμα δι' ὅλον τὸν λαὸν καὶ ὅσοι σὲ ἀναγνωρίζουν θὰ ἀφορισθοῦν ἀπὸ ὅλην τὴν Ἐκκλησίαν.

242

ΕΠΙΣΤΟΛΗ 160
ΠΡΟΣ ΤΟΝ ΔΙΟΔΩΡΟΝ

1. Μᾶς ἔφθασε γράμμα ποὺ ἔχει τὴν ἐπιγραφὴν τοῦ Διοδώρου, τὰ ἐν συνεχείᾳ ὅμως ταιριάζουν εἰς ἄλλον καὶ ὄχι εἰς τὸν Διόδωρον. Μοῦ φαίνεται δὲ ὅτι κάποιος ἀστειευτὴς ὑπεδύθη τὸ πρόσωπόν σου θέλων νὰ καταστῇ πιστευτὸς εἰς τοὺς ἀκούοντας [1]. Αὐτὸς λοιπὸν ἐρωτηθεὶς ἀπὸ κάποιον, ἐὰν εἶναι νόμιμον νὰ λάβῃ εἰς γάμον τὴν ἀδελφὴν τῆς ἀποθανούσης συζύγου του, δὲν ἔφριξεν ἀπὸ τὴν ἐρώτησιν, ἀλλὰ ἠνέχθη μὲ πραότητα τὸ ἄκουσμα καὶ συνέπραξε μὲ γενναιότητα καὶ ἀγωνιστικότητα εἰς τὴν ἀσελγῆ ἐπιθυμίαν. Ἐὰν εἶχα εἰς τὴν διάθεσίν μου τὸ γράμμα τοῦτο, θὰ σοῦ τὸ ἔστελλα, καὶ θὰ ἐπαρκοῦσε νὰ ὑπερασπίσῃς τὸν ἑαυτόν σου καὶ τὴν ἀλήθειαν. Ἐπειδὴ ὅμως αὐτὸς ποὺ μοῦ τὸ ἔδειξε τὸ ξαναπῆρε καὶ τὸ περιέφερεν ὡς τρόπαιον ἐναντίον ἡμῶν, οἱ ὁποῖοι εἴχαμεν ἐμποδίσει ἀρχικῶς τὸν γάμον, λέγων ὅτι ἔχει ἔγγραφον δι' αὐτὸν ἄδειαν,

---

θανούσης συζύγου ἐγγράφως. Ὁ Διόδωρος αὐτὸς ἦτο πιθανῶς χωρεπίσκοπος εἰς τὴν Καππαδοκίαν.

1. Τὴν ἐπιστολὴν ἔγραψε προφανῶς ὁ Διόδωρος, ἀλλ' ὁ Βασίλειος ὑποκρίνεται ὅτι δὲν τὸ πιστεύει, διὰ νὰ τὴν ἀντικρούσῃ χωρὶς νὰ τὸν προσβάλῃ.

ὥστε διπλῇ τῇ χειρὶ ἡμᾶς ἐλθεῖν ἐπὶ τὸν νόθον ἐκεῖνον λόγον καὶ μηδεμίαν αὐτῷ ἰσχὺν καταλιπεῖν, ἵνα μὴ ἔχῃ βλάπτειν ῥᾳδίως τοὺς ἐντυγχάνοντας.

2. Πρῶτον μὲν οὖν, ὃ μέγιστον ἐπὶ τῶν τοιούτων ἐστί, τὸ παρ' ἡμῖν ἔθος, ὃ ἔχομεν προβάλλειν νόμου δύναμιν ἔχον διὰ τὸ ὑφ' ἁγίων ἀνδρῶν τοὺς θεσμοὺς ἡμῖν παραδοθῆναι. Τοῦτο δὲ τοιοῦτόν ἐστιν· ἐάν τις πάθει ἀκαθαρσίας ποτὲ κρατηθεὶς ἐκπέσῃ πρὸς δυοῖν ἀδελφῶν ἄθεσμον κοινωνίαν, μήτε γάμον ἡγεῖσθαι τοῦτον μηδ' ὅλως εἰς Ἐκκλησίας πλήρωμα παραδέχεσθαι πρότερον ἢ διαλῦσαι αὐτοὺς ἀπ' ἀλλήλων. Ὥστε, εἰ καὶ μηδὲν ἕτερον εἰπεῖν ἦν, ἐξήρκει τὸ ἔθος πρὸς τὴν τοῦ κακοῦ φυλακήν. Ἐπεὶ δὲ ὁ τὴν ἐπιστολὴν γράψας ἐπιχειρήματι κιβδήλῳ κακὸν τοσοῦτον ἐπειράθη τῷ βίῳ ἐπαγαγεῖν, ἀνάγκη μηδὲ ἡμᾶς τῆς ἐκ τῶν λογισμῶν βοηθείας ὑφέσθαι· καίτοι γε ἐπὶ τῶν σφόδρα ἐναργῶν μείζων ἐστὶ τοῦ λόγου ἡ παρ' ἑκάστῳ πρόληψις.

3. Γέγραπται, φησίν, ἐν τῷ Λευϊτικῷ· «Γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς οὐ λήψῃ ἀντίζηλον, ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῆς ἐπ' αὐτῇ, ἔτι ζώσης αὐτῆς». Δῆλον δ' οὖν ἐκ τούτου εἶναί φησιν ὅτι συγχωρεῖται λαμβάνειν τελευτησάσης. Πρὸς δὴ τοῦτο πρῶτον μὲν ἐκεῖνο ἐρῶ, ὅτι ὅσα ὁ νόμος λέγει τοῖς ἐν τῷ νόμῳ λέγει, ἐπεὶ οὕτω γε καὶ περιτομῇ καὶ σαββάτῳ καὶ ἀποχῇ βρωμάτων ὑποκεισόμεθα. Οὐ γὰρ δή, ἐὰν μέν τι εὕρωμεν συντρέχον ἡμῶν ταῖς ἡδοναῖς, τῷ ζυγῷ τῆς δουλείας τοῦ νόμου ἑαυτοὺς ὑποθήσομεν ἐὰν δέ τι φανῇ βαρὺ τῶν νομίμων, τότε πρὸς τὴν ἐν

2. Λευϊτ. 18,18.

διὰ τοῦτο σοῦ γράφω τὴν ἐπιστολήν μου αὐτὴν τώρα μὲ τὴν παραγγελίαν νὰ κατέλθωμεν μὲ ἡνωμένας χεῖρας κατὰ τοῦ νόθου ἐκείνου κειμένου καὶ νὰ μὴ τοῦ ἀφήσωμεν καμμίαν ἰσχύν, διὰ νὰ μὴ δύναται νὰ βλάπτῃ εὔκολα τοὺς ἀναγνώστας.

2. Κατὰ πρῶτον λοιπὸν — τοῦτο δὲ εἶναι τὸ σπουδαιότατον εἰς παρόμοια ζητήματα — ὑπάρχει τὸ ἔθιμόν μας, τὸ ὁποῖον δυνάμεθα νὰ προβάλωμεν ὡς ἔχον δύναμιν νόμου, διότι οἱ θεσμοὶ παρεδόθησαν εἰς ἡμᾶς ὑπὸ ἁγίων ἀνδρῶν. Τοῦτο δὲ ἔχει ὡς ἑξῆς· ἐὰν κανεὶς καταληφθεὶς ἀπὸ πάθος ἀκαθαρσίας καταντήσῃ ποτὲ εἰς ἄνομον κοινωνίαν πρὸς δύο ἀδελφάς, αὐτὸ δὲν πρέπει νὰ τὸ θεωρῶμεν ὡς γάμον οὔτε εἰς τὸ πλήρωμα τῆς Ἐκκλησίας νὰ παραδεχώμεθα αὐτοὺς προτοῦ διαλύσουν τὸν δεσμόν. Ὥστε καὶ τίποτε ἄλλο νὰ μὴ εἴχαμεν νὰ εἴπωμεν, θὰ ἀρκοῦσε τὸ ἔθιμον διὰ τὴν προφύλαξιν ἀπὸ τὸ κακόν. Ἐπειδὴ ὅμως ὁ γράψας τὴν ἐπιστολὴν ἀπεπειράθη νὰ εἰσαγάγῃ εἰς τὸν βίον μὲ κίβδηλον ἐπιχείρημα ἕνα τέτοιον κακόν, εἶναι ἀνάγκη νὰ μὴ παραμελήσωμεν τὴν βοήθειαν ἐκ τῶν συλλογισμῶν, μολονότι ἐπὶ τῶν προφανεστάτων ἀντικειμένων ἡ διαίσθησις τοῦ καθενὸς ἔχει μεγαλυτέραν σημασίαν ἀπὸ τὴν λογικήν.

3. Λέγει ὅτι εἶναι γραμμένον εἰς τὸ Λευϊτικόν· «δὲν θὰ λάβῃς τὴν ἀδελφὴν τῆς συζύγου σου ὡς γυναῖκα ἀντίζηλον αὐτῆς οὔτε θὰ ἀποκαλύψῃς τὴν γυμνότητά της συγχρόνως μὲ αὐτήν, ἐνῷ αὐτὴ ζῇ ἀκόμη» [2], λέγει λοιπὸν ὅτι ἀπὸ αὐτὰ καθίσταται φανερὸν ὅτι ἐπιτρέπεται νὰ τὴν λάβῃ μετὰ τὸν θάνατόν της. Πρὸς τοῦτο λοιπὸν θὰ ἀντείπω πρῶτον ἐκεῖνο, ὅτι ὅσα λέγει ὁ νόμος τὰ λέγει εἰς τοὺς ὑποκειμένους εἰς τὸν νόμον [3], ἐπειδὴ ἄλλως θὰ ὑπεκείμεθα καὶ εἰς τὴν περιτομὴν καὶ εἰς τὴν τήρησιν τοῦ Σαββάτου καὶ εἰς τὴν ἀποχὴν ἀπὸ ἀκάθαρτα κρέατα. Διότι ἀσφαλῶς δὲν θὰ θέσωμεν τοὺς ἑαυτούς μας ὑπὸ τὸν ζυγὸν τῆς δουλείας τοῦ νόμου ἐὰν εὕρωμεν κάτι ποὺ ἐξυπηρετεῖ τὰς ἡδονάς μας, ἐνῷ θὰ προσφεύγωμεν εἰς τὴν ἐν Χριστῷ ἐλευ-

3. Πρόκειται περὶ τοῦ μωσαϊκοῦ νόμου, ὁ ὁποῖος ὡς σύνολον εἶχεν ἰσχὺν διὰ τοὺς Ἰσραηλίτας.

Χριστῷ ἐλευθερίαν ἀποδραμούμεθα. Ἠρωτήθημεν εἰ γέγραπται λαμβάνειν γυναῖκα ἐπ' ἀδελφῇ. Εἴπομεν, ὅπερ ἀσφαλὲς ἡμῖν καὶ ἀληθές, ὅτι οὐ γέγραπται. Τὸ δ' ἐκ τῆς τοῦ ἀκολούθου ἐπιφορᾶς τὸ σιωπηθὲν συλλογίζεσθαι νομοθετοῦντός ἐστιν, οὐ τὰ τοῦ νόμου λέγοντος, ἐπεὶ οὕτω γε ἐξέσται τῷ βουλομένῳ καταπολμῆσαι καὶ ἔτι ζώσης τῆς γυναικὸς λαμβάνειν τὴν ἀδελφήν. Τὸ γὰρ αὐτὸ τοῦτο σόφισμα καὶ ἐπ' ἐκείνου ἁρμόζει. Γέγραπται γάρ, φησίν· «Οὐ λήψῃ ἀντίζηλον», ὡς τήν γε ἔξω τοῦ ζήλου λαβεῖν οὐκ ἐκώλυσεν. Ὁ δὴ συνηγορῶν τῷ πάθει ἀζηλότυπον εἶναι διοριεῖται τὸ ἦθος τῶν ἀδελφῶν. Ἀνῃρημένης οὖν τῆς αἰτίας δι' ἣν ἀπηγόρευσε τὴν ἀμφοτέρων συνοίκησιν τί τὸ κωλύον ἔσται λαμβάνειν τὰς ἀδελφάς; Ἀλλ' οὐ γέγραπται ταῦτα, φήσομεν. Ἀλλ' οὐδὲ ἐκεῖνα ὥρισται. Ἡ δὲ ἔννοια τοῦ ἀκολούθου ὁμοίως ἀμφοτέροις τὴν ἄδειαν δίδωσιν. Ἴδε δὲ μικρὸν ἐπὶ τὰ κατόπιν τῆς νομοθεσίας ἐπαναδραμόντα ἀπηλλάχθαι πραγμάτων. Ἔοικε γὰρ οὐ πᾶν εἶδος ἁμαρτημάτων περιλαμβάνειν ὁ νομοθέτης, ἀλλ' ἰδίως ἀπαγορεύειν τὰ τῶν Αἰγυπτίων, ὅθεν ἀπῆρεν ὁ Ἰσραήλ, καὶ τὰ τῶν Χαναναίων, πρὸς οὓς μεθίσταται. Ἔχει γὰρ οὕτως ἡ λέξις· «Κατὰ τὰ ἐπιτηδεύματα γῆς Αἰγύπτου, ἐν ᾗ παρῳκήσατε ἐπ' αὐτῆς, οὐ ποιήσετε· καὶ κατὰ τὰ ἐπιτηδεύματα γῆς Χαναάν, εἰς ἣν ἐγὼ εἰσάξω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε, καὶ τοῖς νομίμοις αὐτῶν οὐ πορεύσεσθε». Ὥστε τοῦτο εἰκός που τὸ εἶδος τῆς ἁμαρτίας μὴ ἐμπολιτεύεσθαι τότε παρὰ τοῖς ἔθνεσι· διὸ μηδὲ τῆς ἐπ' αὐτῷ φυλακῆς προσδεηθῆναι τὸν νομοθέτην, ἀλλ' ἀρκεσθῆναι τῷ ἀδιδάκτῳ ἔθει πρὸς τὴν τοῦ μίσους διαβολήν. Πῶς οὖν τὸ μεῖζον

---

4. Γαλ. 5,1.

5. Τὴν μετὰ τὸν θάνατον τῆς συζύγου σύνδεσιν μὲ τὴν ἀδελφήν της καὶ τήν, ζώσης αὐτῆς, σύνδεσιν.

θερίαν ἀπὸ τὰς νομικὰς δεσμεύσεις [4], ὅταν κάποια ἀπὸ τὰς νομικὰς διατάξεις φανῇ βαρεῖα.

Ἠρωτήθημεν, ἐὰν ἔχῃ γραφῇ νὰ λαμβάνῃ κανεὶς γυναῖκα τὴν ἀδελφὴν τῆς συζύγου του. Εἴπαμεν τὴν γνώμην μας, ποὺ εἶναι ἀναμφισβήτητος καὶ ἀληθής, ὅτι δὲν ἔχει γραφῇ. Τὸ νὰ συνάγῃ δὲ κανεὶς ἐκ τῆς ἀκολουθίας τοῦ λόγου τὸ ἀποσιωπηθὲν εἶναι ὑπόθεσις νομοθέτου, ὄχι τοῦ ἀναφέροντος τὰς διατάξεις τοῦ νόμου, καθ' ὅσον ἄλλως θὰ ἐπιτρέπεται εἰς τὸν ἐπιθυμοῦντα νὰ τολμήσῃ νὰ λάβῃ τὴν ἀδελφὴν τῆς συζύγου του καὶ ὅταν ζῇ αὐτὴ ἀκόμη. Πράγματι τὸ ἴδιον σόφισμα ἁρμόζει καὶ εἰς αὐτὴν τὴν περίπτωσιν, καθ' ὅσον ἔχει γραφῇ, ὅπως λέγει, «δὲν θὰ λάβῃς ἀντίζηλον», ὡσὰν νὰ μὴ ἠμπόδισε τάχα νὰ λάβῃ κανεὶς τὴν ἔξω τῆς ἀντιζηλείας. Ἐκεῖνος δὲ ποὺ συνηγορεῖ ὑπὲρ τοῦ πάθους θὰ ἀνακηρύξῃ ἀζηλότυπον τὸ ἦθος τῶν ἀδελφῶν. Ἂν λοιπὸν ἀρθῇ ἡ αἰτία διὰ τὴν ὁποίαν ἀπαγορεύει τὴν συνοίκησιν τῶν δύο, τί ἐμποδίζει νὰ λάβῃ τὰς ἀδελφάς; Αὐτὰ δὲν ἔχουν γραφῇ, θὰ εἴπωμεν· ἀλλὰ καὶ ἐκεῖνα δὲν ἔχουν διασαφηθῇ. Ἡ δὲ λογικὴ ἀκολουθία δίδει ἄδειαν καὶ διὰ τὰ δύο εἴδη ἑνώσεως [5].

Φαίνεται ὅμως ὅτι ὁ νομοθέτης δὲν περιλαμβάνει κάθε εἶδος ἁμαρτήματος, ἀλλ' ἰδίως ἀπαγορεύει τὰ ἐπικρατοῦντα μεταξὺ τῶν Αἰγυπτίων, ἀπὸ τοὺς ὁποίους ἀνεχώρησεν ὁ Ἰσραήλ, καὶ τῶν Χαναναίων πρὸς τοὺς ὁποίους μετέβαινεν. Τὸ σχετικὸν δὲ χωρίον ἔχει ὡς ἑξῆς· «Δὲν θὰ πράξετε κατὰ τὰ ἔθιμα τῆς γῆς Αἰγύπτου, εἰς τὴν ὁποίαν παροικήσατε· καὶ δὲν θὰ πράξετε κατὰ τὰ ἔθιμα τῆς γῆς Χαναάν, εἰς τὴν ὁποίαν θὰ σᾶς εἰσαγάγω ἐγώ, καὶ δὲν θὰ περιπατήσετε κατὰ τοὺς νόμους των» [6]. Ὥστε εἶναι πολὺ πιθανὸν ὅτι τοῦτο τὸ εἶδος τῆς ἁμαρτίας δὲν ἐπικρατοῦσε τότε μεταξὺ τῶν ἐθνικῶν· διὰ τοῦτο ὁ νομοθέτης δὲν ἐχρειάσθη νὰ σημειώσῃ προφύλαξιν ἀπὸ αὐτό, ἀλλ' ἠρκέσθη εἰς τὸ ἀδίδακτον ἔθιμον διὰ τὴν ἀπόρριψιν τοῦ

---

6. Λευϊτ. 18,3.

ἀπαγορεύσας τὸ ἔλαττον ἐσιώπησεν; Ὅτι ἐδόκει πολλοὺς τῶν φιλοσάρκων, πρὸς τὸ ζώσαις ἀδελφαῖς συνοικεῖν, τὸ ὑπόδειγμα βλάπτειν τοῦ πατριάρχου. Ἡμᾶς δὲ τί χρὴ ποιεῖν; Τὰ γεγραμμένα λέγειν ἢ τὰ σιωπηθέντα προσεξεργάζεσθαι; Αὐτίκα τὸ μὴ δεῖν μιᾷ ἑταίρᾳ κεχρῆσθαι πατέρα καὶ υἱὸν ἐν μὲν τοῖς νόμοις τούτοις οὐ γέγραπται, παρὰ δὲ τῷ προφήτῃ μεγίστης κατηγορίας ἠξίωται. «Υἱὸς γάρ, φησί, καὶ πατὴρ πρὸς τὴν αὐτὴν παιδίσκην εἰσεπορεύοντο». Πόσα δὲ εἴδη ἄλλα τῶν ἀκαθάρτων παθῶν τὸ μὲν τῶν δαιμόνων διδασκάλιον ἐξεῦρεν, ἡ δὲ θεία Γραφὴ ἀπεσιώπησε, τὸ σεμνὸν ἑαυτῆς ταῖς τῶν αἰσχρῶν ὀνομασίαις καταρρυπαίνειν οὐχ αἱρουμένη, ἀλλὰ γενικοῖς ὀνόμασι τὰς ἀκαθαρσίας διέβαλεν; Ὡς καὶ ὁ ἀπόστολος Παῦλός φησι· «Πορνεία δὲ καὶ ἀκαθαρσία πᾶσα μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις», τῷ τῆς ἀκαθαρσίας ὀνόματι τάς τε τῶν ἀρρένων ἀρρητοποιίας καὶ τὰς τῶν θηλειῶν περιλαμβάνων. Ὥστε οὐ πάντως ἡ σιωπὴ ἄδειαν φέρει τοῖς φιληδόνοις.

4. Ἐγὼ δὲ οὐδὲ σεσιωπῆσθαι τὸ μέρος τοῦτό φημι, ἀλλὰ καὶ πάνυ σφοδρῶς ἀπηγορευκέναι τὸν νομοθέτην. Τὸ γὰρ «Οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου, ἀποκαλύψαι ἀσχημοσύνην αὐτῶν» ἐμπεριεκτικόν ἐστι καὶ τούτου τοῦ εἴδους τῆς οἰκειότητος. Τί γὰρ ἂν γένοιτο οἰκειότερον ἀνδρὶ τῆς ἑαυτοῦ γυναικός, μᾶλλον δὲ τῆς ἑαυτοῦ σαρκός; Οὐ γὰρ ἔτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία. Ὥστε διὰ τῆς γυναικὸς ἡ ἀδελφὴ πρὸς τὴν τοῦ ἀνδρὸς οἰκειότητα μεταβαίνει. Ὡς γὰρ μητέρα γυναικὸς οὐ λήψεται οὐδὲ θυγατέρα τῆς γυναικός, διότι μηδὲ τὴν ἑαυτοῦ μητέρα μηδὲ

7. Τοῦ Ἰακώβ, ὁ ὁποῖος εἶχε συζύγους δύο ἀδελφάς, τὴν Λείαν καὶ τὴν Ραχήλ.

8. Ἀμὼς 2,7.

9. Ἐφεσ. 5,3.

βδελύγματος. Πῶς λοιπόν, ἐνῷ ἀπηγόρευσε τὸ μεῖζον, ἀπεσιώπησε τὸ ἔλαττον; Διότι ἔβλεπεν ὅτι τὸ ὑπόδειγμα τοῦ πατριάρχου [7] παρεκινοῦσε πολλοὺς φιλοσάρκους νὰ συνοικοῦν μὲ ζώσας ἀδελφάς.

Ἡμεῖς δὲ τί πρέπει νὰ κάνωμεν; Νὰ λέγωμεν τὰ γραμμένα ἢ νὰ ἀναζητῶμεν τὰ ἀποσιωπηθέντα; Ἔχομεν παράδειγμα. Εἰς μὲν τοὺς νόμους δὲν εἶναι γραμμένον ὅτι δὲν πρέπει νὰ χρησιμοποιοῦν τὴν ἰδίαν πόρνην πατέρας καὶ υἱός, ἀλλὰ εἰς τὸν προφήτην τοῦτο θεωρεῖται ὡς σπουδαιοτάτη παράβασις. Διότι λέγει, «υἱὸς καὶ πατέρας εἰσήρχοντο εἰς τὴν ἰδίαν πόρνην» [8]. Πόσα δὲ ἄλλα εἴδη τῶν ἀκαθάρτων παθῶν, τὸ μὲν σχολεῖον τῶν δαιμόνων ἐφεῦρεν, ἡ δὲ θεία Γραφὴ ἀπεσιώπησε, διὰ νὰ μὴ καταρρυπάνῃ τὴν σεμνότητά της μὲ τὰς αἰσχρὰς ὀνομασίας, ἀλλὰ πάντως ἀπεδοκίμασε τὰς ἀκαθαρσίας μὲ γενικοὺς ὅρους; Ὅπως λέγει καὶ ὁ ἀπόστολος Παῦλος· «πορνεία δὲ καὶ κάθε εἶδους ἀκαθαρσία οὔτε νὰ ἀναφέρεται κατ' ὄνομα μεταξύ σας, ὅπως ἁρμόζει εἰς τοὺς ἁγίους» [9], περιλαμβάνων εἰς τὰς ἀκαθαρσίας καὶ τὰς ἀκατονομάστους πράξεις τῶν ἀρρένων μεταξύ των, ὡς καὶ τὰς τῶν θηλειῶν. Ὥστε ἡ σιωπὴ δὲν δίδει ἀπαραιτήτως ἐλευθερίαν εἰς τοὺς φιληδόνους.

4. Ἐγὼ δὲ λέγω ὅτι οὔτε κἂν ἀπεσιωπήθη ἡ παράβασις αὐτή, ἀλλὰ καὶ ἀπηγορεύθη αὐστηρῶς ἀπὸ τὸν νομοθέτην. Διότι τὸ «δὲν θὰ εἰσέλθῃς πρὸς οἱανδήποτε συγγενῆ σου κατὰ σάρκα, μὲ σκοπὸν νὰ ἀποκαλύψῃς τὴν γυμνότητά της» [10], περιλαμβάνει καὶ τοῦτο τὸ εἶδος τῆς οἰκειότητος. Πράγματι τί ἠμπορεῖ νὰ εἶναι συγγενέστερον εἰς ἕνα ἄνδρα ἀπὸ τὴν γυναῖκά του, μᾶλλον δὲ ἀπὸ τὴν ἰδίαν τὴν σάρκα του; Καθ' ὅσον δὲν εἶναι πλέον δύο, ἀλλὰ μία σάρξ [11]. Ὥστε ἡ ἀδελφὴ διὰ τῆς γυναικὸς ὑπεισέρχεται εἰς τὴν συγγένειαν τοῦ ἀνδρός. Ὅπως δηλαδὴ οὔτε τὴν μητέρα τῆς συζύγου του οὔτε τὴν θυγατέρα τῆς συζύγου του δὲν πρέπει νὰ λάβῃ, διότι οὔτε τὴν ἰδικήν του

10. Λευϊτ. 18,6.
11. Ματθ. 19,5 ἑ. Ἐφεσ. 5,31.

τὴν ἑαυτοῦ θυγατέρα, οὕτως οὐδ' ἀδελφὴν γυναικός, διότι μηδὲ ἀδελφὴν ἑαυτοῦ. Καὶ τοῦτο ἀνάπαλιν οὐδὲ τῇ γυναικὶ ἐξέσται τοῖς οἰκείοις τοῦ ἀνδρὸς συνοικεῖν. Κοινὰ γὰρ ἐπ' ἀμφοτέρων τῆς συγγενείας τὰ δίκαια. Ἐγὼ δὲ παντὶ τῷ περὶ γάμου βουλευομένῳ διαμαρτύρομαι ὅτι παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου καὶ ὁ καιρὸς συνεσταλμένος ἐστίν, «Ἵνα καὶ οἱ ἔχοντες γυναῖκες ὡς μὴ ἔχοντες ὦσιν». Ἐὰν δέ μοι παραναγινώσκῃ τὸ «Αὐξάνεσθε καὶ πληθύνεσθε», καταγελῶ τοῦ τῶν νομοθεσιῶν τοὺς καιροὺς μὴ διακρίνοντος. Πορνείας παραμυθία ὁ δεύτερος γάμος, οὐχὶ ἐφόδιον εἰς ἀσέλγειαν. Εἰ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν, φησί· οὐχὶ δὲ καὶ γαμοῦντες παρανομείτωσαν.

5. Οἱ δὲ οὐδὲ πρὸς τὴν φύσιν ἀποβλέπουσιν, οἱ τὴν ψυχὴν λημῶντες τῷ πάθει τῆς ἀτιμίας, πάλαι διακρίνασαν τὰς τοῦ γένους προσηγορίας. Ἐκ ποίας συγγενείας τοὺς γεννηθέντας προσαγορεύσουσιν; Ἀδελφοὺς αὐτοὺς ἀλλήλων ἢ ἀνεψιοὺς προσεροῦσιν; Ἀμφότερα γὰρ αὐτοῖς προσαρμόσει διὰ τὴν σύγχυσιν. Μὴ ποήσῃς, ὦ ἄνθρωπε, τὴν θείαν μητρυιὰν τῶν νηπίων, μηδὲ τὴν ἐν μητρὸς τάξει θάλπειν ὀφείλουσαν, ταύτην ἐφοπλίσῃς ταῖς ἀμειλίκτοις ζηλοτυπίαις. Μόνον γὰρ τὸ μῖσος τῶν μητρυιῶν καὶ μετὰ θάνατον ἐλαύνει τὴν ἔχθραν, μᾶλλον δὲ οἱ μὲν ἄλλως πολέμιοι τοῖς τεθνηκόσι σπένδονται, αἱ δὲ μητρυιαὶ τοῦ μίσους μετὰ τὸν θάνατον ἄρχονται. Κεφάλαιον δὲ τῶν εἰρημένων, εἰ μὲν νόμῳ ὁρμᾶται πρὸς τὸν γάμον, ἤνοικται πᾶσα ἡ οἰκουμένη· εἰ δὲ ἐμπαθὴς αὐτῷ ἡ σπουδή, διὰ τοῦτο καὶ πλέον ἀποκλεισθήτω, «Ἵνα μάθῃ τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ, μὴ ἐν πάθει

---

12. Α' Κορ. 7,29·31.
13. Α' Κορ. 7,29.
14. Γέν. 9,1.
15. Α' Κορ. 7,9.

μητέρα οὔτε τὴν ἰδικήν του θυγατέρα ἐπιτρέπεται, οὕτως οὔτε τὴν ἀδελφὴν τῆς γυναικός, καθ' ὅσον οὔτε τὴν ἰδικήν του ἀδελφὴν ἐπιτρέπεται. Καὶ ἀντιστρόφως οὔτε εἰς τὴν γυναῖκα ἐπιτρέπεται νὰ συνοικῇ μὲ τοὺς συγγενεῖς τοῦ ἀνδρός της. Διότι τὰ δίκαια καὶ τῶν δύο εἶναι κοινά.

Ἐγὼ δὲ εἰς ὅλους ὅσοι σκέπτονται τὸ ζήτημα τοῦ γάμου δηλώνω ὅτι τὸ σχῆμα τοῦ κόσμου τούτου περνᾷ καὶ οἱ καιροὶ ἔχουν συντομευθῆ[12], «ὥστε καὶ οἱ ἔχοντες γυναῖκας νὰ εἶναι ὡσὰν ἐκεῖνοι ποὺ δὲν ἔχουν»[13]. Ἐὰν δὲ κανεὶς μοῦ ἀναφέρῃ τὸ «αὐξάνεσθε καὶ πληθύνεσθε»[14], γελῶ μαζί του ποὺ δὲν ἠμπορεῖ νὰ διακρίνῃ τοὺς καιροὺς εἰς τοὺς ὁποίους ἀναφέρονται αἱ νομοθεσίαι. Ὁ δεύτερος γάμος εἶναι φάρμακον διὰ τὴν πορνείαν, ὄχι ἐφόδιον πρὸς ἀσέλγειαν. Ἐὰν δὲν ἠμποροῦν νὰ μείνουν ἐγκρατεῖς, λέγει, ἂς ὑπανδρευθοῦν[15]· δὲν λέγει ὅμως, ἂς παρανομοῦν μὲ τὸν γάμον των.

5. Ἐκεῖνοι δὲ ποὺ ἔχουν τυφλωμένην τὴν ψυχὴν ἀπὸ τὸ πάθος τῆς ἀτιμίας δὲν κυττάζουν οὔτε πρὸς τὴν φύσιν, ἡ ὁποία διέκρινεν ἀνέκαθεν τὰ ὀνόματα τῆς συγγενείας. Ἀπὸ ποίαν συγγένειαν θὰ ὀνομάσουν τοὺς γεννωμένους εἰς αὐτὴν τὴν περίπτωσιν; Θὰ τοὺς εἴπουν ἀδελφοὺς μεταξύ των ἢ ἐξαδέλφους; Λόγῳ τῆς συγχύσεως τοὺς ἁρμόζουν καὶ τὰ δύο. Μὴ καταστήσῃς, ὦ ἄνθρωπε, μητρυιὰν τῶν νηπίων τὴν θείαν των καὶ μὴ ἐξοπλίσῃς μὲ ἀμειλίκτους ζηλοτυπίας αὐτὴν ποὺ πρέπει νὰ περιθάλπῃ τὰ παιδιὰ ὡς μητέρα. Τὸ μῖσος τῶν μητρυιῶν εἶναι τὸ μόνον ποὺ καὶ μετὰ θάνατον ὑποκινεῖ τὴν ἔχθραν, μᾶλλον δὲ οἱ μὲν κατ' ἄλλον τρόπον ἀντίπαλοι συμφιλιώνονται μὲ τοὺς ἀποθανόντας, αἱ δὲ μητρυιαὶ ἀρχίζουν τὸ μῖσος μετὰ θάνατον.

Συμπέρασμα δὲ τῶν εἰρημένων εἶναι· ἐὰν μὲν αὐτὸς ὁ ἄνθρωπος κινεῖται πρὸς ἕνα νόμιμον γάμον, ὅλη ἡ οἰκουμένη τοῦ εἶναι ἀνοικτή· ἐὰν δὲ ἡ βιασύνη του ὀφείλεται εἰς πάθος, τόσον περισσότερον ἂς ἀποκλεισθῇ διὰ τοῦτο, «διὰ νὰ μάθῃ νὰ ἀποκτήσῃ τὸ σκεῦός του μὲ ἁγιασμόν, ὄχι μὲ τὸ πάθος τοῦ πόθου»[16].

16. Α' Θεσσ. 4,4.

ἐπιθυμίας». Πλείονά με λέγειν ὡρμημένον τὸ μέτρον ἐπέχει τῆς ἐπιστολῆς. Εὔχομαι δὲ ἢ τὴν παραίνεσιν ἡμῶν ἰσχυροτέραν τοῦ πάθους ἀποδειχθῆναι ἢ μὴ ἐπιδημῆσαι τῇ ἡμετέρᾳ τὸ ἄγος τοῦτο, ἀλλ' ἐν οἷς ἂν ἐτολμήθη τόποις ἐναπομεῖναι.

243

53. ΧΩΡΕΠΙΣΚΟΠΟΙΣ

1. Τὸ τοῦ πράγματος ἄτοπον περὶ οὗ γράφω, διότι μὲν ὅλως ὑπωπτεύθη καὶ ἐλαλήθη, ὀδύνης ἐπλήρωσέ μου τὴν ψυχήν, τέως δὲ ἐφάνη μοι ἄπιστον. Τὸ οὖν περὶ αὐτοῦ γράμμα, ὃ μὲν συνεγνωκὼς ἑαυτῷ δεξάσθω ὡς ἴαμα, ὃ δὲ μὴ συνεγνωκὼς ὡς προφυλακτήριον, ὃ δὲ ἀδιάφορος, ὅπερ ἀπεύχομαι ἐφ' ὑμῖν εὑρεθῆναι, ὡς διαμαρτυρίαν. Τί δέ ἐστιν ὃ λέγω; Φασί τινές τινας ὑμῶν παρὰ τῶν χειροτονουμένων λαμβάνειν χρήματα, ἐπισκιάζειν δὲ ὀνόματι εὐσεβείας. Τοῦτο δὲ χεῖρόν ἐστιν. Ἐὰν γάρ τις τὸ κακὸν ἐν προσχήματι τοῦ ἀγαθοῦ ποιῇ, διπλασίονος τιμωρίας ἐστὶν ἄξιος, διότι αὐτό τε τὸ οὐκ ἀγαθὸν ἐργάζεται καὶ κέχρηται εἰς τὸ τελέσαι τὴν ἁμαρτίαν, ὡς ἂν εἴποι τις, τῷ καλῷ συνεργῷ. Ταῦτα εἰ οὕτως ἔχει, τοῦ λοιποῦ μὴ γινέσθω, ἀλλὰ διορθωθήτω, ἐπεὶ ἀνάγκη λέγειν πρὸς τὸν δεχόμενον τὸ ἀργύριον ὅπερ ἐρρήθη παρὰ τῶν ἀποστόλων πρὸς τὸν θέλοντα δοῦναι, ἵνα Πνεύματος Ἁγίου μετουσίαν ὠνήσηται· «Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν». Κουφότερος γὰρ ὁ δι' ἀπειρίαν ὠνήσασθαι θέλων,

---

Ἐπιστολὴ 53. Ἐγράφη εἰς τὴν ἀρχὴν τῆς ἀρχιερατείας, ἴσως τὸ 370, μὲ σκοπὸν νὰ σταματήσῃ τὸ ἄτοπον τῆς λήψεως χρημάτων ἀπὸ τοὺς χειροτονουμένους. Οἱ χωρεπίσκοποι τὴν ἐποχὴν ἐκείνην, ὅπως καὶ οἱ ἐπίσκοποι ἄλλωστε, ἦσαν ἄμισθοι.

Ἂν καὶ εἶχα τὴν πρόθεσιν νὰ εἴπω περισσότερα, μ' ἐμποδίζει τὸ μέτρον τῆς ἐπιστολῆς. Εὔχομαι δὲ ἡ ἡ παραίνεσίς μας νὰ ἀποδειχθῇ ἰσχυροτέρα τοῦ πάθους ἢ τὸ ἄγος τοῦτο νὰ μὴ ἐπεκταθῇ εἰς τὴν περιοχήν μας, ἀλλὰ νὰ περιορισθῇ εἰς τὸν τόπον ὅπου ἀπετολμήθη.

243

ΕΠΙΣΤΟΛΗ 53
ΠΡΟΣ ΧΩΡΕΠΙΣΚΟΠΟΥΣ

1. Τὸ ἄτοπον τοῦ πράγματος περὶ τοῦ ὁποίου σᾶς γράφω, καὶ μόνον διότι ἔδωσεν ὑποψίας καὶ ἀνεφέρθη, ἐγέμισεν ὀδύνην τὴν ψυχήν μου, ἕως τώρα δὲ μοῦ ἐφάνη ἀπίστευτον. Τὸ γράμμα λοιπὸν περὶ αὐτοῦ, ὅποιος ἔχει τὴν συνείδησιν ἐνοχῆς ἂς τὸ δεχθῇ ὡς ἰατρικόν, ὅποιος δὲν ἔχει τοιαύτην συνείδησιν, ὡς προφυλακτικόν, ὁ δὲ ἀδιάφορος, κάτι ποὺ ἀπεύχομαι νὰ εὑρεθῇ μεταξύ σας, ὡς διαμαρτυρίαν.

Τί δὲ εἶναι αὐτὸ ποὺ λέγω; Λέγουν μερικοὶ ὅτι κάποιοι ἀπὸ σᾶς λαμβάνουν χρήματα ἀπὸ τοὺς χειροτονουμένους καλύπτοντες τὴν πρᾶξιν αὐτὴν μὲ ἕνα πρόσχημα εὐσεβείας. Τοῦτο δὲ εἶναι χειρότερον. Πράγματι ἐὰν κανεὶς ἐνεργῇ τὸ κακόν μὲ τὸ πρόσχημα τοῦ ἀγαθοῦ, εἶναι ἄξιος διπλασίας τιμωρίας, διότι καὶ τὸ μὴ ἀγαθὸν καθ' ἑαυτὸ διαπράττει καὶ διὰ τὴν τέλεσιν τῆς ἁμαρτίας χρησιμοποιεῖ, θὰ ἐλέγαμεν, τὸ καλὸν ὡς συνεργόν. Ἐὰν αὐτὰ ἔχουν οὕτως, εἰς τὸ ἑξῆς νὰ μὴ γίνωνται, ἀλλὰ νὰ διορθωθοῦν, ἐπειδὴ εἶναι ἀνάγκη νὰ λεχθῇ πρὸς τὸν δεχόμενον τὸ ἀργύριον ὅ,τι ἐλέχθη ἀπὸ τοὺς ἀποστόλους πρὸς τὸν θέλοντα νὰ δώσῃ, διὰ ν' ἀγοράσῃ τὴν μετοχὴν τοῦ Ἁγίου Πνεύματος· «Τὸ ἀργύριόν σου ν' ἀπολεσθῇ μαζὶ μὲ σέ»[1]. Ἐλαφρότερος δὲ εἶναι ὁ ἀπὸ ἀπειρίαν θέλων ν' ἀγοράσῃ τὴν

1. Πράξ. 8, 20. Ὁ Σίμων ὁ μάγος ἤθελε ν' ἀγοράσῃ μὲ χρήματα τὴν θείαν χάριν, ἀλλ' ἡ προσφορά του ἀπεκρούσθη ἀπὸ τοὺς ἀποστόλους. Ἀπὸ αὐτὴν τὴν προσπάθειαν προέκυψεν ἡ χρῆσις τῆς λέξεως σιμωνία.

ἢ ὁ πιπράσκων τὴν τοῦ Θεοῦ δωρεάν. Πρᾶσις γὰρ ἐγένετο, καί, ὃ σὺ δωρεὰν ἔλαβες, ἐὰν πωλῇς, ὡσανεὶ πεπραμένος τῷ σατανᾷ ἀφαιρεθήσῃ τοῦ χαρίσματος. Καπηλείαν γὰρ ἐπεισάγεις τοῖς πνευματικοῖς καὶ τῇ Ἐκκλησίᾳ, ἔνθα πεπιστεύμεθα σῶμα καὶ αἷμα Χριστοῦ. Ταῦτα οὕτω γίνεσθαι οὐ χρή. Ὃ δέ ἐστι τὸ τέχνασμα, λέγω. Νομίζουσι μὴ ἁμαρτάνειν τῷ μὴ προλαμβάνειν, ἀλλὰ μετὰ τὴν χειροτονίαν λαμβάνειν. Λαβεῖν δὲ ἔστιν ὅτε δή ποτε τὸ λαβεῖν.

2. Παρακαλῶ οὖν, ταύτην τὴν πρόσοδον, μᾶλλον δὲ τὴν προσαγωγὴν τὴν ἐπὶ γέενναν ἀπόθεσθε, καὶ μή, τὰς χεῖρας μολύναντες τοιούτοις λήμμασιν, ἑαυτοὺς ἀναξίους ποιήσητε τοῦ ἐπιτελεῖν ἅγια μυστήρια. Σύγγνωτε δέ μοι. Πρῶτον μὲν ὡς ἀπιστήσας, εἶτα δὲ ὡς πεισθεὶς ἀπειλῶ. Εἴ τις μετὰ ταύτην μου τὴν ἐπιστολὴν πράξειέ τι τοιοῦτον, τῶν μὲν ἐνταῦθα θυσιαστηρίων ἀναχωρήσει, ζητήσει δὲ ἔνθα τὴν τοῦ Θεοῦ δωρεὰν ἀγοράζων μεταπωλεῖν δύναται. Ἡμεῖς γὰρ καὶ αἱ Ἐκκλησίαι τοῦ Θεοῦ τοιαύτην συνήθειαν οὐκ ἔχομεν. Ἓν δὲ προσθεὶς παύσομαι. Διὰ φιλαργυρίαν γίνεται ταῦτα. Ἡ δὲ φιλαργυρία καὶ ῥίζα πάντων τῶν κακῶν ἐστι καὶ ὀνομάζεται εἰδωλολατρία. Μὴ οὖν τοῦ Χριστοῦ προτιμήσητε τὰ εἴδωλα διὰ μικρὸν ἀργύριον, μηδὲ πάλιν τὸν Ἰούδαν μιμήσησθε, λήμματι προδιδόντες δεύτερον τὸν ἅπαξ ὑπὲρ ἡμῶν σταυρωθέντα. Ἐπεὶ καὶ τὰ χωρία καὶ αἱ χεῖρες τῶν τοὺς καρποὺς τούτους δεχομένων Ἀκελδαμὰ κληθήσονται.

2. Κολασ. 3, 5.

χάριν τοῦ Θεοῦ παρὰ ὁ πωλῶν αὐτὴν. Ἔγινε δὲ πώλησις, καὶ ἐὰν ἐσὺ πωλῇς αὐτὸ ποὺ ἔλαβες δωρεάν, θὰ θεωρηθῇς ὡσὰν πωλημένος εἰς τὸν Σατανᾶν καὶ θὰ σοῦ ἀφαιρεθῇ τὸ χάρισμα. Εἰσάγεις δηλαδὴ καπηλείαν εἰς τὰ πνευματικὰ καὶ τὴν Ἐκκλησίαν, ὅπου ἔχομεν λάβει ὡς ἀπόθεμα τὸ σῶμα καὶ αἷμα τοῦ Χριστοῦ. Αὐτὰ δὲν πρέπει νὰ συμβαίνουν. Θέλω δὲ νὰ εἴπω ποῖον εἶναι τὸ τέχνασμά των. Νομίζουν ὅτι δὲν ἁμαρτάνουν, ὅταν δὲν τὰ λαμβάνουν ἀπὸ πρὶν ἀλλὰ μετὰ τὴν χειροτονίαν. Ὅμως ἡ λῆψις εἶναι λῆψις ὁποτεδήποτε καὶ ἂν πραγματοποιηθῇ.

2. Παρακαλῶ λοιπὸν νὰ ἐγκαταλείψετε αὐτὸ τὸ ἔσοδον, μᾶλλον αὐτὴν τὴν προσαγωγὴν εἰς τὴν γέενναν, καὶ μὴ κάμετε τοὺς ἑαυτούς σας ἀναξίους νὰ τελῆτε τὰ ἅγια μυστήρια, μολύνοντες τὰς χεῖρας μὲ τοιαύτας ἀποδοχάς. Καὶ νὰ μὲ συγχωρήσετε. Πρῶτον μὲν δὲν εἶχα πιστεύσει τὸ ἄκουσμα, ἔπειτα δὲ τὸ ἐπίστευσα, καὶ σᾶς ἀπειλῶ. Ἐὰν κανεὶς μετὰ τὴν ἐπιστολὴν μου αὐτὴν κάμῃ κάτι τέτοιον, ἀπὸ τὰ ἐδῶ μὲν θυσιαστήρια θ' ἀναχωρήσῃ, ἂς ζητήσῃ δὲ ποῦ ἠμπορεῖ ν' ἀγοράζῃ καὶ νὰ μεταπωλῇ τὴν δωρεὰν τοῦ Θεοῦ. Ἡμεῖς καὶ αἱ Ἐκκλησίαι τοῦ Θεοῦ δὲν ἔχομεν τοιαύτην συνήθειαν. Ἀφοῦ δὲ προσθέσω ἕνα ἀκόμη, θὰ σταματήσω. Αὐτὰ γίνονται ἀπὸ φιλαργυρίαν. Ἡ δὲ φιλαργυρία καὶ ρίζα ὅλων τῶν κακῶν εἶναι καὶ ὀνομάζεται εἰδωλολατρία [2]. Μὴ λοιπὸν δι' ὀλίγον ἀργύριον προτιμήσετε ἀντὶ τοῦ Χριστοῦ τὰ εἴδωλα καὶ μὴ μιμηθῆτε ἐπίσης τὸν Ἰούδαν, προδίδοντες διὰ δευτέραν φορὰν τὸν ἅπαξ σταυρωθέντα ὑπὲρ ἡμῶν, διότι καὶ αἱ τοποθεσίαι καὶ αἱ χεῖρες τῶν δεχομένων τοὺς καρποὺς τούτους θὰ ὀνομασθοῦν Ἀκελδαμά [3].

---

3. Ἀκελδαμὰ σημαίνει χωρίον αἵματος. Οὕτως ὠνομάσθη ὁ ἀγρὸς τὸν ὁποῖον ἠγόρασεν ὁ Ἰούδας μὲ τὰ τριάκοντα ἀργύρια. Πράξ. 1, 19.

244

290. ΝΕΚΤΑΡΙΩ

Πολλὰ ἀγαθὰ γένοιτο τοῖς κινοῦσι τὴν τιμιότητά σου πρὸς τὴν συνεχῆ ὁμιλίαν ἡμῶν διὰ τοῦ γράμματος. Μὴ γὰρ οἴου συνηθείας ἕνεκεν λέγεσθαι παρ' ἡμῶν τὰ τοιαῦτα, ἀλλὰ ἐκ διαθέσεως ἀληθινῆς πλείστου ἀξίαν τίθεσθαι ἡμᾶς τὴν φωνήν σου. Τί γὰρ ἂν ἐμοὶ Νεκταρίου γένοιτο τιμιώτερον, τοῦ ἐκ παιδὸς μὲν ἀπὸ τῶν καλλίστων ἡμῖν γνωρισθέντος, νῦν δὲ ἐκ παντοίας ἀρετῆς εἰς τοσοῦτο περιφανείας ἀναδραμόντος; Ὥστε μοι φίλων ἁπάντων φίλτατος ὁ σά μοι γράμματα διαφέρων. Περὶ μέντοι τῆς τῶν προστησομένων τῆς συμμορίας ἐκλογῆς, εἰ μὲν ἀνθρώποις χαριζόμενος ἢ ἱκεσίαις ἐνδιδοὺς ἢ φόβῳ εἴκων ποιῶ τι, μήτε ταυτὶ ποιήσαιμι. Οὐ γὰρ οἰκονόμος, ἀλλὰ κάπηλος ἔσομαι τὴν δωρεὰν τοῦ Θεοῦ πρὸς ἀνθρωπίνας φιλίας διαμειβόμενος. Εἰ δὲ αἱ μὲν διδόμεναι ψῆφοι παρὰ ἀνθρώπων δίδονται ἐκ τῆς ἔξωθεν ἐπιφανείας μαρτυρεῖν ἐχόντων ἅπερ ἂν μαρτυρῶσιν, αἱ δὲ κρίσεις τῶν ἐπιτηδειοτέρων τῷ εἰδότι τὰ ἀπόρρητα τῶν καρδιῶν παρὰ τῆς ἡμετέρας ταπεινώσεως ἐπιτρέπονται, τάχα τῷ παντὶ βέλτιον, καταθέμενον τὴν μαρτυρίαν σπουδῆς μὲν καὶ διαστάσεως πάσης ὡς ὑπὲρ οἰκείων τῶν μαρτυρηθέντων ἀφίστασθαι, προσεύχεσθαι δὲ τῷ Θεῷ μὴ λαθεῖν τὸ συμφέρον. Οὕτω γὰρ οὐκέτι ἄνθρωπον τῆς ἐφ' ἑκάτερα ἐκβάσεως αἰτιασόμεθα, ἀλλὰ τῷ Θεῷ τὴν χάριν τῶν

Ἐπιστολὴ 290. Ἐγράφη κατὰ τὴν διάρκειαν τῆς ἀρχιερατείας τοῦ Βασιλείου. Ὁ Νεκτάριος οὗτος ἴσως πρέπει νὰ ταυτιστῇ μὲ τὸν ἀναφερόμενον εἰς τὰς ἐπιστολὰς 5 καὶ 6 Β΄τ., ἤτοι τὸν μετέπειτα ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως (381 - 397). Συνιστοῦσεν εἰς τὸν Βασίλειον κάποιον πρόσωπον διὰ τὴν θέσιν χωρεπισκόπου, ἀλλ' αὐτὸς τονίζει ὅτι ἡ τελικὴ ἐκλογὴ πρέπει ν' ἀνατίθεται εἰς τὸν Θεόν, νὰ ζητῆται δηλαδὴ διὰ προσευχῆς ἡ φώτισις παρὰ τοῦ Θεοῦ.

244

ΕΠΙΣΤΟΛΗ 290
ΠΡΟΣ ΤΟΝ ΝΕΚΤΑΡΙΟΝ

Εἴθε νὰ χορηγηθοῦν πολλὰ ἀγαθὰ εἰς τοὺς παρακινοῦντας τὴν τιμιότητά σου διὰ τὴν συνεχῆ ἐπικοινωνίαν ἡμῶν μέσῳ τῆς ἀλληλογραφίας. Μὴ νομίσῃς δὲ ὅτι αὐτὰ λέγομεν ἀπὸ συνήθειαν, ἀλλ' ἀπὸ εἰλικρινῆ διάθεσιν νὰ ἀποδίδωμεν μεγάλην ἀξίαν εἰς τὴν φωνήν σου. Τί θὰ ἠμποροῦσε νὰ εἶναι δι' ἐμὲ πολυτιμότερον ἀπὸ τὸν Νεκτάριον, ὁ ὁποῖος ἐγνωρίσθη ἀπὸ ἡμᾶς διὰ τὰ κάλλιστα προσόντα του ἀπὸ τὴν παιδικὴν ἡλικίαν, τώρα δὲ μὲ τὴν παντοειδῆ ἀρετήν του ἀνῆλθεν εἰς τόσον ὕψος λαμπρότητος; Ὥστε ὁ καλύτερος ἀπὸ ὅλους τοὺς φίλους εἶναι δι' ἐμὲ ἐκεῖνος ποὺ μοῦ μεταφέρει γράμματά σου.

Ὡς πρὸς τὴν ἐκλογὴν ὅμως διὰ τὴν ἀνάδειξιν προϊσταμένου τῆς περιοχῆς ἐκείνης, ἐὰν πρόκηται νὰ κάμω κάτι χαριζόμενος εἰς ἀνθρώπους ἢ ἐνδίδων εἰς ἱκεσίας ἢ ὑποχωρῶν ἀπὸ φόβον, εἴθε νὰ μὴ τὸ κάμω αὐτὸ ποτέ. Διότι τότε δὲν θὰ εἶμαι οἰκονόμος ἀλλὰ κάπηλος, ἀνταλλάσσων τὴν δωρεὰν τοῦ Θεοῦ μὲ ἀνθρωπίνας φιλίας. Ἐὰν δὲ αἱ μὲν διδόμεναι ψῆφοι δίδωνται ἀπὸ ἀνθρώπους ποὺ ἔχουν νὰ μαρτυρήσουν ὅ,τι ἠμποροῦν νὰ μαρτυρήσουν ἀπὸ τὴν ἐξωτερικὴν ἐμφάνισιν, αἱ δὲ ἐκλογαὶ τῶν καταλληλοτέρων ἀνατίθενται ἀπὸ τὴν ταπεινότητά μας εἰς τὸν γνώστην τῶν ἀπορρήτων τῶν καρδιῶν, ἴσως εἶναι προτιμότερον διὰ τὸν καθένα, ἀφοῦ καταθέσῃ τὴν μαρτυρίαν του, νὰ ἀπέχῃ μὲν κάθε φιλονικίας καὶ ἔριδος ὡσὰν νὰ ἦσαν συγγενεῖς του οἱ μαρτυρούμενοι, νὰ προσεύχεται δὲ εἰς τὸν Θεὸν νὰ μὴ μᾶς διαφύγῃ τὸ συμφέρον[1]. Οὕτω δὲ δὲν θὰ κατηγορήσωμεν κανένα ἄνθρωπον διὰ τὸ ὁποιονδήποτε ἀποτέλεσμα, ἀλλὰ θὰ ἀποδίδωμεν εὐγνωμοσύνην εἰς τὸν Θεὸν διὰ

1. Τὴν τελικὴν ἐκλογὴν θὰ ἔκαμεν ὁ Βασίλειος διὰ φωτίσεως τοῦ πνεύματός του ὑπὸ τοῦ Θεοῦ.

γινομένων εἰσόμεθα. Καίτοι εἰ κατὰ ἄνθρωπον γίνεται ταῦτα, οὐδὲ γίνεται, ἀλλὰ μίμησις μέν ἐστι τῆς ἀληθείας, αὐτῆς δὲ τῆς ἀληθείας πάμπληθες ἀπολείπεται. Σκέψαι δὲ ὅτι οὐδὲ μικρός τις παραπέπηγε κίνδυνος τῷ ἐκ παντὸς τρόπου τὸ ἑαυτοῦ κρατῆσαι φιλονικεῖν μή ποτε τῶν ἁμαρτανομένων ἐφ' ἑαυτοὺς ἑλκύσωμεν τὴν μερίδα. Πολλὰ γὰρ ἂν ἁμαρτηθείη καὶ παρὰ τῶν οὐκ ἂν προσδοκηθέντων ποτὲ διὰ τὸ εὔκολον τῆς ἀνθρωπίνης φύσεως. Εἶτα ἰδίᾳ μὲν τοῖς φίλοις συμβουλεύσαντες πολλάκις τὰ κράτιστα, κἂν ἀπίθανοι δόξωμεν τοῖς βουλευομένοις, οὐ χαλεπαίνομεν· ἐν οἷς δὲ οὐ βουλὴ ἀνθρώπων, ἀλλὰ κρίσις ἐστὶ Θεοῦ, μὴ καὶ τῶν τοῦ Θεοῦ κριμάτων προτιμηθέντες δυσχερανοῦμεν; Εἰ μὲν οὖν παρὰ ἀνθρώπων δίδοται, τί χρὴ παρ' ἡμῶν αἰτεῖν, ἀλλ' οὐχὶ αὐτὸν παρ' ἑαυτοῦ λαμβάνειν; Εἰ δὲ παρὰ Κυρίου, εὔχεσθαι προσῆκεν, ἀλλ' οὐχὶ ἀγανακτεῖν, καὶ ἐν τῇ εὐχῇ μὴ τὸ ἴδιον θέλημα αἰτεῖν, ἀλλ' ἐπιτρέπειν τῷ οἰκονομοῦντι τὸ συμφέρον Θεῷ. Ὁ δὲ Θεὸς ὁ ἅγιος ἀπαγάγοι πᾶσαν πεῖραν λυπηρῶν πραγμάτων ἀπὸ τοῦ οἴκου ὑμῶν, καὶ αὐτῷ τε σοὶ καὶ πᾶσι τοῖς προσήκουσί σοι ἄνοσον καὶ ἀβλαβῆ ἐν πάσῃ εὐθηνίᾳ τὸν βίον ἐπιμετρήσειεν.

245

282. ΠΡΟΣ ΕΠΙΣΚΟΠΟΝ

Μὴ καλούμενος ἐγκαλεῖς καὶ καλούμενος οὐχ ὑπακούεις. Ἐκ δὲ τῶν δευτέρων δῆλος εἶ καὶ τῇ προτέρᾳ σκήψει μάτην χρησάμενος. Οὐ γὰρ ἂν ἦκες, ἐκ τῶν εἰκότων, οὐδὲ τότε κληθείς. Ἐπά-

Ἐπιστολὴ 282. Ἐγράφη κατὰ τὸν χρόνον τῆς ἀρχιερατείας τοῦ Βασιλείου. Ὑπηρεσιακή.

τὰ γινόμενα. Ἐὰν ἀντιθέτως αὐτὰ γίνωνται κατ' ἀνθρωπίνην γνώμην, δὲν γίνονται κἄν, ἀλλὰ ἀποτελοῦν μίμησιν τῆς ἀληθείας, τῆς δὲ ἀληθείας τῆς ἰδίας ἀπέχουν ὑπερβολικά.

Σκέψου δὲ ὅτι μὲ τὸ νὰ προσπαθῶμεν μὲ κάθε τρόπον νὰ ἐπιβάλωμεν τὴν ἄποψίν μας δὲν παραστέκει μικρὸς κίνδυνος μὴ τυχὸν κάποτε ἐλκύσωμεν πλησίον μας τὴν μερίδα τῆς ἁμαρτίας. Διότι λόγῳ τῆς εὐκολίας τῆς ἀνθρωπίνης φύσεως εἶναι δυνατὸν νὰ γίνουν πολλαὶ ἁμαρτίαι, ἀκόμη ἀπὸ ἐκείνους ποὺ δὲν θὰ τὸ ἐπερίμενε κανεὶς ποτέ. Ἔπειτα, ἐὰν δι' ἰδιωτικὰ θέματα πολλάκις συνεβουλεύσαμεν τοὺς φίλους τὰ κράτιστα, καὶ ἂν φανῶμεν ἀπὸ τοὺς ζητοῦντας συμβουλὴν ὅτι δὲν εἴμεθα πειστικοί, δὲν δυσαρεστούμεθα· εἰς θέματα δέ, εἰς τὰ ὁποῖα δὲν ἔχει θέσιν βουλὴ ἀνθρώπων ἀλλὰ ἡ κρίσις τοῦ Θεοῦ, ἐὰν δὲν προτιμηθῶμεν τῶν κρίσεων τοῦ Θεοῦ, θὰ δυσανασχετήσωμεν; Ἐὰν τὸ ἀξίωμα δίδεται ἀπὸ ἀνθρώπους, διατί τὸ ζητεῖ ἀπὸ ἡμᾶς καὶ δὲν τὸ λαμβάνει μόνος του; Ἐὰν δὲ χορηγῆται ἀπὸ τὸν Κύριον, ἁρμόζει νὰ προσεύχεται καὶ νὰ μὴ ἀγανακτῇ, καὶ εἰς τὴν προσευχὴν νὰ μὴ ζητῇ τὸ ἰδικόν του θέλημα, ἀλλὰ νὰ ἀναθέτῃ τὴν κρίσιν εἰς τὸν Θεὸν ποὺ ρυθμίζει τὸ συμφέρον.

Εἴθε ὁ ἅγιος Θεὸς νὰ ἀπομακρύνῃ κάθε πεῖραν λυπηρῶν πραγμάτων ἀπὸ τὸν οἶκόν σας καὶ νὰ χαρίσῃ καὶ εἰς σὲ καὶ εἰς ὅλους τοὺς συγγενεῖς σου βίον ἄνοσον καὶ ἀβλαβῆ εἰς κάθε εὐημερίαν.

245

ΕΠΙΣΤΟΛΗ 282
ΠΡΟΣ ΕΠΙΣΚΟΠΟΝ

Ὅταν δὲν προσκαλῆσαι, παραπονεῖσαι, καὶ ὅταν προσκαλῆσαι, δὲν ὑπακούεις. Ἀπὸ τὴν στάσιν σου δὲ εἰς τὴν δευτέραν περίπτωσιν φανερώνεις ὅτι ἐπίσης κατὰ τὴν πρώτην ἐχρησιμοποίησες ματαίαν δικαιολογίαν. Τὸ πιθανώτερον εἶναι

κουσον οὖν καλοῦσι νῦν καὶ μὴ γένῃ πάλιν ἀγνώμων εἰδὼς ὡς ἐγκλήματι προστιθέμενον ἔγκλημα βεβαιοῖ καὶ πιστοτέραν ἐργάζεται τοῦ προτέρου τὴν κατηγορίαν τὸ δεύτερον. Ἀεὶ δέ σε καὶ ἡμῶν ἀνέχεσθαι παρακαλῶ· εἰ δὲ ἡμῶν οὐκ ἀνέχῃ, ἀλλ' οὐ τῶν μαρτύρων ἀμελῆσαι δίκαιον, ὧν ταῖς μνείαις κοινωνήσων καλῇ. Δὸς οὖν πρῶτον μὲν ἀμφοτέροις, εἰ δὲ τοῦτό σοι μὴ δοκεῖ, τοῖς γοῦν τιμιωτέροις τὴν χάριν.

246

295. ΜΟΝΑΖΟΥΣΙ

Ἡγοῦμαι μὲν μηδεμιᾶς ἑτέρας ὑμᾶς τῇ τοῦ Θεοῦ χάριτι παρακλήσεως δεῖσθαι μετὰ τοὺς λόγους οὓς δι' ἡμῶν αὐτῶν ἐποιησάμεθα πρὸς ὑμᾶς παρακαλοῦντες ὑμᾶς πάντας τὴν ἐπὶ τὸ αὐτὸ ζωὴν καταδέξασθαι εἰς μίμημα τῆς ἀποστολικῆς πολιτείας, δ καὶ ἐδέξασθε ὡς ἀγαθὸν δίδαγμα καὶ ηὐχαριστήσατε δι' αὐτὸ τῷ Κυρίῳ. Ἐπεὶ οὖν οὐχὶ ῥήματα ἦν τὰ παρ' ἡμῶν λαληθέντα, ἀλλὰ διδάγματα εἰς ἔργον προελθεῖν ὀφείλοντα ἐπὶ ὠφελείᾳ μὲν ὑμῶν τῶν ἀνεχομένων, ἐπ' ἀναπαύσει δὲ ἡμετέρᾳ τῶν ὑποθεμένων τὴν γνώμην, εἰς δόξαν δὲ καὶ ἔπαινον τοῦ Χριστοῦ οὗ τὸ ὄνομα ἐπικέκληται ἐφ' ἡμᾶς, τούτου χάριν ἀπέστειλα τὸν ποθεινότατον ἡμῶν ἀδελφόν, ἵνα καὶ τὸ πρόθυμον γνωρίσῃ καὶ τὸ νωθρὸν διεγείρῃ καὶ τὸ ἀντιτεῖνον φανερὸν ἡμῖν καταστήσῃ. Πολλὴ γὰρ ἡ

1. Εἰς τοὺς μάρτυρας. Πρόκειται περὶ προσκλήσεως εἰς τὴν πανήγυριν τοῦ μάρτυρος Εὐψυχίου καὶ τῆς συνοδείας του.

ὅτι δὲν θὰ ἤρχεσο, οὔτε τότε ἂν εἶχες προσκληθῆ. Λοιπὸν ὑπάκουσέ μας ποὺ σὲ καλοῦμεν τώρα καὶ μὴ γίνεσαι πάλιν ἄφρων, γνωρίζων ὅτι ἡ προσθήκη μιᾶς καταγγελίας ἐπιβεβαιώνει προηγουμένην καταγγελίαν καὶ ἡ δευτέρα καθιστᾷ περισσότερον πιστευτὴν τὴν προηγουμένην.

Σὲ παρακαλῶ δὲ νὰ ἀνέχεσαι καὶ ἡμᾶς· ἐὰν δὲ δὲν ἀνέχεσαι ἡμᾶς, τοὐλάχιστον εἶναι ἄδικον νὰ περιφρονῇς τοὺς μάρτυρας, εἰς τὴν μνήμην τῶν ὁποίων καλεῖσαι νὰ συμμετάσχῃς. Κάμε λοιπὸν τὴν χάριν καὶ εἰς τοὺς δύο μας, ἐὰν ὅμως δὲν συμφωνῇς, κάμε τὴν χάριν εἰς τοὺς τιμιωτέρους[1].

246

ΕΠΙΣΤΟΛΗ 295
ΠΡΟΣ ΜΟΝΑΧΟΥΣ

Νομίζω ὅτι μὲ τὴν χάριν τοῦ Θεοῦ δὲν χρειάζεσθε καμμίαν ἄλλην παραίνεσιν, ἔπειτα ἀπὸ τοὺς λόγους τοὺς ὁποίους προσωπικῶς ἀπηυθύναμεν πρὸς σᾶς, παρακαλοῦντες ὅλους σας νὰ δεχθῆτε τὴν κοινοτικὴν ζωὴν ὡς μίμημα τῆς ἀποστολικῆς διαγωγῆς. Ἐδέχθητε δὲ τοὺς λόγους αὐτοὺς ὡς ἀγαθὸν δίδαγμα καὶ ηὐχαριστήσατε δι' αὐτοὺς τὸν Κύριον. Ἐπειδὴ λοιπὸν τὰ λεχθέντα ἀπὸ ἡμᾶς δὲν ἦσαν λόγια, ἀλλὰ διδάγματα ὀφείλοντα νὰ μετουσιωθοῦν εἰς ἔργον πρὸς ὠφέλειαν ἰδικήν σας ποὺ τὰ ἐδέχθητε, πρὸς ἀνάπαυσιν ἰδικήν μας ποὺ τὰ διετυπώσαμεν, πρὸς δόξαν δὲ καὶ ἔπαινον τοῦ Χριστοῦ, τοῦ ὁποίου τὸ ὄνομα ἔχει ἐπικληθῆ εἰς ἡμᾶς, διὰ τοῦτο ἀπέστειλα τὸν ἀγαπητότατον ἀδελφόν μας, διὰ νὰ γνωρίσῃ καὶ τὴν προθυμίαν σας, νὰ διεγείρῃ τὴν νωθρότητά σας καὶ νὰ μᾶς γνωστοποιήσῃ τὴν τυχὸν ἀντίδρασιν.

Πολλὴ εἶναι ἡ ἐπιθυμία καὶ νὰ σᾶς ἴδωμεν συνηθροισμέ-

---

[1] Ἐπιστολὴ 295. Ἐγράφη ἴσως τὸ 370 ἢ ὀλίγον προηγουμένως, ἀπευθύνεται δὲ πρὸς τὴν εἰς τὸν Πόντον μοναχικὴν κοινότητα τοῦ Βασιλείου.

ἐπιθυμία καὶ ἰδεῖν ὑμᾶς συνηγμένους καὶ ἀκοῦσαι περὶ ὑμῶν ὅτι οὐχὶ τὸν ἀμάρτυρον ἀγαπᾶτε βίον, ἀλλὰ μᾶλλον καταδέχεσθε πάντες καὶ φύλακες τῶν ἀλλήλων ἀκριβείας εἶναι καὶ μάρτυρες τῶν κατορθουμένων. Οὕτω γὰρ ἕκαστος καὶ τὸν ἐφ' ἑαυτῷ μισθὸν τέλειον ἀπολήψεται καὶ τὸν ἐπὶ τῇ τοῦ ἀδελφοῦ προκοπῇ, ὃν καὶ λόγῳ καὶ ἔργῳ παρέχεσθαι ὑμᾶς ἀλλήλοις προσήκει ἐκ τῆς συνεχοῦς ὁμιλίας καὶ παρακλήσεως. Ἐπὶ πᾶσι δὲ παρακαλοῦμεν μεμνῆσθαι ὑμᾶς τῆς τῶν πατέρων πίστεως καὶ μὴ σαλεύεσθαι ὑπὸ τῶν ἐν τῇ ὑμετέρᾳ ἡσυχίᾳ περιφέρειν ὑμᾶς ἐπιχειρούντων, εἰδότας ὅτι οὔτε πολιτείας ἀκρίβεια καθ' ἑαυτὴν μὴ διὰ τῆς εἰς Θεὸν πίστεως πεφωτισμένη ὠφέλιμος, οὔτε ὀρθὴ ὁμολογία ἀγαθῶν ἔργων ἄμοιρος οὖσα παραστῆσαι ἡμᾶς δυνήσεται τῷ Κυρίῳ, ἀλλὰ δεῖ ἀμφότερα συνεῖναι, ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος καὶ μὴ κατὰ τὸ ἐλλεῖπον χωλεύῃ ἡμῶν ἡ ζωή. Πίστις γάρ ἐστιν ἡ σώζουσα ἡμᾶς, ὥς φησιν ὁ ἀπόστολος, «δι' ἀγάπης ἐνεργουμένη».

247

289. ΑΝΕΠΙΓΡΑΦΟΣ ΠΕΡΙ ΓΥΝΑΙΚΟΣ ΚΑΤΑΠΟΝΟΥΜΕΝΗΣ

Ἐγὼ ἴσον ἁμάρτημα κρίνας καὶ ἀνεπιτιμήτους ἐᾶν τοὺς ἁμαρτάνοντας καὶ ὑπερβαίνειν τὸ μέτρον τὴν τιμωρίαν, τὴν ἐμοὶ ἐπιβάλλουσαν ἐπέθηκα δίκην τῷδε, ἐξορίσας αὐτὸν τῆς ἐκκλησιαστικῆς κοινωνίας, καὶ τοῖς ἠδικημένοις παρῆνεσα μὴ ἑαυτοὺς ἐκδικεῖν, ἀλλὰ τῷ Κυρίῳ τὴν ἀνταπόδοσιν ἐπιτρέψαι. Ὥστε εἴ

---

1. Γαλ. 5, 6.

Ἐπιστολὴ 289. Ἐγράφη κατὰ τὴν περίοδον τῆς ἀρχιερατείας τοῦ Βασιλείου, ἴσως πρὸς χωρεπίσκοπον. Μία παρθένος ζῶσα εἰς τὴν οἰκίαν της ὡς μοναχή, ἐδέχθη ἀπρόβλεπτον ἐπίσκεψιν ἀνδρός, ὁ ὁποῖος ἀπὸ τότε ἤρ-

νους καὶ νὰ ἀκούσωμεν διὰ σᾶς ὅτι δὲν ἀγαπᾶτε τὸν χωρὶς μαρτυρίαν βίον, ἀλλὰ μᾶλλον καταδέχεσθε ὅλοι νὰ εἶσθε φύλακες ἀμοιβαῖοι τῆς ἐπαγρυπνήσεώς σας καὶ μάρτυρες τῶν κατορθωμάτων σας. Οὕτως ἄλλωστε ὁ καθένας σας θὰ λάβῃ πλήρη καὶ τὸν διὰ λογαριασμόν του μισθὸν καὶ τὸν διὰ τὴν προκοπὴν τοῦ ἀδελφοῦ, τὸν ὁποῖον ἁρμόζει νὰ προσφέρετε εἰς ἀλλήλους διὰ τῆς συνεχοῦς συναναστροφῆς καὶ ἐνθαρρύνσεως.

Ὑπεράνω ὅλων δὲ παρακαλοῦμεν νὰ ἐνθυμῆσθε τὴν πίστιν τῶν πατέρων καὶ νὰ μὴ σαλεύεσθε ὑπὸ τῶν ἐπιχειρούντων νὰ σᾶς περιφέρουν διαταράσσοντες τὴν ἡσυχίαν σας, γνωρίζοντες ὅτι οὔτε ἀκρίβεια διαγωγῆς εἶναι καθ' ἑαυτὴν ὠφέλιμος ἐὰν δὲν φωτίζεται διὰ τῆς εἰς Χριστὸν πίστεως οὔτε ὀρθὴ ὁμολογία δύναται νὰ μᾶς φέρῃ ἐνώπιον τοῦ Θεοῦ ἐὰν εἶναι ἄμοιρος ἀγαθῶν ἔργων, ἀλλὰ πρέπει νὰ συνυπάρχουν καὶ τὰ δύο, διὰ νὰ εἶναι ὡλοκληρωμένος ὁ ἄνθρωπος τοῦ Θεοῦ καὶ νὰ μὴ χωλαίνῃ ἡ ζωή μας. Διότι κατὰ τὸν ἀπόστολον ἡ πίστις μᾶς σώζει «ἐνεργουμένη διὰ τῆς ἀγάπης»[1].

247

ΕΠΙΣΤΟΛΗ 289
ΑΝΕΠΙΓΡΑΦΟΣ ΠΕΡΙ ΤΑΛΑΙΠΩΡΟΥΜΕΝΗΣ ΓΥΝΑΙΚΟΣ

Ἐπειδὴ θεωρῶ ἐξ ἴσου ἐσφαλμένον τὸ ν' ἀφήνωμεν ἀνεπιτιμήτους τοὺς ἁμαρτάνοντας καὶ τὸ νὰ ὑπερβάλλωμεν τὸ μέτρον τῆς τιμωρίας, ἐπέβαλα εἰς τοῦτον ἐδῶ τὸν ἄνθρωπον ποινὴν τῆς ἁρμοδιότητός μου, ἐξορίσας αὐτὸν ἀπὸ τὴν ἐκκλησιαστικὴν κοινωνίαν, καὶ παρήνεσα τοὺς ἀδικουμένους νὰ μὴ λαμβάνουν αὐτοεκδίκησιν, ἀλλὰ νὰ ἀφήνουν εἰς τὸν Κύριον τὴν ἀνταπόδοσιν[1]. Ὥστε, ἐὰν αἱ παραινέσεις μας ἐπρόκειτο

χισε νὰ τὴν συκοφαντῇ δημοσίᾳ. Ὁ Βασίλειος παρεμβὰς τὸν ἀπέκοψεν ἀπὸ τὴν κοινωνίαν, ἀλλὰ καὶ τὰ δικαστήρια ἐπελήφθησαν τῆς ὑποθέσεως.

1. Βλ. Ρωμ. 12, 19.

τι ὄφελος ἐμῶν παραγγελμάτων, τότε ἂν ἠκούσθην πολλῷ ἀξιοπιστότερον κεχρημένος τῷ λόγῳ ὅσον ἂν δυνηθείη δυσωπῆσαι τὰ γράμματα. Ἐπεὶ δὲ ἤκουσα ῥημάτων πολλὴν ἐχόντων βαρύτητα, καὶ τότε ἡσύχασα καὶ νῦν οὐκ οἶμαι πρέπον εἶναί μοι περὶ τῶν αὐτῶν διαλέγεσθαι. «Ἐγὼ γάρ, φησίν, ἀνδρὸς ὑπερεῖδον καὶ παιδοποιίας καὶ βίου, ἵνα ἑνὸς τούτου τύχοιμι, τῆς παρὰ Θεοῦ εὐδοκιμήσεως, καὶ παρὰ τοῖς ἀνθρώποις τοῦ βελτίονος ἀξιοῦσθαι λόγου. Ἐπεὶ δὲ ἄνθρωπος ἐκ παιδὸς ταῖς οἰκοφθορίαις ἐντεθραμμένος εἰσβιασάμενός ποτε τῇ συνήθει ἑαυτοῦ ἀναιδείᾳ ἐνέπεσεν ἡμῶν τῷ οἴκῳ, καὶ μέχρι ψιλῆς συντυχίας ἐγένετο γνώριμος ἡμῖν καὶ ἀγνοίᾳ τῶν κατ' αὐτὸν καὶ αἰδοῖ τινι ἀπαιδεύτῳ προφανῶς αὐτὸν αἰσχυνομένῃ ἐλάσαι, εἰς τοσοῦτον ἐξῆλθεν ἀσεβείας καὶ ὕβρεως ὥστε ἐμπλῆσαι μὲν τὴν πόλιν πᾶσαν τῶν κατ' ἐμοῦ βλασφημιῶν, προγράμματι δὲ δημοσίῳ στηλιτεῦσαι ἐκτεθέντι ἐπὶ τῶν προθύρων τῆς ἐκκλησίας. Ἐφ' οἷς καὶ τυχών τινος παρὰ τῶν νόμων ἀγανακτήσεως πάλιν ἐπανελθὼν ἀνενεώσατο τὰς αὐτοῦ βλασφημίας. Πάλιν τῶν ἐμῶν λοιδοριῶν πλήρης ἡ ἀγορά, τὰ γυμνάσια, τὰ θέατρα, αἱ οἰκίαι τῶν δι' ὁμοιότητα τοῦ βίου δεχομένων αὐτόν. Καὶ μηδὲ ἐπὶ τοῖς βελτίοσι γνωρίζεσθαι ἐν οἷς εὐπρεπὴς ἦν, ὑπῆρξέ μοι ἐκ τῶν αἰσχίστων, διὰ τὸ παρὰ πᾶσι τῇ ἀκολάστῳ γνώμῃ γενέσθαι περιφανῆ. Ἐπὶ τούτοις, φησίν, οἱ μὲν ἥδονται ταῖς βλασφημίαις διὰ τὸ φύσει χαίρειν ταῖς λοιδορίαις τοὺς ἀνθρώπους· οἱ δὲ ἄχθεσθαι μὲν λέγουσιν, οὐ συναλγοῦσι δέ· ἄλλοι πείθονται ἀληθεῖς εἶναι τὰς λοιδορίας· ἄλλοι ἀμφίβολοί εἰσι τῷ πλήθει τῶν ὅρκων αὐτοῦ προσέχοντες. Ὁ δὲ συναλγῶν οὐκ ἔστιν, ἀλλ' ὄντως νῦν τῆς ἐρημίας ἧσθην καὶ ἐμαυτὴν ὀδύρομαι, οὐκ ἀ-

νὰ ἀποβοῦν ὠφέλιμοι, θὰ εἰσηκουόμην τότε ποὺ ἐχρησιμοποιοῦσα τὸν λόγον, ὁ ὁποῖος εἶναι πολὺ πειστικώτερος ἀπὸ ὅσον ἠμποροῦν νὰ συγκινήσουν τὰ γράμματα.

παρακληθέντα ὑφ' ἡμῶν παραστῆναι αὐτῷ ἀγωνιζομένῳ δίκην τῆς μὲν ἀληθείας ἕνεκεν εὐκαταφρόνητον, ἐναγώνιον δὲ ἄλλως διὰ τὸ τῆς συκοφαντίας βαρύ. Μεγάλη γὰρ ἂν γένοιτο ῥοπὴ αὐτῷ πρὸς σωτηρίαν, εἰ καταξιώσειάς τι ῥῆμα φιλάνθρωπον ὑπὲρ αὐτοῦ προέσθαι, προηγουμένως μὲν τῷ δικαίῳ χαριζόμενος, ἔπειτα καὶ ἡμῖν τοῖς ἐξαιρέτοις σου τὴν συνήθη τιμὴν καὶ χάριν καὶ ἐν τούτῳ χαριζόμενος.

262

180. ΣΩΦΡΟΝΙΩ ΜΑΓΙΣΤΡΩ ΕΥΜΑΘΙΟΥ ΕΝΕΚΕΝ

Ἀνδρὶ ἀξιολόγῳ περιτυχὼν περιστάσει οὐκ ἀνεκτῇ κεχρημένῳ ἔπαθον τὴν ψυχήν. Τί γὰρ οὐκ ἔμελλον, ἄνθρωπος ὤν, ἀνθρώπῳ ἐλευθέρῳ παρ' ἀξίαν ἐμπεπλεγμένῳ πράγμασι συναλγεῖν; Καὶ βουλευσάμενος πῶς ἂν γενοίμην αὐτῷ χρήσιμος, μίαν εὗρον λύσιν τῆς κατεχούσης αὐτὸν δυσχερείας, εἰ τῇ σῇ κοσμιότητι ποιήσαιμι γνώριμον. Σὸν οὖν τὸ ἐφεξῆς τὴν σαυτοῦ σπουδήν, ἣν εἰς πολλοὺς ὑφ' ἡμῖν μάρτυσιν ἐπιδέδειξαι, καὶ αὐτῷ παρασχέσθαι. Τὸ δὲ πρᾶγμα γνωρίσει ἡ ἐπιδοθεῖσα παρ' αὐτοῦ δέησις τοῖς βασιλεῦσιν, ἣν καὶ λαβεῖν εἰς χεῖρας καὶ συμπράξαι τῷ ἀνδρὶ τὰ δυνατὰ παρακλήθητι. Καὶ γὰρ Χριστιανῷ χαρίζῃ καὶ εὐγενεῖ καὶ ἀπὸ λόγου πολλοῦ τὸ αἰδέσιμον ἐπαγομένῳ. Ἐὰν δὲ προσθῶμεν

Ἐπιστολὴ 180. Ἐγράφη τὸ 374. Ὁ μάγιστρος Σωφρόνιος ἦτο ἕνας ἀπὸ τοὺς μεγάλους συμπατριώτας καὶ φίλους τοῦ Βασιλείου, ὅπως δει-

τρόπων ποὺ ἔχει ὁ ἴδιος μέσα του. Σὲ παρακαλοῦμεν λοιπὸν νὰ τοῦ παρασταθῇς καθὼς ἀγωνίζεται εἰς δίκην, ἡ ὁποία ἀπὸ ἀπόψεως μὲν ἀληθείας εἶναι ἀναξία λόγου, ἐξ αἰτίας ὅμως τῆς σοβαρότητος τῆς συκοφαντίας ἐπικίνδυνος. Θὰ εἶχε μεγάλην ἐπίδρασιν πρὸς τὴν σωτηρίαν του, ἐὰν κατηξίωνες νὰ εἴπῃς κάποιον καλὸν λόγον ὑπὲρ αὐτοῦ, κατ' ἀρχὴν μὲν χαριζόμενος εἰς τὸ δίκαιον, ἔπειτα δὲ χαριζόμενος καὶ εἰς ἡμᾶς, τοὺς διακεκριμένους φίλους σου, τὴν συνηθισμένην τιμὴν καὶ χάριν καὶ εἰς αὐτὴν τὴν περίπτωσιν.

262

ΕΠΙΣΤΟΛΗ 180
ΠΡΟΣ ΤΟΝ ΜΑΓΙΣΤΡΟΝ ΣΩΦΡΟΝΙΟΝ
ΧΑΡΙΝ ΤΟΥ ΕΥΜΑΘΙΟΥ

Συναντήσας ἕνα ἀξιόλογον ἄνδρα ποὺ εὑρέθη εἰς ἀνυπόφορον κατάστασιν ὑπέφερα ψυχικῶς. Πῶς δὲ νὰ μὴ συμπονέσω ἄνθρωπος ἐγώ, ἕνα ἄνθρωπον ἐλεύθερον ἐμπλεγμένον εἰς δυσκολίας κατωτέρας τῆς ἀξίας του; Σκεφθεὶς δὲ πῶς θὰ τοῦ ἐφαινόμην χρήσιμος, μίαν λύσιν ηὗρα τῆς δυσχεροῦς καταστάσεως ποὺ τὸν συνέχει, τὸ νὰ τὸν συστήσω εἰς τὴν κοσμιότητά σου. Τώρα δὲ εἶναι ἰδική σου δουλειὰ νὰ διαθέσῃς καὶ εἰς αὐτὸν τὸν ζῆλόν σου ποὺ ἔχεις ἐπιδείξει εἰς πολλούς, ὅπως ἠμποροῦμεν νὰ μαρτυρήσωμεν ἡμεῖς.

Ποία δὲ εἶναι ἡ ὑπόθεσις θὰ σοῦ τὸ γνωρίσῃ ἡ αἴτησις ποὺ ἐπεδόθη ἀπὸ αὐτὸν εἰς τοὺς βασιλεῖς, τὴν ὁποίαν παρακαλοῦμεν νὰ πάρῃς εἰς τὰ χέρια σου καὶ νὰ πράξῃς ὅτι εἶναι δυνατὸν διὰ τὸν ἄνδρα. Διότι οὕτω χαρίζεσαι εἰς ἕνα Χριστιανόν, ἕνα εὐγενῆ καὶ ἕνα ἄνθρωπον ποὺ ἔχει κερδίσει τὸν σεβασμὸν μὲ τὴν μεγάλην του μόρφωσιν. Ἐὰν δὲ προσθέσωμεν ὅτι μὲ τὴν πρὸς

κνύει ἡ ἐκτενὴς σωζομένη ἀλληλογραφία του. Ὁ Εὐμάθιος ἦτο προφανῶς ρητοροδιδάσκαλος.

ὅτι καὶ ἡμεῖς μεγάλην διὰ τῆς εἰς αὐτὸν εὐποιίας ὑποδεχόμεθα χάριν, πάντως, κἂν μικρὸν ᾖ ἄλλως τὸ ἡμέτερον, ἀλλὰ τῇ σῇ σεμνότητι ἀεὶ ἐν λόγῳ ποιεῖσθαι τὰ καθ' ἡμᾶς ἀνεχομένῃ, οὐ μικρὸν φανεῖται τὸ χαρισθὲν ἡμῖν.

263

108. ΤΩ ΚΗΔΕΜΟΝΙ ΤΩΝ ΚΛΗΡΟΝΟΜΩΝ ΙΟΥΛΙΤΤΗΣ

Ἐθαύμασα ἀκούσας ὅτι, τῶν χρηστῶν ἐκείνων καὶ πρεπόντων τῇ σῇ ἐλευθερίᾳ ὑποσχέσεων ἐπιλαθόμενος, νῦν σφοδροτάτην καὶ ἀπαραίτητον ἐπάγεις τὴν ἀπαίτησιν τῇ ἀδελφῇ τῇδε, καὶ τί εἰκάσω ἐκ τῶν λεγομένων οὐκ ἔχω. Σοί τε γὰρ πολλὴν παρὰ τῶν πεπειραμένων σου μαρτυρουμένην ἐλευθερίαν σύνοιδα καὶ τῶν ὑποσχέσεών σου μέμνημαι ὧν ἐποίησας ἐπ' ἐμοῦ καὶ τοῦδε, λέγων ἐλάττονα μὲν γράφειν χρόνον πλείονα δὲ συγχωρήσειν, διὰ τὸ βούλεσθαι συμπεριφέρεσθαι τῇ ἀνάγκῃ τοῦ πράγματος καὶ συγγνώμην παρέχειν τῇ ἐλευθέρᾳ ἀναγκαζομένῃ τοσοῦτον ἀθρόως ἐκ τῆς οἰκίας προῖεσθαι χρῆμα. Τίς οὖν ἡ αἰτία δι' ἣν ἡ τοσαύτη μεταβολὴ γέγονεν ἐγὼ νοεῖν οὐκ ἔχω. Πλὴν ὅπερ ἂν ᾖ, παρακαλῶ σε μεμνημένον τῆς σεαυτοῦ ἐλευθεριότητος καὶ πρὸς τὸν Κύριον ἀπιδόντα τὸν ἀμειβόμενον τὰς χρηστὰς προαιρέσεις δοῦναι τὸν καιρὸν δν ἐξ ἀρχῆς ὑπέσχου τῆς ἀνέσεως, ἵνα δυνηθῶσι συμπωλήσαντες τὰ ἑαυτῶν διαλῦσαι τὸ χρέος. Δῆλον

Ἐπιστολὴ 108. Ἐγράφη τὸ 372. Ὁ μὴ ὀνομαζόμενος κατὰ νόμον ἐπιμελητὴς τοῦ τέκνου τῆς Ἰουλίττης ἐξεβίαζεν αὐτήν. Ἀφοῦ τῆς ἐδάνεισε χρήματα, ἐζητοῦσε τὴν καταβολὴν τοῦ κεφαλαίου μαζὶ μὲ ὑπερόγκους τόκους. Κατόπιν μεσολαβήσεως τοῦ ἀρχιεπισκόπου ὅμως, ἐδέχθη ἐνώπιον αὐτῶν καὶ ἑνὸς πρῴην ὑπάρχου νὰ παραχωρήσῃ μεγαλυτέραν προθεσμίαν καταβολῆς

αὐτὸν εὐεργεσίαν λαμβάνομεν καὶ ἡμεῖς μεγάλην χάριν, ὁπωσδήποτε, ἂν καὶ ἡ ἀξία μας εἶναι κατὰ τὰ ἄλλα μικρά, ἀλλ' ὅμως διὰ τὸ ὅτι ἡ σεμνότης σου δέχεται νὰ δίδῃ σημασίαν εἰς τὰς ὑποθέσεις μας, αὐτὸ ποὺ θὰ μᾶς χαρισθῇ δὲν θὰ φανῇ μικρόν.

263

ΕΠΙΣΤΟΛΗ 108
ΠΡΟΣ ΤΟΝ ΚΗΔΕΜΟΝΑ ΤΩΝ ΚΛΗΡΟΝΟΜΩΝ ΤΗΣ ΙΟΥΛΙΤΤΗΣ

Ἐθαύμασα ποὺ ἤκουσα ὅτι ἐλησμόνησες ἐκείνας τὰς ὡραίας καὶ ἀξίας εἰς ἐλευθέρους πολίτας ὑποσχέσεις καὶ τώρα προβάλλεις βιαίαν καὶ ἀπόλυτον ἀπαίτησιν πρὸς τὴν παροῦσαν ἀδελφήν. Δὲν γνωρίζω τί νὰ ὑποθέσω περὶ τῶν πληροφοριῶν. Διότι ἀφ' ἑνὸς μὲν ἀναγνωρίζω τὴν ἐλευθεριότητά σου τὴν ὁποίαν μαρτυροῦν ὅλοι οἱ γνώριμοί σου, ἀφ' ἑτέρου δὲ ἐνθυμοῦμαι τὰς ὑποσχέσεις ποὺ ἔδωσες ἐνώπιον ἐμοῦ καὶ τοῦ ἀνδρὸς ἐκείνου [1], λέγων ὅτι, ἂν καὶ εἰς τὸ γραμμάτιον γράφεις σύντομον προθεσμίαν, θὰ παραχωρήσῃς μεγαλυτέραν, διότι θέλεις νὰ ἐξυπηρετήσῃς τὴν ἀνάγκην τοῦ πράγματος καὶ θὰ παράσχῃς συγγνώμην εἰς τὴν χήραν ποὺ ἀναγκάζεται νὰ ἐξαγάγῃ ἀπὸ τὴν οἰκίαν της τόσον μεγάλα χρηματικὰ ποσὰ ἐφάπαξ.

Ποία λοιπὸν εἶναι ἡ αἰτία λόγῳ τῆς ὁποίας συνέβη ἡ τόση μεταβολή, ἐγὼ δὲν ἠμπορῶ νὰ καταλάβω. Πάντως ὅ,τι καὶ ἂν συμβαίνῃ, παρακαλῶ νὰ ἐνθυμηθῇς τὴν ἐλευθεριότητά σου καὶ νὰ ἀναβλέψῃς πρὸς τὸν Κύριον ποὺ ἀμείβει τὴν ἀγαθὴν προαίρεσιν καὶ νὰ δώσῃς τὴν προθεσμίαν τῆς ἀνέσεως, διὰ νὰ ἠμποροῦν νὰ πληρώσουν τὸ χρέος πωλοῦντες τὴν περιουσίαν των.

τοῦ χρέους καὶ νὰ παραιτηθῇ τῶν τόκων, ἀφοῦ λάβῃ τὸ κεφάλαιον. Ἀλλὰ δὲν ἐτήρησε τὴν ὑπόσχεσιν. Βλ. ἐπιστολὰς 107 καὶ 109 Β' τ.

1. Τοῦ πρώην ὑπάρχου, βλ. ἐπιστολὴν 107.

δὲ ὅτι κἀκείνων μέμνημαι, ὅτι ὑπέσχου, εἰ λάβοις τὸ ὁμολογηθὲν χρυσίον, πάντα τὰ ὁμολογηθέντα χαρτία, καὶ τὰ ἐπὶ τῶν ἀρχόντων πραχθέντα καὶ τὰ ἰδιωτικῶς γενόμενα, παραδώσειν τῇ προειρημένῃ. Παρακαλῶ οὖν, καὶ ἡμᾶς τίμησον καὶ κτῆσαι παρὰ τῷ Κυρίῳ μεγάλην ἑαυτῷ εὐλογίαν ἀναμνησθεὶς τῶν σεαυτοῦ ὑποσχέσεων γινώσκων ὅτι ἄνθρωπος εἶ καὶ αὐτὸς ἀναμένειν ὀφείλεις τοὺς καιροὺς ἐν οἷς δεηθήσῃ τῆς παρὰ τοῦ Θεοῦ ἀντιλήψεως· ἣν μὴ ἀποκλείσῃς σεαυτῷ διὰ τῆς παρούσης σκληρότητος, ἀλλ' εὐτρέπισον τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ ἐπὶ σαυτὸν πᾶσαν χρηστότητα καὶ ἐπιείκειαν τοῖς καταπονουμένοις ἐπιδεξάμενος.

264

327. ΑΝΕΠΙΓΡΑΦΟΣ ΕΠΙ ΠΑΡΑΚΛΗΣΕΙ

Ὑπὲρ ὧν παρόντας ἡμᾶς ἐτίμησας καὶ ἀπόντας μεμνῆσθαι καταξιοῖς (ἦλθε γὰρ ὡς ἡμᾶς ἡ ἀκοὴ) παρὰ τοῦ ἀγαθοῦ Δεσπότου γένοιτό σοι ἀντίδοσις, καί σε ἴδοιμεν ἐν τῇ μεγάλῃ ἡμέρᾳ τῆς δικαιοκρισίας τοῦ Θεοῦ ἡμῶν ἐπὶ ἔργοις ἀγαθοῖς εὐδόκιμον, ἵνα, ὥσπερ τῆς ἐνταῦθα περιφανείας ἠξίωσαι, οὕτω καὶ παρὰ τῷ οὐρανίῳ βασιλεῖ σεμνότητος ἀπολαύσῃς. Παρακαλοῦμεν οὖν προηγουμένως τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ διαρκῆ παρασχέσθαι τὴν σπουδήν, ἔπειτα καὶ τὸ εἰς ἡμᾶς εὐμενὲς ἐπαυξῆσαι μνήμης τε πάσης καὶ προστασίας ἡμᾶς ἀξιοῦντα, σεμνῦναι δὲ ἡμᾶς καὶ γράμμασιν, ὥστε ἀπόδειξιν ἡμᾶς ἔχοντας ὅτι οὐ βαρύνῃ ἡμᾶς ἐπιστέλλοντας συνεχέστερόν σου τῇ μεγαλονοίᾳ καταθαρρήσειν.

Ἐπιστολὴ 327. Ἐγράφη εἰς ἄγνωστον χρόνον πρὸς ἀξιωματοῦχον.

Εἶναι δὲ προφανὲς ὅτι ἐνθυμοῦμαι καὶ ἐκεῖνο, ὅτι ὑπεσχέθης, ἐὰν λάβῃς τὸ συμφωνηθὲν ποσὸν νὰ παραδώσῃς εἰς τὴν ἐν λόγῳ γυναῖκα ὅλα τὰ συνταχθέντα συμφωνητικά, εἴτε ἐνώπιον τῶν ἀρχόντων εἴτε ἰδιωτικῶς.

Παρακαλῶ λοιπόν, τίμησε καὶ ἡμᾶς καὶ ἀπόκτησε διὰ τὸν ἑαυτόν σου μεγάλην εὐλογίαν ἀπὸ τὸν Κύριον, μὲ τὸ νὰ ἐνθυμηθῇς τὰς ὑποσχέσεις σου, γνωρίζων ὅτι ὡς ἄνθρωπος ποὺ εἶσαι ὀφείλεις νὰ ἀναμένῃς καιροὺς κατὰ τοὺς ὁποίους θὰ χρειασθῇς τὴν ἀπὸ τὸν Θεὸν βοήθειαν. Μὴ ἀποκλείσῃς διὰ τὸν ἑαυτόν σου αὐτὴν τὴν βοήθειαν μὲ τὴν παροῦσαν σκληρότητα, ἀλλὰ ἑτοίμασε τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ διὰ τὸν ἑαυτόν σου, ἐπιδεικνύων εἰς τοὺς θλιβομένους κάθε ἀγαθότητα καὶ ἐπιείκειαν.

264

ΕΠΙΣΤΟΛΗ 327
ΑΝΕΠΙΓΡΑΦΟΣ ΠΡΟΤΡΕΠΤΙΚΗ

Εἴθε νὰ σοῦ δοθῇ ἀνταμοιβὴ ἀπὸ τὸν ἀγαθὸν Δεσπότην διὰ τὴν τιμὴν ποὺ μᾶς προσέφερες ὅταν ἤμεθα παρόντες καὶ διὰ τὴν καλὴν μνείαν ποὺ μᾶς ἠξίωσες ὅταν ἤμεθα ἀπόντες —διότι ἔφθασεν ἕως ἡμᾶς τὸ ἄκουσμα—καὶ εἴθε κατὰ τὴν μεγάλην ἡμέραν τῆς δικαιοκρισίας τοῦ Θεοῦ ἡμῶν νὰ σὲ ἴδωμεν εὐδόκιμον δι' ἔργα ἀγαθά, οὕτως ὥστε, ὅπως ἠξιώθης τῆς ἐδῶ μεγαλειότητος, οὕτω νὰ ἀπολαύσῃς καὶ τῆς λαμπρότητος πλησίον τοῦ οὐρανίου βασιλέως. Σὲ παρακαλοῦμεν λοιπὸν πρῶτον μὲν νὰ ἀφιερώνῃς διαρκῆ φροντίδα διὰ τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, ἔπειτα δὲ νὰ αὐξήσῃς τὴν εὐμένειάν σου πρὸς ἡμᾶς, ἀξιώνων ἡμᾶς ὅλης τῆς ἀναμνήσεως καὶ προστασίας, νὰ μᾶς τιμᾷς δὲ καὶ μὲ γράμματα, ὥστε, ἔχοντες ἀπόδειξιν ὅτι δὲν μᾶς βαρύνεσαι ὅταν σοῦ γράφωμεν, νὰ λάβωμεν τὸ θάρρος νὰ γράφωμεν συχνότερα εἰς τὴν μεγαλοφροσύνην σου.

265

155. ΑΝΕΠΙΓΡΑΦΟΣ

Πρὸς πολλὰς τὰς διὰ τῆς ἐπιστολῆς ἣν πρώτην καὶ μόνην κατηξίωσεν ἡμῖν ἡ εὐγένειά σου διαπέμψασθαι ἐγγεγραμμένας κατηγορίας ἀπορῶ ἀπολογήσασθαι, οὐ διὰ τὴν τοῦ δικαίου ἔνδειαν, ἀλλὰ διὰ τὸ ἐν πλήθει τῶν ἐπιφερομένων δύσκολον εἶναι τῶν καιριωτέρων τὴν προτίμησιν καὶ ὅθεν δεῖ πρῶτον ἡμᾶς ἄρξασθαι τῆς θεραπείας. Ἤ τάχα δὴ τῇ τάξει τῶν γεγραμμένων χρησαμένους ὁδῷ πρὸς ἕκαστον ἀπαντᾶν. Τοὺς ἐπὶ Σκυθίαν ἀπαίροντας ἐντεῦθεν μέχρι σήμερον οὐκ ἐγνωρίσαμεν· ἀλλ' οὐδὲ τῶν ἐκ τῆς οἰκίας ὑπέμνησαν ἡμᾶς, ὥστε προσειπεῖν δι' αὐτῶν, καίτοι πάνυ διὰ σπουδῆς τιθεμένους ἐπὶ πάσης προφάσεως προσφθέγγεσθαί σου τὴν τιμιότητα. Ἐπιλαθέσθαι δέ σου ἐν προσευχαῖς ἀδύνατον, εἰ μὴ πρότερον τοῦ ἔργου ἡμῶν ἐπιλαθώμεθα εἰς ὃ ἔταξεν ἡμᾶς ὁ Κύριος. Μέμνησαι γὰρ πάντως τῶν κηρυγμάτων τῶν ἐκκλησιαστικῶν πιστὸς ὢν τῇ τοῦ Θεοῦ χάριτι, ὅτι καὶ ὑπὲρ τῶν ἐν ἀποδημίαις ἀδελφῶν δεόμεθα, καὶ ὑπὲρ τῶν ἐν στρατείαις ἐξεταζομένων καὶ ὑπὲρ παρρησιαζομένων διὰ τὸ ὄνομα Κυρίου καὶ ὑπὲρ τῶν τοὺς πνευματικοὺς καρποὺς ἐπιδεικνυμένων ἐν τῇ ἁγίᾳ Ἐκκλησίᾳ τὰς εὐχὰς ποιούμεθα· ὧν πάντως ἐν τοῖς χρόνοις ἢ καὶ ἐν τοῖς πᾶσι νομίζομεν καὶ τὴν σὴν ἐμπεριλαμβάνεσθαι τιμιότητα. Ἰδίᾳ δέ σου ἡμεῖς πῶς ἂν ἐπιλαθώμεθα τοσαῦτα ἔχοντες τὰ κινοῦντα ἡμᾶς πρὸς μνήμην, ἀδελφιδῆν τοιαύτην, ἀδελφιδοὺς τοι-

---

Ἐπιστολὴ 155. Ἐγράφη τὸ 373. Δὲν εἶναι γνωστὸν τὸ πρόσωπον πρὸς τὸ ὁποῖον ἀπευθύνεται, πρόκειται ὅμως προφανῶς περὶ ἀξιωματούχου, ὑπηρετοῦντος εἰς τὴν βορείως τοῦ Δουνάβεως βυζαντινὴν ἐπαρχίαν, ἴσως ἔπάρχου, ὁ ὁποῖος κατήγετο ἀπὸ τὴν Καισάρειαν. Εἰς τὸ τέλος ὁ Βασίλειος ζητεῖ λείψανα Χριστιανῶν, οἱ ὁποῖοι ἐμαρτυροῦσαν ἀκόμη καὶ

265

ΕΠΙΣΤΟΛΗ 155
ΑΝΕΠΙΓΡΑΦΟΣ

Εὑρίσκομαι εἰς ἀπορίαν ν' ἀπολογηθῶ διὰ τὰς πολλὰς κατηγορίας ποὺ εἶναι σημειωμέναι εἰς τὴν ἐπιστολὴν τὴν ὁποίαν μᾶς ἔστειλες. Πρώτην καὶ μοναδικήν, ἡ εὐγένειά σου, ὄχι διότι στεροῦμαι δικαιολογίας, ἀλλὰ διότι εἶναι δύσκολον ἀπὸ τὸ πλῆθος τῶν ἀναφερομένων νὰ ἐπιλέξω τὰ κυριώτερα καὶ ἐκεῖνα ἀπὸ τὰ ὁποῖα πρέπει πρῶτα ν' ἀρχίσωμεν τὴν θεραπείαν. Ἢ ἴσως πρέπει νὰ ἀπαντήσωμεν εἰς κάθε θέμα χρησιμοποιοῦντες ὡς μέθοδον τὴν τάξιν τῶν γραφέντων.

Τοὺς ἀναχωροῦντας ἀπὸ ἐδῶ εἰς Σκυθίαν δὲν ἐγνωρίσαμεν μέχρι σήμερον· ἐξ ἄλλου οὔτε διὰ τοὺς ἀπὸ τὸν οἶκόν σου ἀναχωροῦντας μᾶς ἔγινε μνεία, ὥστε νὰ σὲ χαιρετίσωμεν διὰ μέσου αὐτῶν, μολονότι πολὺ ἐπιθυμοῦμεν νὰ προσφωνῶμεν τὴν τιμιότητά σου εἰς κάθε εὐκαιρίαν. Νὰ σὲ λησμονήσωμεν δὲ εἰς τὰς προσευχάς μας εἶναι ἀδύνατον, ἐκτὸς ἐὰν πρῶτα λησμονήσωμεν τὸ ἔργον μας εἰς τὸ ὁποῖον μᾶς ἔταξεν ὁ Κύριος. Ὁπωσδήποτε βέβαια ἐνθυμεῖσαι, ἀφοῦ μὲ τὴν χάριν τοῦ Θεοῦ εἶσαι πιστός, τὰς ἐκκλησιαστικὰς ἐπικλήσεις, ὅτι δηλαδὴ καὶ ὑπὲρ τῶν εἰς ταξίδια προσευχόμεθα καὶ ὅτι ὑπὲρ τῶν ἐγγραφομένων εἰς τὸ στράτευμα καὶ ὑπὲρ τῶν ὁμιλούντων μὲ παρρησίαν διὰ τὸ ὄνομα τοῦ Κυρίου καὶ ὑπὲρ τῶν παραγόντων τοὺς πνευματικοὺς καρποὺς τελοῦμεν προσευχὰς εἰς τὴν ἁγίαν Ἐκκλησίαν. Νομίζομεν δὲ ὅτι ἡ τιμιότης σου συμπεριλαμβάνεται μαζὶ μὲ αὐτοὺς κατὰ τὴν εὐκαιρίαν τῶν προσευχῶν ἐκείνων, ἂν ὄχι καὶ κάθε χρόνον.

Προσωπικῶς δὲ πῶς νὰ σὲ λησμονήσωμεν ἡμεῖς ποὺ ἔχομεν τόσους λόγους νὰ παρακινοῦν τὴν μνήμην μας, τοιαύτην

τότε εἰς τὴν Σκυθίαν. Ἴσως λόγῳ τῆς προτάσεως αὐτῆς κάποιος ἀναγνώστης προσέθεσεν εἰς τὸν τίτλον τὰς λέξεις «ἐπὶ ἀλήπτῃ», δηλαδὴ «περὶ προπονητοῦ» μαρτύρων.

οὑτους, συγγένειαν οὕτω χρηστήν, οὕτως ἀγαπῶσαν ἡμᾶς, οἶκον, οἰκέτας, φίλους, ἐξ ὧν, κἂν μὴ βουλώμεθα, ἀναγκαίως ὑπομιμνησκόμεθά σου τῆς ἀγαθῆς προαιρέσεως; Περὶ δὲ τοῦδε ὁ ἀδελφὸς ὁ δεῖνα οὐδὲν ἡμῖν ἤνεγκεν ἐπαχθές, οὐδὲ παρ' ἡμῶν βλάπτουσα αὐτὸν τις κρίσις ἐξενήνεκται οὐδεμία. Τρέψον οὖν τὴν λύπην ἐπὶ τοὺς τὰ ψευδῆ διηγησαμένους ἀπολύσας πάσης μέμψεως καὶ τὸν χωρεπίσκοπον καὶ ἐμέ. Εἰ δέ τινα δίκην γυμνάζει ὁ σχολαστικὸς ὁ δεῖνα, ἔχει δικαστήρια δημόσια καὶ νόμους. Ἀξιῶ οὖν ὑμᾶς ἐπὶ τούτοις μηδεμίαν ἔχειν μέμψιν. Αὐτὸς δὲ ὅσα ποιεῖς ἀγαθά, σεαυτῷ θησαυρίζεις, καὶ ἣν παρέχῃ ἀνάπαυσιν τοῖς διὰ τὸ ὄνομα τοῦ Κυρίου διωκομένοις, ταύτην σεαυτῷ ἐν ἡμέρᾳ τῆς μισθαποδοσίας προετοιμάζεις. Καλῶς δὲ ποιήσεις, ἐὰν καὶ λείψανα μαρτύρων τῇ πατρίδι ἐκπέμψῃ, εἴπερ, ὡς ἐπέστειλας ἡμῖν, ὁ ἐκεῖ διωγμὸς ποιεῖ καὶ νῦν μάρτυρας τῷ Κυρίῳ.

ἀνεψιάν, τοιούτους ἀνεψιούς, τόσον χρηστὴν συγγένειαν, ποὺ μᾶς ἀγαπᾷ ἰδιαιτέρως, οἶκον, ὑπηρέτας, φίλους, ἀπὸ τοὺς ὁποίους, καὶ χωρὶς νὰ τὸ θέλωμεν, ἀναγκαστικὰ μᾶς ὑπενθυμίζεται ἡ ἀγαθή σου προαίρεσις;

Ὡς πρὸς τὸ ἄλλο δὲ θέμα ὁ δεῖνα ἀδελφὸς δὲν μοῦ προεκάλεσε καμμίαν ἐνόχλησιν, οὔτε ἐγὼ ἐξέφρασα ποτὲ καμμίαν ἐπιβλαβῆ δι' αὐτὸν κρίσιν. Στρέψε λοιπὸν τὴν λύπην σου εἰς βάρος ἐκείνων ποὺ σοῦ διηγήθησαν τὰ ψεύδη, ἀπαλλάσσων τὸν χωρεπίσκοπον καὶ ἐμὲ ἀπὸ κάθε μομφήν. Ἐὰν δὲ ὁ δεῖνα δικηγόρος ἑτοιμάζῃ κάποιαν δίκην, ἔχει δικαστήρια δημόσια καὶ νόμους. Ζητῶ λοιπὸν ἀπὸ σᾶς νὰ μὴ μοῦ προσάπτετε ὁποιανδήποτε μομφὴν διὰ τὰ θέματα αὐτά.

Ὅσα δὲ ἀγαθὰ πράττεις σὺ ὁ ἴδιος, τὰ θησαυρίζεις διὰ τὸν ἑαυτόν σου, καὶ ὅσην ἀνάπαυσιν προσφέρεις εἰς τοὺς διωκομένους διὰ τὸ ὄνομα τοῦ Κυρίου, τὴν προετοιμάζεις διὰ τὸν ἑαυτόν σου εἰς τὴν ἡμέραν τῆς μισθαποδοσίας. Καλῶς δὲ θὰ πράξῃς, ἐὰν στείλῃς εἰς τὴν πατρίδα καὶ λείψανα μαρτύρων, ἐφ' ὅσον, καθὼς μᾶς ἔγραψες, ὁ ἐκεῖ διωγμὸς δημιουργεῖ καὶ τώρα μάρτυρας.

266

1. ΕΥΣΤΑΘΙΩ ΦΙΛΟΣΟΦΩ

Ἀπειρηκότα με ἤδη πρὸς τὰς παρὰ τῆς τύχης ἐπηρείας, παρ' ἧς ἀεί τι πρὸς τὸ μὴ συγγενέσθαι σοι ἐμπόδιον γέγονε, θαυμαστῶς πως ἀνεκαλέσω καὶ παρεμυθήσω τοῖς γράμμασι. Καὶ γάρ πως ἤδη καὶ κατ' ἐμαυτὸν ἔστρεφον μή ποτε ἀληθές ἐστι τὸ παρὰ τῶν πολλῶν θρυλούμενον, ὅτι ἀνάγκη τίς ἐστι καὶ εἱμαρμένη ἡ καὶ τὰ μικρὰ καὶ τὰ μείζω τῶν ἡμετέρων ἄγουσα, αὐτοὶ δὲ οὐδενός ἐσμεν οἱ ἄνθρωποι κύριοι· ἦ, εἰ μὴ τοῦτο, τύχη τις πάντως τὸν ἀνθρώπινον ἐλαύνει βίον. Καὶ τούτων πολλὴν συγγνώμην ἕξεις τῶν λογισμῶν, ἐπειδὰν τὰς αἰτίας ὑφ' ὧν εἰς αὐτοὺς προήχθην μάθῃς.

Ἐγὼ κατέλιπον τὰς Ἀθήνας κατὰ φήμην τῆς σῆς φιλοσοφίας ὑπεριδὼν τῶν ἐκεῖ. Παρέδραμον δὲ τὴν ἐφ' Ἑλλησπόντῳ πόλιν ὡς οὐδεὶς Ὀδυσσεὺς σειρήνων μέλη. Καὶ τὴν Ἀσίαν ἐθαύμασα μέν, πρὸς δὲ τὴν μητρόπολιν τῶν ἐν αὐτῇ καλῶν ἠπειγόμην. Ἐπεὶ δὲ κατέλαβον τὴν πατρίδα καὶ σὲ ἐν αὐτῇ τὸ μέγα ὄφελος

Ἐπιστολὴ 1. Ἐγράφη τὸ 356, εὐθὺς μετὰ τὴν ἐπιστροφὴν τοῦ Βασιλείου εἰς τὴν Καισάρειαν ἀπὸ τὰς Ἀθήνας. Ὁ Εὐστάθιος πρὸς τὸν ὁποῖον ἀπευθύνεται ὑπῆρξεν ἐθνικὸς καθηγητής, τοῦ ὁποίου ἡ φήμη εἶχεν ἑλκύσει τὸν Βασίλειον. Διὰ νὰ τὸν συναντήσῃ ἀνέλαβε μακρὰ ταξίδια, τὰ ὁποῖα

266

ΕΠΙΣΤΟΛΗ 1
ΠΡΟΣ ΤΟΝ ΦΙΛΟΣΟΦΟΝ ΕΥΣΤΑΘΙΟΝ

Κατὰ ἕνα θαυμαστὸν τρόπον μὲ ἐψυχαγώγησες καὶ μὲ παρηγόρησες μὲ τὰ γράμματά σου, ὅταν εἶχα ἀπογοητευθῆ πλέον ἀπὸ τοὺς ἐπηρεασμοὺς τῆς τύχης, ἡ ὁποία πάντοτε προέβαλλεν ἐμπόδια ὥστε νὰ μὴ σὲ συναντήσω. Μάλιστα ἐσυλλογιζόμην ἤδη, μήπως εἶναι ἀληθὲς τὸ λεγόμενον ἀπὸ τοὺς πολλούς, ὅτι ὑπάρχει κάποια ἀνάγκη καὶ εἱμαρμένη ποὺ ρυθμίζει τὰς ὑποθέσεις μας, καὶ τὰς μικρὰς καὶ τὰς μεγάλας, ἐνῷ ἡμεῖς δὲν εἴμεθα κύριοι κανενὸς πράγματος· καί, ἂν δὲν συμβαίνῃ αὐτό, πάντως κάποια τύχη διέπει τὸν ἀνθρώπινον βίον. Καὶ ἀσφαλῶς θὰ συγχωρήσῃς αὐτοὺς τοὺς λογισμούς, ὅταν μάθῃς τὰς αἰτίας ποὺ μὲ ὡδήγησαν εἰς αὐτούς.

Ἐγὼ ἐγκατέλειψα τὰς Ἀθήνας περιφρονήσας τὴν ἐκεῖ κατάστασιν λόγῳ τῆς φήμης τῆς ἰδικῆς σου φιλοσοφίας. Παρέκαμψα δὲ τὴν πλησίον τοῦ Ἑλλησπόντου πόλιν[1] μὲ τόσην ἀποφασιστικότητα, ὅσην δὲν ἔδειξε κανεὶς Ὀδυσσεὺς πρὸς τὰ μέλη τῶν Σειρήνων[2]. Καὶ ἐθαύμασα μὲν τὴν Ἀσίαν ἐν γένει, ἀλλ' ἤμην βιαστικὸς νὰ μεταβῶ εἰς τὴν μητρόπολιν τῶν ἀγαθῶν της. Μόλις δὲ ἔφθασα εἰς τὴν πατρίδα[3], καὶ παρ' ὅλην τὴν

ἐπρόκειτο νὰ ἐπαναλάβῃ μετὰ διετίαν πρὸς ἐπίσκεψιν τῶν μοναστικῶν κέντρων.

1. Ἐννοεῖ τὴν Κωνσταντινούπολιν.
2. Ὀδύσ. μ, 158.
3. Εἰς τὴν Καισάρειαν.

ζητήσας οὐχ εὗρον, ἐντεῦθέν μοι λοιπὸν αἱ πολλαὶ καὶ ποικίλαι ἀφορμαὶ τῶν ἀδοκήτων ἐπιγεγόνασι κωλυμάτων. Ἦ γὰρ ἀσθενεῖν πάντως ἔδει καὶ διὰ τοῦτο ἀπολείπεσθαι, ἢ ἐπὶ τὴν ἑῴαν βαδίζοντι συναπαίρειν μὴ δύνασθαι, ὀψὲ δέ ποτε μυρίοις πόνοις τὴν Συρίαν καταλαβόντα οὐκ ἔχειν συνεῖναι τῷ φιλοσόφῳ πρὸς Αἰγυπτίους ἀπάραντι. Πάλιν οὖν ἔδει Αἴγυπτον ἰέναι, δολιχὴν ὁδὸν ἀργαλέην τε, καὶ οὐδ' ἐνταῦθα τὸ σπουδαζόμενον ἔχειν. Ἀλλ' οὕτω δύσερως ἦν ὥστε ἢ τὴν ἐπὶ Πέρσας βαδίζειν ἔδει καὶ συμπροϊέναι εἰς ὅτι μήκιστον τῆς βαρβάρων (ἦλθες γὰρ κἀκεῖσε, τοσαύτη τις ἦν φιλονικία τοῦ δαίμονος) ἢ αὐτοῦ καθῆσθαι ἐπὶ τῆς Ἀλεξάνδρου, ὅπερ οὖν καὶ συνέβη. Δοκῶ γάρ μοι, εἰ μὴ ὥσπερ τι θρέμμα θαλλῷ προδεικνυμένῳ ἑπόμενος ἀπηγόρευσα, ἐπέκεινα ἄν σε καὶ Νύσσης τῆς ἰνδικῆς ἐλθεῖν ἀγόμενον, καί, εἴ τι ἔσχατον τῆς καθ' ἡμᾶς οἰκουμένης χωρίον, καὶ τοῦτο ἐπιπλανηθῆναι. Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; Ἀλλὰ τὸ τελευταῖον νῦν ἐπὶ τῆς πατρίδος διάγοντι συγγενέσθαι οὐκ ἐξεγένετο μακραῖς ἀρρωστίαις ἐξειργομένῳ· αἳ, εἰ μὴ τοῦ γε λοιποῦ μετριώτεραι γένοιντο, οὐδὲ κατὰ τὸν χειμῶνα τῇ λογιότητί σου συνεσόμεθα. Ταῦτα οὐχ εἱμαρμένης ἔργα, ὡς ἂν αὐτὸς εἴποις; Ταῦτα οὐκ ἀνάγκης; Ταῦτα οὐχί, μικροῦ δεῖν, καὶ τοὺς τῶν ποιητῶν ἐπὶ Ταντάλῳ μύθους ὑπερεβάλετο; Ἀλλ' ὅπερ ἔφην, ῥᾴων γέγονα τοῖς γράμμασι καὶ οὐκέτι ἐπὶ τῆς αὐτῆς εἰμι γνώμης. Φημὶ δὲ χρῆναι διδόντι μὲν τὰ ἀγαθὰ τῷ Θεῷ χάριν εἰδέναι, ταμιευομένῳ δὲ μὴ δυσχεραίνειν. Καὶ δὴ οὖν καὶ ἡμῖν, εἰ μὲν παράσχοι τὸ συνεῖναί σοι, ταῦτ' ἄριστά τε ὁμοῦ καὶ ἥδιστα

4. Ὀδύσ. δ, 483.

ἀναζήτησιν δὲν εὗρον ἐκεῖ σέ, τὸ μέγα ὄφελος, ἀπὸ αὐτὸ τὸ σημεῖον λοιπὸν μοῦ ἐπισυνέβησαν αἱ πολλαὶ καὶ ποικίλαι ἀφορμαὶ τῶν ἀπροσδοκήτων κωλυμάτων. Διότι ἔπρεπεν ὁπωσδήποτε ἢ νὰ εἶμαι ἀσθενὴς καὶ διὰ τοῦτο νὰ καθυστερῶ ἢ νὰ μὴ ἠμπορῶ νὰ ξεκινήσω μαζί, ὅταν ἐσὺ ἐβάδιζες πρὸς τὴν Ἀνατολήν. Καὶ ὅταν κάποτε μετὰ μυρίους κόπους ἔπιασα τὴν Συρίαν, συνέβη νὰ μὴ ἠμπορῶ νὰ συναναστραφῶ μὲ τὸν φιλόσοφον, διότι αὐτὸς εἶχε ξεκινήσει διὰ τὴν Αἴγυπτον. Πάλιν λοιπὸν ἐχρειάσθη νὰ ἀπέλθω πρὸς τὴν Αἴγυπτον,

«τὸν δρόμο τὸν μακρὸ καὶ δύσκολο»[4],

καὶ ὅμως οὔτε ἐδῶ ἐπέτυχα αὐτὸ ποὺ ἐζητοῦσα.

Ἀλλὰ τόσον δυστυχὴς εἰς τὸν πόθον μου ἤμην, ὥστε ἔπρεπεν ἢ νὰ βαδίσω τὸν δρόμον πρὸς τὴν Περσίαν καὶ νὰ προχωρήσω ὅσον μπορῶ μακρύτερα εἰς τὴν γῆν τῶν βαρβάρων—διότι βέβαια ἤλθες καὶ πρὸς τὰ ἐκεῖ· τόσον μεγάλη ἦτο ἡ ἀντίπραξις τοῦ δαίμονος— ἢ νὰ καθίσω ἐδῶ εἰς τὴν πόλιν τοῦ Ἀλεξάνδρου, πρᾶγμα τὸ ὁποῖον καὶ συνέβη. Μοῦ φαίνεται ἄλλωστε ὅτι, ἐὰν δὲν εἶχα βαρεθῇ νὰ σὲ ἀκολουθῶ, ὅπως ἀκολουθεῖ τὸ πρόβατον ἕνα τρυφερὸν κλωνάρι ποὺ τοῦ τὸ δεικνύει κάποιος προπορευόμενος, θὰ εἶχα ἔλθει συρόμενος καὶ πέρα ἀπὸ τὴν Ἰνδικὴν Νύσσαν[5] καὶ θὰ εἶχα περιπλανηθῇ ἀκόμη καὶ εἰς τὸ ἀκρότατον χωρίον τῆς οἰκουμένης μας. Καὶ διατί νὰ λέγω πολλά;

Δὲν εἶναι αὐτὰ ἔργα τῆς εἱμαρμένης, ὅπως θὰ ἠμποροῦσες νὰ εἴπῃς ἐσύ; Δὲν εἶναι αὐτὰ ἔργα ἀνάγκης; Δὲν ἐξεπέρασαν αὐτὰ παρ' ὀλίγον καὶ τοὺς μύθους τῶν ποιητῶν περὶ τοῦ Ταντάλου; Ἀλλ' ὅπως εἶπα, ἔγινα καλύτερα μὲ τὰ γράμματα σου καὶ δὲν ἐξακολουθῶ νὰ ἔχω τὴν ἰδίαν γνώμην. Λέγω δὲ ὅτι πρέπει, ὅταν μὲν ὁ Θεὸς δίδῃ τὰ ἀγαθά, νὰ τοῦ χρεωστῇ κανεὶς εὐγνωμοσύνην, ὅταν δὲ τὰ ἀποταμιεύῃ, νὰ μὴ δυσανασχετῇ. Καὶ εἰς τὴν ἰδικήν μας δὲ περίπτωσιν, βεβαίως, ἐὰν μὲν δώσῃ νὰ σὲ συναντήσωμεν, τοῦτο θὰ τὸ θεωρήσωμεν καὶ ἄριστον

---

5. Πόλιν εἰς τὸ σημερινὸν Πακιστάν.

ἡγησόμεθα. Εἰ δὲ ἀναβάλοιτο, πράως οἴσομεν τὴν ζημίαν. Ἄμεινον γάρ που πάντως ἢ ὡς ἂν ἡμεῖς προελοίμεθα διοικεῖ τὰ ἡμέτερα.

267

9. ΜΑΞΙΜΩ ΦΙΛΟΣΟΦΩ

1. Εἰκόνες ὄντως τῶν ψυχῶν εἰσιν οἱ λόγοι. Κατεμάθομεν οὖν σε διὰ τοῦ γράμματος, ὅσον, φασίν, ἐξ ὀνύχων τὸν λέοντα, καὶ ἥσθημεν εὑρόντες περὶ τὰ πρῶτα καὶ μέγιστα τῶν ἀγαθῶν οὐκ ἀργῶς διακείμενον, τήν τε πρὸς τὸν Θεὸν ἀγάπην καὶ τὸν πλησίον. Σημεῖον δὲ ποιούμεθα τοῦ μὲν τὴν περὶ ἡμᾶς δεξιότητά σου, τοῦ δὲ τὴν περὶ τὴν γνῶσιν σπουδήν. Ὅτι δὲ ἐν δυοῖν τούτοιν ἐστὶ τὰ ὅλα γνώριμον παντὶ Χριστοῦ μαθητῇ.

2. Ἃ δὲ ἐπιζητεῖς τῶν Διονυσίου ἦλθε μὲν εἰς ἡμᾶς καὶ πάνυ πολλά· οὐ πάρεστί γε μὴν τὰ βιβλία, διόπερ οὐκ ἀπεστείλαμεν. Ἔχομεν δὲ γνώμης οὕτως. Οὐ πάντα θαυμάζομεν τοῦ ἀνδρός· ἔστι δὲ ἃ καὶ παντελῶς διαγράφομεν. Σχεδὸν γὰρ ταυτησὶ τῆς νῦν περιθρυλουμένης ἀσεβείας, τῆς κατὰ τὸ ἀνόμοιον λέγω, οὗτός ἐστιν, ὅσα γε ἡμεῖς ἴσμεν, ὁ πρῶτος ἀνθρώποις τὰ σπέρματα παρασχών. Αἴτιον δέ, οἶμαι, οὐ πονηρία γνώμης, ἀλλὰ τὸ σφόδρα βούλεσθαι ἀντιτείνειν τῷ Σαβελλίῳ. Εἴωθα γοῦν ἀπεικάζειν ἐγὼ φυτοκόμῳ νεαροῦ φυτοῦ διαστροφὴν ἀπευθύνοντι, εἶτα τῇ ἀμε-

---

Ἐπιστολὴ 9. Ἐγράφη περὶ τὸ 362. Ὁ Μάξιμος αὐτὸς ἦτο Χριστιανὸς καὶ φίλος τοῦ Βασιλείου καὶ τοῦ Γρηγορίου Θεολόγου. Ἐπαινεῖται πολὺ ἐδῶ διὰ τὸ ἦθος του, ἀλλὰ μετὰ εἰκοσαετίαν ἠθέλησε νὰ ἁρπάσῃ τὸν θρόνον τῆς Κωνσταντινουπόλεως ἀπὸ τὸν Γρηγόριον.

1. Λουκιανοῦ, Ἑρμότ. 34.

καὶ εὐαρεστότατον· ἐὰν δὲ τὸ ἀναβάλῃ, θὰ ὑποφέρωμεν τὴν ζημίαν μὲ πραότητα. Διότι ὁπωσδήποτε κυβερνᾷ τὰ καθ' ἡμᾶς καλύτερα ἀπὸ ὅσον ἡμεῖς οἱ ἴδιοι θὰ ἠμπορούσαμεν νὰ ἐκλέξωμεν.

267

ΕΠΙΣΤΟΛΗ 9
ΠΡΟΣ ΤΟΝ ΦΙΛΟΣΟΦΟΝ ΜΑΞΙΜΟΝ

1. Οἱ λόγοι εἶναι πράγματι εἰκόνες τῶν ψυχῶν. Σὲ ἐγνωρίσαμεν λοιπὸν καλῶς διὰ τοῦ γράμματος, ὅσον, ὅπως λέγουν, «ἀπὸ τοὺς ὄνυχας τὸν λέοντα» [1], καὶ ηὐχαριστήθημεν ποὺ ηὕραμεν ὅτι δὲν διάκεισαι νωθρῶς πρὸς τὰ πρῶτα καὶ μέγιστα ἐκ τῶν ἀγαθῶν, δηλαδὴ τὴν πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπην. Ὡς σημεῖον δὲ τοῦ μὲν δευτέρου λαμβάνομεν τὴν πρὸς ἡμᾶς φιλοφροσύνην σου, τοῦ δὲ πρώτου τὸν ζῆλόν σου διὰ τὴν θείαν γνῶσιν. Ὅτι δὲ εἰς τὰ δύο αὐτὰ περικλείονται τὰ πάντα, εἶναι γνωστὸν εἰς κάθε μαθητὴν τοῦ Χριστοῦ.

2. Τὰ γραπτὰ τοῦ Διονυσίου [2] ποὺ ζητεῖς ἦλθαν μὲν εἰς ἡμᾶς, καὶ εἶναι μάλιστα πολλά, ἀλλὰ δὲν ἔχομεν ἐδῶ τὰ βιβλία, διὰ τοῦτο καὶ δὲν σοῦ τὰ ἐστείλαμεν. Ἡ γνώμη μας περὶ αὐτῶν εἶναι ἡ ἑξῆς. Δὲν θαυμάζομεν τὰ πάντα εἰς αὐτὸν τὸν ἄνδρα· ὑπάρχουν μάλιστα μερικὰ ποὺ ἀποδοκιμάζομεν. Καθ' ὅσον γνωρίζομεν μάλιστα, αὐτὸς εἶναι ὁ πρῶτος ποὺ ἔθεσεν εἰς τοὺς ἀνθρώπους τὰ σπέρματα αὐτῆς ἐδῶ τῆς διαβοήτου ἀσεβείας, τῆς τῶν Ἀνομοίων ἐννοῶ. Αἴτιον δὲ εἶναι, νομίζω, ὄχι πονηρία γνώμης, ἀλλὰ τὸ ὅτι ἤθελε ν' ἀντιταχθῇ εἰς τὸν Σαβέλλιον [3]. Συνηθίζω δὲ ἐγὼ νὰ τὸν παραβάλλω μὲ φυτοκόμον ποὺ προσπαθεῖ νὰ ἰσιώσῃ ἕνα στραβὸν νεαρὸν φυτόν, ἔπειτα δὲ ἀποτυ-

2. Τοῦ Διονυσίου ἀρχιεπισκόπου Ἀλεξανδρείας εἰς τὰ μέσα τοῦ 3ου αἰῶνος.

3. Ὁ Σαβέλλιος ἦτο αἱρεσιάρχης τῶν ἀρχῶν τοῦ 3ου αἰῶνος, ὁ ὁποῖος ἐδίδασκε τὴν ταυτότητα τοῦ Υἱοῦ μὲ τὸν Πατέρα. Οἱ ὀπαδοί του ἐλέγοντο Πατροπασχῖται καὶ Σαβελλιανοί.

τρίᾳ τῆς ἀνθολκῆς διαμαρτόντι τοῦ μέσου καὶ πρὸς τὸ ἐναντίον ἀπαγαγόντι τὸ βλάστημα. Τοιοῦτόν τι καὶ περὶ τὸν ἄνδρα τοῦτον γεγενημένον εὕρομεν. Ἀντιβαίνων γὰρ σφοδρῶς τῇ ἀσεβείᾳ τοῦ Λίβυος ἔλαθεν ἑαυτὸν εἰς τὸ ἐναντίον κακὸν ὑπὸ τῆς ἄγαν φιλοτιμίας ὑπενεχθείς. Ὥ γε τοσοῦτον ἐξαρκοῦν δεῖξαι ὅτι οὐ ταὐτὸν τῷ ὑποκειμένῳ Πατὴρ καὶ Υἱός, καὶ ταῦτα ἔχειν κατὰ τοῦ βλασφημοῦντος τὰ νικητήρια, ὁ δέ, ἵνα πάνυ ἐναργῶς καὶ ἐκ τοῦ περιόντος κατακρατῇ, οὐχ ἑτερότητα μόνον τῶν ὑποστάσεων τίθεται, ἀλλὰ καὶ οὐσίας διαφορὰν καὶ δυνάμεως ὕφεσιν καὶ δόξης παραλλαγήν. Ὥστε ἐκ τούτου συνέβη κακοῦ μὲν αὐτὸν κακὸν διαμεῖψαι, τῆς δὲ ὀρθότητος τοῦ λόγου διαμαρτεῖν. Ταύτῃ τοι καὶ παντοδαπός ἐστιν ἐν τοῖς συγγράμμασι, νῦν μὲν ἀναιρῶν τὸ ὁμοούσιον, διὰ τὸν ἐπ' ἀθετήσει τῶν ὑποστάσεων κακῶς αὐτῷ κεχρημένον, νῦν δὲ προσιέμενος ἐν οἷς ἀπολογεῖται πρὸς τὸν ὁμώνυμον. Πρὸς δὲ τούτοις καὶ περὶ τοῦ Πνεύματος ἀφῆκε φωνὰς ἥκιστα πρεπούσας πνευματικῷ, τῆς προσκυνουμένης αὐτὸ θεότητος ἐξορίζων καὶ κάτω που τῇ κτιστῇ καὶ λειτουργῷ φύσει συναριθμῶν. Ὁ μὲν οὖν ἀνὴρ τοιοῦτος.

3. Ἐγὼ δέ, εἰ χρὴ τοὐμὸν ἴδιον εἰπεῖν, τὸ «ὅμοιον κατ' οὐσίαν», εἰ μὲν προσκείμενον ἔχει τὸ «ἀπαραλλάκτως», δέχομαι τὴν φωνὴν ὡς εἰς ταὐτὸν τῷ ὁμοουσίῳ φέρουσαν, κατὰ τὴν ὑγιᾶ δηλονότι τοῦ ὁμοουσίου διάνοιαν. Ὅπερ καὶ τοὺς ἐν Νικαίᾳ νοήσαντας, φῶς ἐκ φωτὸς καὶ Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ καὶ τὰ τοιαῦτα τὸν Μονογενῆ προσειπόντας, ἐπαγαγεῖν ἀκολούθως τὸ ὁμο-

4. Ὁ Σαβέλλιος κατήγετο ἀπὸ τὴν Λιβύην.

χὼν νὰ τὸ φέρῃ εἰς τὸ μέσον λόγῳ ὑπερβολικῆς ἀντιθέτου ἕλξεως φέρει τὸ βλάστημα εἰς τὴν ἀντίθετον στροφήν. Ηὕραμεν ὅτι κάτι τέτοιον ἔγινε καὶ εἰς αὐτὸν τὸν ἄνδρα. Ἀντιτασσόμενος δηλαδὴ σφοδρῶς εἰς τὴν ἀσέβειαν τοῦ Λίβυος [4], χωρὶς νὰ τὸ καταλάβῃ ἔφθασεν εἰς τὸ ἀντίθετον κακὸν παρασυρόμενος ἀπὸ τὴν ὑπερβολικὴν φιλοτιμίαν. Εἰς ταῦτα βεβαίως εἶναι ἀρκετὸν νὰ δείξωμεν ὅτι δὲν ταυτίζονται κατὰ τὸ πρόσωπον ὁ Πατὴρ καὶ ὁ Υἱός, καὶ ἐπομένως δὲν ἐκέρδισεν οὕτω τὰ νικητήρια κατὰ τοῦ βλασφημοῦντος· αὐτὸς δέ, διὰ νὰ ἐπικρατήσῃ σαφῶς καὶ πλήρως, ὄχι μόνον ἑτερότητα τῶν ὑποστάσεων δέχεται, ἀλλὰ καὶ διαφορὰν οὐσίας καὶ κατωτερότητα δυνάμεως καὶ παραλλαγὴν δόξης. Ὥστε λόγῳ τοῦ σφάλματος τούτου συνέβη αὐτὸς ν' ἀντικαταστήσῃ ἕνα κακὸν μὲ ἄλλο κακόν, νὰ παρεκκλίνῃ δὲ τῆς ὀρθότητος τῆς διδασκαλίας.

Διὰ τὸν λόγον τοῦτον δὲ εἶναι καὶ ἀντιφατικὸς εἰς τὰ συγγράμματα, ἄλλοτε μὲν ἀναιρῶν τὸ ὁμοούσιον, διὰ τὸ ὅτι τὸ ἐκακομεταχειρίσθη ἐκεῖνος πρὸς ἀθέτησιν τῶν ὑποστάσεων, ἄλλοτε δὲ παραδεχόμενος αὐτὸ μὲ ὅσα ἀπολογεῖται πρὸς τὸν ὁμώνυμόν του [5]. Ἐκτὸς δὲ τούτων καὶ περὶ τοῦ Πνεύματος ἄφησε φωνὰς ἐλάχιστα ἁρμοζούσας εἰς πνευματικὸν ἄνθρωπον, ἀφοῦ τὸ ἐξορίζει ἀπὸ τὴν προσκυνουμένην θεότητα καὶ τὸ τοποθετεῖ κάπου κάτω εἰς τὴν κτιστὴν καὶ λειτουργικὴν φύσιν. Τοιοῦτος λοιπὸν εἶναι ὁ ἀνὴρ αὐτός.

3. Ἐγὼ δέ, ἐὰν χρειάζεται νὰ εἴπω τὴν προσωπικήν μου γνώμην, τὴν φράσιν «κατὰ τὴν οὐσίαν ὅμοιον», ἐὰν μὲν ἔχῃ προστεθειμένην τὴν λέξιν «ἀπαραλλάκτως», τὴν δέχομαι, ὡς ὁδηγοῦσαν εἰς τὴν ἰδίαν ἔννοιαν μὲ τὸ «ὁμοούσιον», βεβαίως κατὰ τὴν ὑγιᾶ σημασίαν τοῦ ὁμοουσίου. Αὐτὸ ἐσκέφθησαν καὶ οἱ πατέρες τῆς Νικαίας καί, ἀφοῦ ὠνόμασαν «φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ» καὶ τὰ παρόμοια τοῦ Μο-

5. Τὸν Διονύσιον Ρώμης, ὁ ὁποῖος ἀνησύχησεν ἀπὸ τὴν τάσιν τοῦ Διονυσίου Ἀλεξανδρείας νὰ φθάνῃ εἰς τὸ ἄλλο ἄκρον, τῆς ὑποταγῆς τοῦ Υἱοῦ εἰς τὸν Πατέρα, ἀπὸ ἀντίθεσιν πρὸς τὸν μοναρχιανισμὸν τοῦ Σαβελλίου.

ούσιον. Οὔτε οὖν φωτὸς πρὸς φῶς, οὔτε ἀληθείας πρὸς ἀλήθειάν ποτε, οὔτε τῆς τοῦ Μονογενοῦς οὐσίας πρὸς τὴν τοῦ Πατρός, ἐπινοῆσαί τινα παραλλαγὴν δυνατόν. Εἴ τις οὖν οὕτως ὡς εἶπον ἐκδέχοιτο, προσίεμαι τὴν φωνήν. Εἰ δέ τις τοῦ ὁμοίου τὸ ἀπαράλλακτον ἀποτέμνοι, ὅπερ οἱ κατὰ τὴν Κωνσταντινούπολιν πεποιήκασιν, ὑποπτεύω τὸ ῥῆμα ὡς τοῦ Μονογενοῦς τὴν δόξαν κατασμικρύνον. Καὶ γὰρ καὶ ἀμυδραῖς ἐμφερείαις καὶ πλεῖστον τῶν ἀρχετύπων ἀποδεούσαις τὸ ὅμοιον πολλάκις ἐπιλέγειν εἰώθαμεν. Ἐπεὶ οὖν ἧττον οἶομαι κακουργεῖσθαι τὸ ὁμοούσιον, οὕτω καὶ αὐτὸς τίθεμαι. Ἀλλὰ τί οὐκ ἐπιφοιτᾷς ἡμῖν, ὦ ἄριστε, ὥστε παρόντας ἡμᾶς ἀλλήλοις περὶ τούτων διαλεχθῆναι καὶ μὴ γράμμασι ἀψύχοις καταπιστεύειν τὰ τηλικαῦτα, ἄλλως τε μηδὲ πάνυ δημοσιεύειν τὰ ἑαυτῶν ἐγνωκότας; Ὅπως οὖν μὴ τὸ τοῦ Διογένους πρὸς τὸν Ἀλέξανδρον καὶ αὐτὸς ἡμῖν εἴπῃς, ὅτι ἴσον ἐστὶ παρ' ὑμῶν τὸ δεῦρο καὶ πρὸς ὑμᾶς ἐνθένδε. Ἡμεῖς μὲν γὰρ ὑπὸ τῆς ἀρρωστίας, μικροῦ δεῖν, ὥσπερ τὰ φυτά, ἐπὶ τῆς αὐτῆς χώρας ἀεὶ κατεχόμεθα, καὶ ἅμα τὸ λαθεῖν βιώσαντες ἐν τοῖς πρώτοις τῶν ἀγαθῶν ἄγομεν. Σὺ δὲ ἔρρωσαί τε, ὥς φασι, καὶ ἅμα πολίτην σεαυτὸν τῆς οἰκουμένης ποιήσας δίκαιος ἂν εἴης καὶ δεῦρο φοιτᾶν, ὡς εἰς μέρος τῆς σεαυτοῦ. Εἰ γὰρ καὶ τοῖς πρακτικοῖς ὑμῖν πρέπουσι δῆμοι καὶ πόλεις, αἷς τὰς κατ' ἀρετὴν πράξεις ἐνεπιδείκνυσθε, ἀλλά γε πρὸς θεωρίαν καὶ τὴν κατὰ νοῦν ἐνέργειαν, δι' ἧς συναπτόμεθα τῷ Θεῷ, ἀγαθὴ συνεργὸς ἡ ἡσυχία· ἣν πολλὴν ἐπὶ τῆς ἐσχατιᾶς καὶ ἄφθονον γεωργοῦμεν σὺν αὐτῷ γε εἰπεῖν τῷ παρασχομένῳ ἡμῖν Θεῷ. Εἰ δὲ πάντως δεῖ περιέπειν τὰς δυ-

---

6. Ἡ σύνοδος Κωνσταντινουπόλεως τοῦ 360, κυριαρχημένη ἀπὸ τοὺς Ὁμοίους, συνέταξε σύμβολον ἀρειανικόν.

νογενοῦς, προσέθεσαν ἀκολούθως τὸ ὁμοούσιον. Δὲν εἶναι λοιπὸν δυνατὸν νὰ ἐπινοήσῃ κανεὶς ποτὲ κάποιαν διαφορὰν μεταξὺ φωτὸς καὶ φωτός, οὔτε μεταξὺ ἀληθείας πρὸς ἀλήθειαν, οὔτε μεταξὺ τῆς οὐσίας τοῦ Μονογενοῦς πρὸς τὴν τοῦ Πατρός. Ἐὰν λοιπὸν κανεὶς τὸ δέχεται ἀκριβῶς ὅπως τὸ εἶπα, παραδέχομαι τὴν ἔκφρασιν. Ἐὰν δὲ ἀποκόπτῃ ἀπὸ τὸ «ὅμοιον» τὸ «ἀπαράλλακτον», πρᾶγμα τὸ ὁποῖον ἔκαμαν οἱ συνελθόντες εἰς τὴν Κωνσταντινούπολιν [6], ὑποψιάζομαι ὅτι ἡ φράσις μειώνει τὴν δόξαν τοῦ Μονογενοῦς. Πράγματι καὶ δι' εἰκόνας δυσδιακρίτους καὶ πολὺ ἀπομακρυσμένας ἀπὸ τὰ πρωτότυπα συνηθίζομεν πολλάκις νὰ ἀποδίδωμεν τὸν ὅρον «ὅμοιος». Ἐπειδὴ λοιπὸν νομίζω ὅτι ὁ ὅρος «ὁμοούσιον» δύναται νὰ παρερμηνευθῇ ὀλιγώτερον, διὰ τοῦτο τὸν παραδέχομαι καὶ ἐγώ.

Ἀλλὰ διατί δὲν μᾶς ἐπισκέπτεσαι, ὦ ἄριστε, ὥστε νὰ συζητήσωμεν περὶ τούτων μεταξύ μας προσωπικῶς καὶ νὰ μὴ ἐμπιστευώμεθα τόσον σπουδαῖα ζητήματα εἰς ἄψυχα γράμματα, δεδομένου μάλιστα ὅτι δὲν ἀπεφασίσαμεν ὁριστικῶς νὰ κοινοποιήσωμεν τὰς ἐν προκειμένῳ ἀπόψεις μας; Νὰ μὴ εἴπῃς ὅμως καὶ σὺ πρὸς ἡμᾶς τὸ τοῦ Διογένους πρὸς τὸν Ἀλέξανδρον, ὅτι ἴση εἶναι ἡ ἀπόστασις ἀπὸ ἐσὲ ἕως ἐδῶ καὶ ἀπὸ ἐδῶ ἕως ἐσέ. Διότι ἡμεῖς μὲν κρατούμεθα σχεδὸν διαπαντὸς εἰς τὸν ἴδιον τόπον, ὅπως τὰ φυτά, καὶ ἐπὶ πλέον θεωροῦμεν ὡς ἕνα ἀπὸ τὰ πρῶτα ἀγαθὰ τὸ νὰ ζῶμεν ἄγνωστοι. Σὺ δέ, ὅπως λέγουν, εἶσαι ὑγιὴς καὶ ἐπὶ πλέον, ἀφοῦ ἔχεις καταστήσει τὸν ἑαυτόν σου πολίτην τῆς οἰκουμένης, θὰ ἦτο δίκαιον νὰ ἔλθῃς καὶ ἐδῶ, ὡς εἰς μέρος τῆς περιοχῆς σου. Ἐὰν πράγματι εἰς σᾶς τοὺς πρακτικοὺς ταιριάζουν δῆμοι καὶ πόλεις, ὅπου ἐπιδεικνύεσθε μὲ τὰς ἐναρέτους πράξεις σας, ὅμως εἰς τὴν θεωρίαν καὶ τὴν ἐνέργειαν τοῦ νοός, διὰ τῆς ὁποίας συναπτόμεθα μὲ τὸν Θεόν, ἀγαθὴ συνεργὸς εἶναι ἡ ἡσυχία. Αὐτὴν δὲ τὴν ἡσυχίαν καλλιεργοῦμεν πολλὴν καὶ ἄφθονον εἰς τὴν γωνίαν ταύτην, μαζὶ μὲ τὸν Θεόν, θὰ ἐλέγαμεν, ποὺ μᾶς τὴν ἔχει προμηθεύσει. Ἐὰν δὲ πάντως πρέπει νὰ περιποιῆται κανεὶς τοὺς ἄρχοντας

ναστείας καὶ περιφρονεῖν τοὺς χαμαὶ κειμένους ἡμᾶς, σὺ δὲ ἄλλα γράφε καὶ ταύτῃ ποίει ἡδίους.

268

271. ΕΥΣΕΒΙΩ ΕΤΑΙΡΩ ΣΥΣΤΑΤΙΚΗ ΕΠΙ ΚΥΡΙΑΚΩ ΠΡΕΣΒΥΤΕΡΩ

Εὐθὺς κατὰ πόδας τῆς σῆς ἀναχωρήσεως ἐπιστὰς τῇ πόλει ὅσον ἠθύμησα διαμαρτών σου, τί δεῖ καὶ λέγειν πρὸς ἄνδρα οὐ λόγου δεόμενον, ἀλλὰ πείρᾳ εἰδότα τῷ τὰ ὅμοια πεπονθέναι; Ὅσου γὰρ ἦν ἄξιον ἐμοὶ ἰδεῖν τὸν πάντα ἄριστον Εὐσέβιον καὶ περιπτύξασθαι καὶ πρὸς τὴν νεότητα πάλιν τῇ μνήμῃ ἐπανελθεῖν καὶ ὑπομνησθῆναι ἡμερῶν ἐκείνων ἐν αἷς καὶ δωμάτιον ἡμῖν ἓν καὶ ἑστία μία καὶ παιδαγωγὸς ὁ αὐτὸς καὶ ἄνεσις καὶ σπουδὴ καὶ τρυφὴ καὶ ἔνδεια καὶ πάντα ἡμῖν ἐξ ἴσου πρὸς ἀλλήλους ὑπῆρχε. Πόσου οἴει τίθεσθαί με ἄξιον πάντα ταῦτα διὰ τῆς σῆς συντυχίας ἀναλαβεῖν τῇ μνήμῃ καὶ τὸ βαρὺ τοῦτο γῆρας ἀποξυσάμενον νέον δοκεῖν πάλιν ἐκ γέροντος γεγενῆσθαι; Ἀλλ' ἐκείνων μέν με διέφυγεν ἡ ἀπόλαυσις, τὸ δὲ διὰ γράμματος ἰδεῖν σου τὴν λογιότητα καὶ τὸν ἐνόντα τρόπον ἑαυτὸν παραμυθήσασθαι οὐκ ἀφῃρέθην, τῇ συντυχίᾳ τοῦ αἰδεσιμωτάτου Κυριακοῦ τοῦ συμπρεσβυτέρου· ὃν αἰσχύνομαι συνιστῶν σοι καὶ οἰκεῖον ποιῶν δι' ἐμαυτοῦ, μή ποτε δόξω περίεργόν τι ποιεῖν σοι προσάγων τὰ ἴδιά σου καὶ ἐξαίρετα. Ἀλλ', ἐπειδή με δεῖ καὶ μάρτυρα εἶναι τῆς ἀληθείας καὶ τοῖς συνημμένοις πνευματικῶς τὰ μέγιστα τῶν ἐμοὶ προσόντων χαρίζε-

---

Ἐπιστολὴ 271. Ἐγράφη μετὰ τὸ 371. Ἐστάλη πρὸς νεανικὸν φίλον τοῦ Βασιλείου, συμφοιτητὴν καὶ συγκάτοικόν του κατὰ τὸν χρόνον τῶν

καὶ νὰ περιφρονῇ ἡμᾶς ποὺ εἴμεθα χαμηλά, σὺ τοὐλάχιστον στέλλε καὶ ἄλλα γράμματα καὶ κάμε μας μὲ αὐτὸν τὸν τρόπον εὐτυχεῖς.

268

ΕΠΙΣΤΟΛΗ 271
ΠΡΟΣ ΤΟΝ ΦΙΛΟΝ ΕΥΣΕΒΙΟΝ ΣΥΣΤΑΤΙΚΗ ΥΠΕΡ ΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΚΥΡΙΑΚΟΥ

Τὸ πόσον ἐστενοχωρήθην ποὺ ἐλθὼν εἰς τὴν πόλιν σου ἀμέσως κατὰ πόδας μετὰ τὴν ἀναχώρησίν σου δὲν σὲ ἐπέτυχα, δὲν εἶναι ἀνάγκη νὰ τὸ εἴπω πρὸς ἄνδρα ποὺ δὲν ἔχει ἀνάγκην λόγου, ἀλλὰ γνωρίζει ἐκ πείρας ἀφοῦ ἔπαθε παρόμοια. Πόσον ἤξιζε νὰ ἴδω τὸν εἰς ὅλα ἄριστα Εὐσέβιον, νὰ τὸν ἐναγκαλισθῶ, νὰ ἐπανέλθω πάλιν εἰς τὴν νεότητα μὲ τὴν μνήμην καὶ νὰ ἐνθυμηθῶ τὰς ἡμέρας ἐκείνας, κατὰ τὰς ὁποίας εἴχαμεν ἕνα δωμάτιον καὶ μίαν ἑστίαν καὶ ἕνα παιδαγωγόν, κατὰ τὰς ὁποίας εἴχαμεν κοινὴν τὴν ἄνεσιν, τὴν σπουδήν, τὴν ἀπόλαυσιν, τὴν πτωχείαν καὶ τὰ πάντα; Πόσον νομίζεις ὅτι θεωρῶ ἄξιον τὸ νὰ ξαναφέρω ὅλα αὐτὰ εἰς τὴν μνήμην μου διὰ τῆς συναντήσεως μὲ σὲ καὶ νὰ φαντασθῶ ὅτι ἀπαλλαγεὶς ἀπὸ τοῦτο τὸ βαρὺ γῆρας ἔγινα πάλιν νέος ἀπὸ γέροντος;

Καὶ ἐκείνων μὲν ἡ ἀπόλαυσις μοῦ ἐξέφυγε, δὲν μοῦ ἀφηρέθη ὅμως τὸ δικαίωμα νὰ ἴδω μὲ γράμμα τὴν λογιότητά σου καὶ οὕτω κατὰ τὸ δυνατὸν νὰ παρηγορήσω τὸν ἑαυτόν μου, χάριν εἰς τὴν συνάντησιν μὲ τὸν αἰδεσιμώτατον Κυριακόν, τὸν συμπρεσβύτερον. Αὐτὸν βέβαια ἐντρέπομαι νὰ σοῦ τὸν συστήσω καὶ νὰ τὸν κάμω αὐθαιρέτως ἰδικόν μου, μὴ τυχὸν φανῶ ὅτι διαπράττω κάτι τὸ περίεργον φέρων εἰς σὲ ὅσα εἶναι ἤδη ἰδικά σου, καὶ πολύτιμα μάλιστα. Ἀλλ' ἐπειδὴ πρέπει καὶ μάρτυς τῆς ἀληθείας νὰ εἶμαι καὶ εἰς τοὺς συνδεδεμένους πνευματι-

---

σπουδῶν των. Ὁ Κυριακὸς εἶναι ἴσως τὸ αὐτὸ πρόσωπον μὲ τὸ τῆς ἐπιστολῆς 188 Α΄τ.

σθαι, τὸ μὲν περὶ τὴν ἱερωσύνην ἀνεπηρέαστον τοῦ ἀνδρὸς ἡγοῦμαι καὶ σοὶ φανερὸν εἶναι, βεβαιῶ δὲ κἀγὼ οὐδεμίαν γνωρίζων κατ' αὐτοῦ παρὰ τῶν πᾶσιν ἐπιβαλλόντων τὰς χεῖρας, τῶν μὴ φοβουμένων τὸν Κύριον, ἐπήρειαν. Καίτοιγε, εἴ τι ἐγεγόνει παρ' αὐτῶν, οὔθ' οὕτως ἀνάξιος ἦν ὁ ἀνήρ. Οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου βεβαιοῦσι τοὺς βαθμοὺς μᾶλλον οἷς ἂν προσπολεμῶσιν ἢ ἀφαιροῦνταί τι τῆς ὑπαρχούσης αὐτοῖς παρὰ τοῦ Πνεύματος χάριτος. Πλὴν ἀλλ', ὅπερ ἔφην, οὐδὲ κατεπενοήθη τι τοῦ ἀνδρός. Ὡς οὖν πρεσβύτερον ἀνεπηρέαστον καὶ ἡμῖν συνημμένον καὶ πάσης αἰδοῦς ἄξιον, οὕτω καταξίου αὐτὸν ὁρᾶν σαυτόν τε ὠφελῶν καὶ ἡμῖν χαριζόμενος.

269

277. ΜΑΞΙΜΩ ΣΧΟΛΑΣΤΙΚΩ

Ἀπήγγειλέ μοι ὁ καλὸς καὶ ἀγαθὸς Θεότεκνος τὰ περὶ σεμνότητός σου καὶ ἐνεποίησέ μοι πόθον τῆς συντυχίας ἐναργῶς ὑπογράφων τῷ λόγῳ τῆς ψυχῆς σου τὸν χαρακτῆρα, καὶ τοσοῦτον ἐξέκαυσέ μου τὸ περὶ σὲ φίλτρον ὡς, εἰ μὴ καὶ τῷ γήρᾳ ἐβαρυνόμην καὶ τῇ συντρόφῳ κατειχόμην ἀσθενείᾳ καὶ μυρίαις ταῖς κατὰ τὴν Ἐκκλησίαν φροντίσιν ἤμην πεπεδημένος, οὐδὲν ἂν με κατέσχεν αὐτὸν γενέσθαι παρὰ σέ. Καὶ γὰρ οὐ μικρὸν τῷ ὄντι κέρδος ἐξ οἰκίας μεγάλης καὶ γένους περιφανοῦς πρὸς τὸν εὐαγγελικὸν μεταστάντα βίον χαλινῶσαι μὲν λογισμῷ τὴν νεότητα, τὰ δὲ τῆς σαρκὸς πάθη δοῦλα τῷ λογισμῷ ποιῆσαι, ταπεινοφροσύνῃ δὲ χρή-

---

Ἐπιστολὴ 277. Ἐγράφη πρὸς τὸ τέλος τοῦ βίου τοῦ Βασιλείου. Δὲν

κῶς μὲ ἐμὲ νὰ χαρίσω τὰ μεγαλύτερα τῶν ἀγαθῶν μου, λέγω τοῦτο· νομίζω ὅτι τὸ ἄψογον τῆς χειροτονίας τοῦ ἀνδρὸς εἶναι γνωστὸν καὶ εἰς σέ, ἐπιβεβαιώνω δὲ καὶ ἐγώ, καθ' ὅσον δὲν γνωρίζω καμμίαν συκοφαντίαν κατ' αὐτοῦ ἐκ μέρους ἐκείνων ποὺ ἐπιτίθενται ἐναντίον ὅλων, ἐκ μέρους τῶν ἀνθρώπων ποὺ δὲν φοβοῦνται τὸν Κύριον. Μολονότι, καὶ ἐὰν εἶχε συμβῆ κάτι τέτοιον ἀπὸ αὐτούς, πάλιν δὲν θὰ ἦτο ἀνάξιος ὁ ἄνδρας. Οἱ ἐχθροὶ τοῦ Κυρίου ἐπιβεβαιοῦν μᾶλλον τοὺς ἱερατικοὺς βαθμοὺς ἐκείνων ποὺ πολεμοῦν παρὰ ἀφαιροῦν κάτι ἀπὸ τὴν χάριν ποὺ ἔχει δοθῆ εἰς αὐτοὺς ὑπὸ τοῦ Πνεύματος. Πάντως ὅμως, ὅπως εἶπα, οὔτε κἂν ἐπενοήθη κάτι ἐναντίον τοῦ ἀνδρός.

Ἐπομένως καταξίωσε νὰ τὸν βλέπῃς ὡς πρεσβύτερον ἄμεμπτον καὶ συνδεδεμένον μὲ ἡμᾶς καὶ ἄξιον κάθε σεβασμοῦ, ὠφελῶν τὸν ἑαυτόν σου καὶ ἱκανοποιῶν τὸ αἴτημά μας.

269

ΕΠΙΣΤΟΛΗ 277
ΠΡΟΣ ΤΟΝ ΛΟΓΙΟΝ ΜΑΞΙΜΟΝ

Ὁ καλὸς καὶ ἀγαθὸς Θεότεκνος μοῦ ἐγνωστοποίησε τὰ σχετικὰ μὲ τὴν σεμνότητά σου καὶ περιγράφων ζωηρῶς μὲ τὸν λόγον τὸν χαρακτῆρα τῆς ψυχῆς σου μοῦ ἐγέννησε πόθον πρὸς συνάντησίν σου καὶ τόσον μοῦ ἐθέρμανε τὸ φίλτρον πρὸς σὲ ὥστε, ἐὰν δὲν ἐβαρυνόμην ἀπὸ τὸ γῆρας καὶ δὲν κατειχόμην ἀπὸ τὴν σύντροφον ἀσθένειαν καὶ δὲν ἤμην δεμένος μὲ μυρίας διὰ τὴν Ἐκκλησίαν φροντίδας, τίποτε δὲν θὰ μ' ἐκρατοῦσε νὰ ἔλθω ὁ ἴδιος πλησίον σου. Διότι πράγματι δὲν εἶναι μικρὸν πρᾶγμα, δι' ἕνα ἄνδρα ποὺ μετέστη ἀπὸ μεγάλον οἶκον καὶ ἐπίσημον γένος πρὸς τὸν εὐαγγελικὸν βίον, τὸ νὰ χαλιναγωγήσῃ τὴν νεότητα μὲ τὸν λογισμόν, τὰ δὲ πάθη τῆς σαρκὸς νὰ κατα-

---

εἶναι εὔκολον νὰ ἐξιχνιασθῇ ἡ ταυτότης τοῦ Μαξίμου τούτου. Ἦτο πάντως λόγιος, προσφάτως προσχωρήσας εἰς τὸν Χριστιανισμόν.

σασθαι τῇ ὀφειλομένῃ Χριστιανῷ, φρονοῦντι περὶ ἑαυτοῦ οἷα εἰκός, ὅθεν ἔφυ καὶ οἵ πορεύσεται. Ἡ γὰρ τῆς φύσεως ἔννοια καταστέλλει μὲν τῆς ψυχῆς τὸ φλεγμαῖνον, ἀλαζονείαν δὲ πᾶσαν καὶ αὐθάδειαν ὑπερορίζει καί, τὸ ὅλον, μαθητὴν τοῦ Κυρίου καθίστησι τοῦ εἰπόντος· «Μάθετε ἀπ' ἐμοῦ ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ». Τῷ γὰρ ὄντι, φίλτατε παίδων, μόνον περισπούδαστον καὶ ἐπαινετὸν τὸ διαρκὲς ἀγαθόν. Τοῦτο δέ ἐστιν ἡ παρὰ Θεοῦ τιμή. Τὰ δὲ ἀνθρώπινα ταῦτα σκιᾶς ἐστιν ἀμυδρότερα καὶ ὀνείρων ἀπατηλότερα. Ἥ τε γὰρ νεότης τῶν ἠρινῶν ἀνθῶν ὀξύτερον καταρρεῖ καὶ ὥρα σώματος ἢ νόσῳ ἢ χρόνῳ μαραίνεται. Καὶ πλοῦτος μὲν ἄπιστος, δόξα δὲ εὐπερίτρεπτος. Αἵ τε περὶ τὰς τέχνας διαπονήσεις τῷ χρόνῳ τούτῳ συναπαρτίζονται. Ἀλλὰ καὶ τὸ περισπούδαστον ἅπασιν, οἱ λόγοι, ἄχρι τῆς ἀκοῆς τὴν χάριν ἔχουσιν. Ἀρετῆς δὲ ἄσκησις τίμιον μὲν κτῆμα τῷ ἔχοντι, ἥδιστον δὲ θεαμάτων τοῖς ἐντυγχάνουσιν. Ὧν ἐπιμελόμενος ἄξιον σεαυτὸν καταστήσεις τῶν ἐν ἐπαγγελίαις ἀποκειμένων παρὰ τοῦ Κυρίου ἀγαθῶν. Τίνι δ' ἂν τρόπῳ ἔλθοις πρὸς τὴν τῶν καλῶν ἀνάληψιν καὶ ὅπως ἂν τὰ κτηθέντα διασώσοιο μακρότερον εἰπεῖν ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν τοῦ λόγου. Ἐπῆλθε δ' οὖν μοι καὶ αὐτὰ ταῦτα προφθέγξασθαι ἐξ ὧν ἤκουσα παρὰ τοῦ ἀδελφοῦ Θεοτέκνου· δν πάντοτε μὲν εὔχομαι ἀληθεύειν, μάλιστα δὲ ἐν τοῖς περὶ σοῦ λόγοις, ἵνα πλέον δοξάζηται ἐπὶ σοὶ ὁ Κύριος, ἀπὸ ῥίζης ἀλλοτρίας τοῖς πολυτιμήτοις καρποῖς τῆς εὐσεβείας βρύοντι.

---

1. Ματθ. 11, 29.

στήση δοῦλα εἰς τὸν λογισμὸν καὶ νὰ ἐπιδεικνύῃ ταπεινοφροσύνην ἡ ὁποία ἁρμόζει εἰς Χριστιανὸν ποὺ διερωτᾶται δι' ἑαυτὸν ὅσα εἶναι εὔλογον, ἀπὸ ποῦ προῆλθε καὶ ποῦ θὰ ὑπάγῃ. Ἡ περὶ τῆς φύσεως ἡμῶν συλλόγισις τὴν μὲν ὑπεροψίαν τῆς ψυχῆς καταστέλλει, ὅλην δὲ τὴν ἀλαζονείαν καὶ αὐθάδειαν ἐξαφανίζει καὶ τὸ σπουδαιότερον μᾶς καθιστᾷ μαθητὰς τοῦ Κυρίου ποὺ εἶπε· «μάθετε ἀπ' ἐμοῦ ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ»[1]. Πράγματι δέ, φίλτατον τέκνον, τὸ μόνον περισπούδαστον καὶ ἐπαινετὸν εἶναι τὸ διαρκὲς ἀγαθόν. Τοῦτο δὲ εἶναι ἡ παρὰ τοῦ Θεοῦ τιμή. Αὐτὰ δὲ τὰ ἀνθρώπινα εἶναι ἀμυδρότερα σκιᾶς καὶ ἀπατηλότερα ὀνείρων. Ἡ νεότης καταρρέει ταχύτερον ἀπὸ τὰ ἐαρινὰ ἄνθη καὶ ἡ σωματικὴ ὡραιότης μαραίνεται εἴτε ἀπὸ νόσον εἴτε ἀπὸ χρόνον. Καὶ ὁ μὲν πλοῦτος εἶναι ἄπιστος ἡ δὲ δόξα εὐμετάβλητος. Ἡ καλλιέργεια τῶν τεχνῶν τερματίζεται μαζὶ μὲ τὸν χρόνον τοῦτον. Ἀλλὰ καὶ τὸ περισπούδαστον ἀπὸ ὅλους, ἡ ρητορεία, ἔχει χάριν μόνον μέχρι τῆς ἀκοῆς.

Ἀντιθέτως ἡ ἄσκησις τῆς ἀρετῆς διὰ μὲν τὸν κατέχοντα εἶναι πολύτιμον ἀπόκτημα, διὰ δὲ τοὺς συναντῶντας αὐτὴν γλυκύτατον θέαμα. Ἂν ἐπιμεληθῇς λοιπὸν τῶν ἀρετῶν, θὰ καταστήσῃς τὸν ἑαυτόν σου ἄξιον τῶν ἀγαθῶν ποὺ ἀπόκεινται εἰς τὰς ἐπαγγελίας τοῦ Κυρίου. Μὲ ποῖον δὲ τρόπον θὰ ἠμποροῦσες ν' ἀποκτήσῃς τὰ καλὰ αὐτὰ καὶ πῶς θὰ ἠμποροῦσες νὰ διατηρήσῃς τὰ ἀποκτηθέντα, ἀπαιτεῖ μακρότερον χρόνον ἀπὸ ὅσον ἐπιτρέπει ἡ παροῦσα φορὰ τοῦ λόγου. Πάντως μοῦ ἦλθε νὰ σοῦ ἀνακοινώσω καὶ αὐτὰ τὰ ὀλίγα ἀπὸ ὅσα ἤκουσα ἐκ μέρους τοῦ ἀδελφοῦ Θεοτέκνου. Εὔχομαι αὐτὸς νὰ λέγῃ πάντοτε τὴν ἀλήθειαν, μάλιστα δὲ ὅταν ὁμιλῇ δι' ἐσέ, διὰ νὰ δοξάζεται ὁ Κύριος εἰς σὲ περισσότερον, καθὼς παράγεις τοὺς πολυτίμους καρποὺς τῆς εὐσεβείας ἀπὸ ξενικὴν ρίζαν[2].

---

2. Εἰδωλολατρικὴν δηλαδή.

270

323. ΦΙΛΑΓΡΙΩ ΑΡΚΗΝΩ

Χάρις τῷ ἁγίῳ Θεῷ· οὐ γὰρ ἂν εἴποιμι χάριν ἔχειν τοῖς ἠδικηκόσι σε, ὅτι μοι γεγόνασι γραμμάτων ὑπόθεσις. Ἀλλ' ὁ παντα-χόθεν εὐεργετῶν ἡμᾶς Κύριος οἶδε καὶ διὰ τῶν λυπηρῶν πληροῦν πολλάκις τὰς παρακλήσεις. Ὅθεν καὶ ἡμῖν τὴν σκαιότητα τῶν ἀποδράντων σε εὐφροσύνης ἐποίησεν ἀφορμήν. Ἀλλὰ γράφοις ἡμῖν διὰ πάσης προφάσεως, τοιαῦτα γράφων, οὕτω μὲν ἀπὸ χρη-στῆς γνώμης, οὕτω δὲ ἀπὸ γλώττης κεκαθαρμένης. Καὶ γὰρ εἰ μή φαμεν προσποιεῖσθαι τὸ ἐν τῇ λέξει τερπνόν, ἀλλ' οὖν φυσικῶς πως κατακηλούμεθα παρ' αὐτοῦ καὶ ἄγετε ἡμᾶς οἱ τὸν λόγον χα-ρίεντες, ὥσπερ οἱ τὰς μελίσσας διὰ τῶν κρουμάτων. Πολλάς γε οὖν πέμπε τὰς ἐπιστολὰς καὶ μακρὰς ὡς ἔνι μάλιστα· οὐ γὰρ δὴ ἀρετὴ ἐπιστολῆς ἡ βραχύτης, οὐ μᾶλλόν γε ἢ ἀνθρώπου. Γράφε δὲ ἡμῖν τά τε κατὰ τὸν οἶκον ὅπως διάκειται καὶ αὐτό σοι τὸ σῶμα ὅπως ὑγείας ἔχει, καὶ εἰ τὰ τῶν Ἐκκλησιῶν ἡσυχάζει. Μέλει γάρ σοι καὶ τούτων καλῶς ποιοῦντι. Καὶ μέντοι καὶ εἴ τις δύναμις συμπονεῖν τῇ εἰρήνῃ καὶ τῇ ἑνώσει τῶν διεστηκότων, μὴ παραιτοῦ. Ὁ δὲ χρηστὸς Κυριακὸς ἥψατο πρότερον τῆς σπουδῆς καὶ τότε ἡμῖν ἀπέδωκε τὴν ἐπιστολήν, ἐπὶ δὲ τὰ λείψανα τοῦ πράγματος ἔσχε συναιρομένους τὰ ἡμῖν δυνατά. Ἐπεστείλαμεν γὰρ τῷ χω-ρεπισκόπῳ τῶν τόπων, ὃς ἐὰν ποιήσῃ τι τῶν προστεταγμένων αὐτὰ γνωρίσει τὰ πράγματα.

Ἐπιστολὴ 323. Ἐγράφη πιθανῶς κατὰ τὸν χρόνον τῆς ἀρχιερατείας, πρὸς τὸν Φιλάγριον, ὁ ὁποῖος εἶναι ἴσως τὸ ἴδιον πρόσωπον μὲ τὸν συμφοι-τητὴν καὶ φίλον τοῦ Καισαρίου, ἀδελφοῦ τοῦ Γρηγορίου Θεολόγου.

270

ΕΠΙΣΤΟΛΗ 323
ΠΡΟΣ ΤΟΝ ΦΙΛΑΓΡΙΟΝ ΑΡΚΗΝΟΝ

Εὐχαριστία ἀνήκει εἰς τὸν ἅγιον Θεόν· διότι δὲν δύναμαι νὰ εἴπω ὅτι εἶμαι εὐγνώμων εἰς αὐτοὺς ποὺ σὲ ἠδίκησαν διὰ τὸ ὅτι μοῦ ἔδωσαν ἀφορμὴν νὰ σοῦ γράψω. Ἀλλ' ὁ ἀπὸ παντοῦ εὐεργετῶν ἡμᾶς Κύριος γνωρίζει νὰ ἀναπληρώνῃ τὰς παρηγορίας πολλάκις καὶ διὰ λυπηρῶν πραγμάτων. Διὰ τοῦτο καὶ εἰς ἐμὲ τὴν σκαιότητα τῶν δραπετῶν σου ἔκαμεν ἀφορμὴν εὐφροσύνης. Ἀλλὰ νὰ μᾶς γράφῃς μὲ κάθε εὐκαιρίαν, ὅπως ἐσὺ ξεύρεις νὰ γράφῃς, μὲ τόσον ἔξοχον σκέψιν καὶ μὲ τόσον καθαρὰν γλῶσσαν. Διότι, μολονότι δὲν λέγομεν ὅτι ἐπιδιώκομεν τὴν τερπνότητα τῆς ἐκφράσεως, πάντως κατὰ τρόπον φυσικὸν γοητευόμεθα ἀπὸ αὐτὸ καὶ σεῖς ποὺ ἔχετε χαριτωμένον λόγον μᾶς ἑλκύετε, ὅπως ἑλκύουν τὰς μελίσσας μὲ τὴν κροῦσιν τυμπάνων. Στέλλε λοιπὸν πολλὰς ἐπιστολὰς καὶ ὅσον τὸ δυνατὸν ἐκτενεστέρας· διότι ἡ συντομία δὲν εἶναι ἀρετὴ τῆς ἐπιστολῆς, ὅπως δὲν εἶναι οὔτε τοῦ ἀνθρώπου. Γράφετέ μας δὲ πῶς εἶναι τὰ οἰκογενειακά σας, πῶς πηγαίνει ἡ ὑγεία τοῦ σώματος καὶ ἂν ἡ ἐκκλησιαστικὴ κατάστασις εἶναι ἤρεμος. Διότι ἐνδιαφέρεσαι καὶ δι' αὐτά, καλῶς ποιῶν. Ἐπὶ πλέον δέ, ἐὰν ἔχῃς τὴν δύναμιν νὰ συνεργασθῇς διὰ τὴν εἰρήνην καὶ τὴν ἕνωσιν τῶν διεστώτων, μὴ τὸ ἀποφύγῃς.

Ὁ δὲ χρηστὸς Κυριακὸς πρῶτα ἐπεδόθη εἰς τὴν τακτοποίησιν τῆς ὑποθέσεως μὲ ζῆλον καὶ ἔπειτα μᾶς ἐπέδωσε τὴν ἐπιστολήν· ἐπομένως μᾶς εἶχε συνεργοὺς μόνον εἰς τὰ ὑπολειπόμενα ζητήματα, ὅσον ἠδυνάμεθα. Διότι ἐγράψαμεν εἰς τὸν χωρεπίσκοπον τῆς περιοχῆς, κατὰ πόσον δὲ αὐτὸς θὰ πράξῃ κάτι ἀπὸ τὰ παραγγελθέντα, θὰ τὸ δείξουν τὰ πράγματα[1].

---

1. Ὁ Βασίλειος δὲν θέλει νὰ ἐπεκταθῇ ἐπὶ τοῦ θέματος αὐτοῦ, τὸ ὁποῖον ἀπαιτοῦσεν, ὅπως φαίνεται, μυστικὰς διαπραγματεύσεις.

271

324. ΠΑΣΙΝΙΚΩ ΙΑΤΡΩ

Δεῖγμα τοῦ μὴ παρέργως ἔχειν περὶ ἡμᾶς τὸ εὐθὺς ἀπ' αὐτῶν, ὡς εἰπεῖν, τῶν θυρῶν τῆς ὁδοῦ προσφθέγγεσθαι ἡμᾶς. Ἔστι μὲν οὖν καὶ αὐτὸ σπουδῆς ἄξιον τὸ ἐντυχεῖν γράμμασι φιλικοῖς· ἐὰν δὲ καὶ τὴν ἐπὶ τοῖς μεγίστοις χρείαν ἀνύῃ τὰ γραφόμενα, πολλῷ πλείονος ἄξια γίνεται δηλονότι. Εὖ τοίνυν ἴσθι ὅτι ὁ πάντα ἄριστος ἀνὴρ Πατρίκιος τοσαῦτα ἐπὶ τῶν χειλέων αὐτοῦ τῆς πειθοῦς φέρει τὰ φάρμακα ὥστε, μὴ ὅτι σὺ ἐπέστειλας, ἀλλὰ κἂν Σαυρομάτην τινὰ ἢ Σκύθην λάβῃ, πείσῃ ἂν ῥᾳδίως περὶ ὧν ἐθελήσειεν. Οὐ μὴν ἀπὸ καρδίας ἐστὶ τὰ τῆς εὐφροσύνης ἐκεῖνα ῥήματα. Πάλαι γὰρ ἐπιτετήδευται τὸ σχῆμα τοῦτο· μέχρι φωνῆς εἶναι χρηστοὺς καὶ ἀπειροκάλους δῆθεν καὶ ἑτοίμους εἶναι ἐπιτρέπειν παντὶ δικαστηρίῳ τὰ καθ' ἑαυτούς, ἐπειδὰν δὲ ἐπ' αὐτῶν γένωνται τῶν πραγμάτων, μὴ σὺ γε ἐκεῖ τύχοις. Ἀλλὰ ταῦτα μέν μοι πρὸς σὲ εἰρήσθω, ἵν' αὐτός τε εἰδῇς καὶ τὸν ἄνδρα οὔτε ἄλλως ὄντα εὐπαράγωγον, ἔτι καὶ παρὰ σεαυτοῦ πεισθῇς μὴ τῇ τῶν ῥημάτων προσέχειν εὐπρεπείᾳ, ἀλλὰ τοὺς ἐκ τῶν πραγμάτων ἀναμένειν ἐλέγχους.

Ἐπιστολὴ 324. Ἐγράφη εἰς ἄγνωστον χρόνον. Φιλική, συνιστᾷ εἰς τὸν Πασίνικον νὰ μὴ δίνῃ πολλὴν ἐμπιστοσύνην εἰς τοὺς λόγους τοῦ Πατρικίου. Ἡ ἔκθεσις περὶ τῆς ὑποθέσεως εἶναι κάπως δυσνόητος.

271

ΕΠΙΣΤΟΛΗ 324
ΠΡΟΣ ΤΟΝ ΙΑΤΡΟΝ ΠΑΣΙΝΙΚΟΝ

Δεῖγμα τοῦ ὅτι δὲν μᾶς ἔχεις εἰς τὸ περιθώριον εἶναι τὸ ὅτι μᾶς χαιρετίζεις ἀμέσως ἀπὸ τὴν ἐξώθυραν, θὰ ἐλέγαμεν. Εἶναι βεβαίως ἀξιόλογον τὸ νὰ λαμβάνῃ κανεὶς φιλικὰ γράμματα καὶ καθ' ἑαυτό· ἐὰν δὲ τὰ γραφόμενα ἐξυπηρετοῦν σπουδαιοτάτας ἀνάγκας, εἶναι φανερὸν ὅτι γίνονται πολὺ ἀξιολογώτερα.

Γνώριζε λοιπὸν καλὰ ὅτι ὁ καθ' ὅλα ἄριστος ἄνδρας Πατρίκιος ἔχει εἰς τὰ χείλη του τόσα πειστικὰ φάρμακα, ὥστε, ὄχι μόνον ὅ,τι γράφεις ἐσύ, ἀλλὰ καὶ Σαυρομάτην καὶ Σκύθην ἂν συναντοῦσε [1] θὰ τὸν ἔπειθε εὔκολα δι' ὅσα ἤθελεν. Ἀλλὰ βέβαια τὰ εὐφρόσυνα ἐκεῖνα λόγια δὲν προέρχονται ἀπὸ τὴν καρδίαν. Διότι αὐτὸ τὸ σχῆμα χρησιμοποιεῖται ἀπὸ παλαιά. Αὐτοὶ οἱ ἄνθρωποι μὲ τὰ λόγια εἶναι ἀγαθοὶ καὶ δῆθεν ἀδαεῖς εἰς τὰ ζητήματα τοῦ κόσμου καὶ ἕτοιμοι νὰ ἀναθέσουν τὰς ὑποθέσεις των εἰς ὁποιονδήποτε δικαστήριον, ὅταν δὲ ἔλθουν εἰς αὐτὰ ταῦτα τὰ πράγματα, καλύτερα νὰ μὴ τύχῃς ἐκεῖ. Ἂς ἔχουν δὲ λεχθῇ ἀπὸ ἐμὲ αὐτά, οὕτως ὥστε νὰ γνωρίσῃς καὶ σὺ ὁ ἴδιος ὅτι ὁ ἄνθρωπος αὐτὸς δὲν εἶναι οὔτε ἄλλως εὐκολομεταχείριστος καὶ ἐπὶ πλέον νὰ πεισθῇς καὶ μόνος σου νὰ μὴ προσέχῃς εἰς τὴν ὡραιότητα τῶν λόγων του, ἀλλὰ νὰ περιμένῃς τὰς ἀποδείξεις ἀπὸ τὰ πράγματα.

1. Χρησιμοποιεῖ τὰ ὀνόματα ὡς δείγματα ἀπαιδευσίας ἁπλῶς.

272

56. ΠΕΡΓΑΜΙΩ

Εἰμὶ μὲν φύσει εὔκολος πρὸς τὴν λήθην, ἐπεγένετο δέ μοι καὶ τὸ τῶν ἀσχολιῶν πλῆθος ἐπιτεῖνον τὴν ἐκ φύσεως ἀρρωστίαν. Ὥστε, καὶ εἰ μὴ μέμνημαι δεξάμενος γράμματα τῆς εὐγενείας σου, πείθομαι ἐπεσταλκέναι σε ἡμῖν· οὐ γὰρ ἂν πάντως ψεῦδος εἰπεῖν σε. Τοῦ δὲ μὴ ἀντιφθέγξασθαι οὐκ ἐγὼ αἴτιος, ἀλλ' ὁ μὴ ἀπαιτήσας τὰς ἀποκρίσεις. Νυνὶ δὲ ἥκει σοι τὰ γράμματα ταῦτα, ὑπέρ τε τῶν φθασάντων ἀπολογίαν πληροῦντα καὶ ἀρχὴν διδόντα προσηγορίας δευτέρας. Ὥστε, ἐπειδὰν ἐπιστέλλῃς ἡμῖν, μὴ ὡς ἄρξας δευτέρας περιόδου γραμμάτων διανοοῦ, ἀλλ' ὡς ἀποπληρώσας ἐπὶ τοῖς παροῦσι τὰ ὀφειλόμενα. Καὶ γάρ, καὶ εἰ ἀντίδοσις προαγόντων ἐστὶ τὰ ἡμέτερα, ἀλλὰ τῷ πλέον ἢ διπλάσιον ὑπερβάλλειν κατὰ τὸ μέτρον ἑκατέρων τὴν τάξιν ἀποπληρώσει. Ὁρᾷς ὁποῖα σοφίζεσθαι ἡμᾶς ἡ ἀργία καταναγκάζει; Σὺ δὲ παῦσαι, ὦ ἄριστε, ἐν μικροῖς ῥήμασι μεγάλας αἰτίας οὐμενοῦν ἐχούσας ὑπερβολὴν εἰς κακίαν παρεχόμενος· λήθη γὰρ φίλων καὶ ὑπεροψία ἐκ δυναστείας ἐγγινομένη πάντα ἔχει ὁμοῦ τὰ δεινά. Εἴτε γὰρ οὐκ ἀγαπῶμεν κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου, οὐδὲ τὸν χαρακτῆρα ἐπικείμενον ἡμῖν

Ἐπιστολὴ 56. Ἐγράφη εἰς τὴν ἀρχὴν τοῦ ἀρχιερατικοῦ σταδίου τοῦ Βασιλείου καὶ ἀπευθύνεται πρὸς τὸν Περγάμιον. Φιλική.

272

ΕΠΙΣΤΟΛΗ 56
ΠΡΟΣ ΤΟΝ ΠΕΡΓΑΜΙΟΝ

Εἶμαι μὲν ἐκ φύσεως εὔκολος πρὸς τὴν λήθην, προσετέθη δὲ καὶ τὸ πλῆθος τῶν ἀσχολιῶν διὰ νὰ ἐπιτείνῃ τὴν ἐκ φύσεως ἀσθένειαν. Ὥστε, καὶ ἂν δὲν ἐνθυμοῦμαι νὰ ἐδέχθην γράμμα τῆς εὐγενείας σου, πείθομαι ὅτι μᾶς ἔχεις στείλει· διότι δὲν πιστεύω ὅτι θὰ ἔλεγες ψεύδη. Τοῦ ὅτι δὲ δὲν σοῦ ἀπήντησα δὲν εἶμαι ἐγὼ αἴτιος, ἀλλ' ἐκεῖνος ποὺ δὲν ἀπήτησε τὰς ἀποκρίσεις. Τώρα δὲ ἔρχεται εἰς σὲ τὸ παρὸν γράμμα, ἀφ' ἑνὸς μὲν ὡς ἀπολογία δι' ὅσα ἰδικά σου ἔφθασαν, ἀφ' ἑτέρου δὲ διὰ νὰ δώσουν ἀφορμὴν διὰ δευτέραν ἐπιστολήν. Ὥστε, ὅταν θὰ μᾶς γράψῃς, μὴ σκεφθῇς ὅτι ἤρχισες δευτέραν περίοδον γραμμάτων, ἀλλ' ὅτι ἐξεπλήρωσες τὰ ὀφειλόμενα διὰ τὸ παρόν. Διότι, ἀκόμη καὶ ἂν τὸ ἰδικόν μας εἶναι ἀπάντησις εἰς προηγούμενον ἰδικόν σου, ἀλλὰ μὲ τὸ νὰ εἶναι εἰς τὴν ἔκτασιν περισσότερον ἀπὸ διπλάσιον, ἀναπληρώνει τὴν θέσιν ἀμφοτέρων, καὶ τῆς ἀπαντήσεως καὶ τοῦ πρώτου γράμματος.

Βλέπεις τί μᾶς ἀναγκάζει ἡ ἀργία νὰ σοφισθῶμεν; Σὺ δέ, ὦ ἄριστε, παῦσε νὰ προσάπτῃς μὲ μικρὰ λόγια μεγάλας κατηγορίας, τῶν ὁποίων δὲν ὑπάρχουν χειρότεραι εἰς κακίαν· διότι ἡ λήθη φίλων καὶ ἡ ὑπεροψία λόγῳ ἀξιώματος περικλείουν ὅλα τὰ δεινά. Ἐὰν δὲν ἀγαπῶμεν κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου, δὲν ἔχομεν οὔτε τὸ γνώρισμα ποὺ μᾶς ἔχει τεθῇ [1]. Ἐὰν

1. Βλ. Ἰω. 13, 35 «ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους».

ἔχομεν· εἴτε φρονήματος κενοῦ καὶ ἀλαζονείας ὑπεπλήσθημεν τυφωθέντες, ἐμπίπτομεν εἰς τὸ ἄφυκτον κρῖμα τοῦ διαβόλου. Ὥστε, εἰ μὲν οὕτως ἔχων διανοίας περὶ ἡμῶν τούτοις ἐχρήσω τοῖς ῥήμασιν, εὖξαι φυγεῖν ἡμᾶς τὴν πονηρίαν ἣν ἐξεῦρες ἡμῶν ἐν τῷ τρόπῳ· εἰ δὲ συνηθείᾳ τινὶ ἀνεξετάστῳ ἐπὶ τῶν ῥημάτων ἦλθεν ἡ γλῶττα, ἑαυτοὺς παραμυθησόμεθα καὶ τὴν σὴν χρηστότητα τὰς ἐκ τῶν πραγμάτων μαρτυρίας προσθεῖναι παρακαλοῦμεν. Ἐκεῖνο γὰρ εὖ ἴσθι, ὅτι ἡ παροῦσα φροντὶς ταπεινώσεως ἡμῖν γέγονεν ἀφορμή. Ὥστε σοῦ τότε ἐπιλησόμεθα, ὅταν καὶ ἑαυτοὺς ἀγνοήσωμεν. Μὴ τοίνυν ποτὲ τὰς ἀσχολίας σημεῖον τρόπου καὶ κακοηθείας ποιήσῃ.

273

131. ΟΛΥΜΠΙΩ

1. Ὄντως ἡ τῶν ἀπροσδοκήτων ἀκοὴ ἱκανή ἐστι ποιῆσαι ἀνθρώπου ἠχῆσαι ἀμφότερα τὰ ὦτα. Ὃ καὶ ἐμοὶ νῦν συνέβη. Εἰ καὶ τὰ μάλιστα γεγυμνασμέναις μου λοιπὸν ταῖς ἀκοαῖς προσέπεσον τὰ περιφερόμενα καθ' ἡμῶν ταῦτα συντάγματα, διὰ τὸ καὶ πρότερον αὐτὸν ἐμὲ δεδέχθαι τὴν ἐπιστολὴν πρέπουσαν μὲν ταῖς ἐμαῖς ἁμαρτίαις, οὐ μὴν προσδοκηθεῖσάν ποτε γραφήσεσθαι παρὰ τῶν ἐπιστειλάντων, ἀλλ' ὅμως τὰ δεύτερα τοσαύτην ὑπερβολὴν ἐφάνη ἡμῖν ἔχειν ἐν ἑαυτοῖς τῆς πικρίας ὥστε ἐπισκοτῆσαι τοῖς προλαβοῦσι. Πῶς γὰρ οὐ μικροῦ τῶν φρενῶν ἔξω ἐγενόμην τῶν ἐμαυτοῦ ἐντυχὼν τῇ πρὸς τὸν εὐλαβέστατον ἀδελφὸν Δαζί-

---

Ἐπιστολὴ 131. Ἐγράφη τὸ 373. Ὁ Ὀλύμπιος ἦτο στενὸς φίλος τοῦ Βασιλείου, ὁ ὁποῖος τοῦ ἀπηύθυνεν ἀρκετὰ ἀπὸ τὰ σωζόμενα γράμ-

κατελήφθημεν ἀπὸ φρόνημα κενοδοξίας καὶ ἀλαζονείας καὶ ἐσκοτίσθη ὁ νοῦς μας, ἐμπίπτομεν εἰς τὸ ἀναπόφευκτον κρῖμα τοῦ διαβόλου. Ὥστε, ἐὰν ἐχρησιμοποίησες ἐκεῖνα τὰ λόγια διὰ τὸ ὅτι ἔχεις τοιαύτην γνώμην δι' ἡμᾶς, νὰ εὔχεσαι νὰ φύγωμεν ἀπὸ τὴν πονηρίαν ποὺ ἀνεκάλυψες εἰς τὴν συμπεριφοράν μας· ἐὰν δὲ ἡ γλῶσσα ἔφθασεν εἰς τὰ λόγια αὐτὰ ἀπὸ ὑποσυνείδητον συνήθειαν, θὰ αὐτοπαρηγορηθῶμεν καὶ θὰ παρακαλέσωμεν τὴν χρηστότητά σου νὰ παρουσιάσῃ τὰς μαρτυρίας ἀπὸ τὰς πράξεις μας. Νὰ γνωρίζῃς δὲ καλὰ τοῦτο, ὅτι ἡ παροῦσα φροντὶς μᾶς ἔγινεν ἀφορμὴ ταπεινώσεως. Ὥστε τότε θὰ λησμονήσωμεν σέ, ὅταν θ' ἀγνοήσωμεν καὶ τὸν ἑαυτόν μας. Μὴ θεωρήσῃς λοιπὸν ποτὲ τὰς ἀσχολίας ὡς ἀπόδειξιν συμπεριφορᾶς καὶ κακοηθείας.

273

ΕΠΙΣΤΟΛΗ 131
ΠΡΟΣ ΤΟΝ ΟΛΥΜΠΙΟΝ

1. Πραγματικὰ τὸ ἄκουσμα τῶν ἀπροσδοκήτων εἶναι ἱκανὸν νὰ κάμῃ νὰ ἠχήσουν καὶ τὰ δύο αὐτιὰ τοῦ ἀνθρώπου. Αὐτὸ συνέβη τώρα καὶ εἰς ἐμέ. Ἂν καὶ αὐτὰ τὰ περιφερόμενα ἐναντίον μας κείμενα ἔπεσαν εἰς τὰ αὐτιά μας εἰς ἐποχὴν ποὺ ἦσαν ἤδη πολὺ γυμνασμένα· διότι καὶ προηγουμένως εἶχα δεχθῆ ἐγὼ ὁ ἴδιος τὴν ἐπιστολὴν ποὺ τὰ περιεῖχεν, ἐπιστολὴν πρέπουσαν εἰς τὰς ἁμαρτίας μου, ἀλλὰ μὴ ἀναμενομένην νὰ γραφῆ ποτὲ ἀπὸ ἐκείνους ποὺ τὴν ἔστειλαν. Ἀλλ' ὅμως τὰ δεύτερα κείμενα μᾶς ἐφάνη ὅτι περιέχουν τόσην ὑπερβολὴν πικρότητος ὥστε νὰ ἐπισκοτήσουν τὰ προηγούμενα.

Πράγματι πῶς νὰ μὴ παραφρονήσω σχεδὸν ὅταν ἐδιάβασα τὴν ἐπιστολὴν πρὸς τὸν εὐλαβέστατον ἀδελφὸν Δαζί-

---

ματά του. Ἡ παροῦσα ἐπιστολὴ ἀναφέρεται εἰς τὸ θέμα τῶν συκοφαντιῶν τῶν Εὐσταθιανῶν ἐναντίον τοῦ Βασιλείου ὡς ἀπολιναριστοῦ.

ναν ἐπιστολῇ μυρίων μὲν ὕβρεων καὶ κατηγοριῶν ἀφορήτων γεμούσῃ καθ' ἡμῶν καὶ ἐπαναστάσεων, ὡς ἐν τοῖς χαλεπωτάτοις ἡμῶν κατὰ τῆς Ἐκκλησίας βουλεύμασιν εὑρεθέντων; Εὐθὺς δὲ καὶ ἀποδείξεις τοῦ ἀληθεῖς εἶναι τὰς καθ' ἡμῶν βλασφημίας ἐπήχθησαν ἀπὸ συγγράμματος οὐκ οἶδα ὑπὸ τίνος γραφέντος. Μέρη μὲν γὰρ ἐπέγνων, ὁμολογῶ, παρὰ τοῦ Λαοδικέως Ἀπολιναρίου γεγράφθαι, καὶ αὐτὰ οὐδὲ ἀναγνοὺς ἐξ ἔργου ποτέ, ἀλλ' ἀκούσας ἑτέρων ἀπαγγειλάντων. Ἄλλα δέ τινα εὗρον ἐγγεγραμμένα, ἃ μήτε ἀνέγνων ποτὲ μήτε ἑτέρου λέγοντος ἤκουσα, καὶ τούτων ὁ μάρτυς ἐν οὐρανῷ πιστός. Πῶς οὖν οἱ τὸ ψεῦδος ἀποστρεφόμενοι, οἱ τὴν ἀγάπην πλήρωμα εἶναι τοῦ νόμου δεδιδαγμένοι, οἱ τὰ ἀσθενήματα βαστάζειν τῶν ἀδυνάτων ἐπαγγελλόμενοι ταύτας ἡμῖν κατεδέξαντο τὰς συκοφαντίας ἐπενεγκεῖν καὶ ἀπ' ἀλλοτρίων συγγραμμάτων ἡμᾶς κατακρῖναι, πολλὰ λογισάμενος κατ' ἐμαυτὸν ἐπινοεῖν τὴν αἰτίαν οὐκ ἔχω, εἰ μή, ὅπερ ἐξ ἀρχῆς εἶπον, μέρος ἔκρινα εἶναι τῶν ὀφειλομένων μοι διὰ τὰς ἁμαρτίας κολάσεων καὶ τὴν ἐπὶ τούτοις λύπην.

2. Πρῶτον μὲν γὰρ κατεπένθησα τῇ ψυχῇ, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων· ἔπειτα δὲ καὶ ἐφοβήθην αὐτὸς περὶ ἐμαυτοῦ μή ποτε πρὸς ταῖς ἄλλαις ἁμαρτίαις καὶ τὴν μισανθρωπίαν πάθω, οὐδὲν πιστὸν ἐν οὐδενὶ λογιζόμενος εἶναι, εἴπερ οἱ εἰς τὰ μέγιστα παρ' ἐμοῦ πιστευθέντες τοιοῦτοι μὲν περὶ ἐμέ, τοιοῦτοι δὲ περὶ αὐτὴν ἐφάνησαν τὴν ἀλήθειαν. Γίνωσκε τοίνυν, ἀδελφέ, καὶ πᾶς ὅστις τῆς ἀληθείας φίλος, μήτε ἐμὰ εἶναι τὰ συντάγματα οὔτε ἀρέσκεσθαι αὐτοῖς μηδὲ τῇ ἐμῇ γνώμῃ συγγε-

---

1. Ρωμ. 13,10.
2. Ρωμ. 15,1.

ναν, ποὺ εἶναι γεμάτη ἀπὸ μυρίας ὕβρεις καὶ ἀφορήτους κατηγορίας ἐναντίον μας, καθὼς καὶ προσβολάς, ὡσὰν νὰ μᾶς ἠῦραν νὰ καταρτίζωμεν τὰ χειρότερα σχέδια ἐναντίον τῆς Ἐκκλησίας; Ἀμέσως δὲ προσετέθησαν καὶ ἀποδείξεις περὶ τοῦ ὅτι αἱ ἐναντίον μας βλασφημίαι εἶναι ἀληθεῖς ἀπὸ σύγγραμμα ποὺ δὲν γνωρίζω ἀπὸ ποῖον ἐγράφη. Βέβαια ἀνεγνώρισα μερικὰ μέρη των, τὸ ὁμολογῶ, ὡς γραφέντα ἀπὸ τὸν Ἀπολινάριον Λαοδικείας, καὶ αὐτὰ ὄχι διότι τὰ ἀνέγνωσα κάποτε ἀπὸ ἔργον του, ἀλλὰ διότι τὰ ἤκουσα ἀναφερόμενα ἀπὸ ἄλλους. Ἠῦρα δὲ μερικὰ ἄλλα παρατεθειμένα, τὰ ὁποῖα οὔτε ἀνέγνωσα ποτὲ οὔτε ἤκουσα νὰ ἀναφέρωνται ἀπὸ ἄλλον, καὶ τούτων μάρτυς εἶναι ὁ ἐν οὐρανῷ Πιστός. Πῶς δὲ οἱ ἀποστρεφόμενοι τὸ ψεῦδος, οἱ διδαχθέντες ὅτι ἡ ἀγάπη εἶναι πλήρωμα τοῦ νόμου [1], οἱ ἐπαγγελλόμενοι νὰ βαστάζουν τὰ ἀσθενήματα τῶν ἀδυνάτων [2], κατεδέχθησαν νὰ ἐκτοξεύσουν εἰς βάρος μας αὐτὰς τὰς συκοφαντίας καὶ νὰ μᾶς κατακρίνουν ἐπὶ τῇ βάσει ξένων συγγραμμάτων, ἂν καὶ πολὺ τὸ ἐβασάνισα μὲ τὴν σκέψιν μου, δὲν ἠδυνήθην ν' ἀντιληφθῶ τὴν αἰτίαν, ἐκτὸς ἐὰν συμβαίνῃ ὅ,τι εἶπα εἰς τὴν ἀρχήν, ὅπου ἔκρινα ὅτι ἡ διὰ τὰς συκοφαντίας λύπη μου εἶναι μέρος τῶν τιμωριῶν ποὺ μοῦ ὀφείλονται διὰ τὰς ἁμαρτίας μου.

2. Πραγματικὰ δὲ κατὰ πρῶτον μὲν ἐπένθησα εἰς τὴν ψυχήν μου, διότι «ὠλιγόστευσαν αἱ ἀλήθειαι ἀπὸ τοὺς υἱοὺς τῶν ἀνθρώπων» [3]· ἔπειτα δὲ καὶ ἐφοβήθην ὁ ἴδιος διὰ τὸν ἑαυτόν μου, μήπως ἐκτὸς ἀπὸ τὰς ἄλλας ἁμαρτίας πάθω καὶ τὴν μισανθρωπίαν, διότι συλλογίζομαι ὅτι δὲν ὑπάρχει πιστότης εἰς κανένα ἄνθρωπον, ἐφ' ὅσον αὐτοὶ ποὺ τοὺς ἐνεπιστεύθην τὰ σπουδαιότατα ζητήματα ἐτήρησαν τοιαύτην στάσιν καὶ πρὸς ἐμὲ καὶ πρὸς τὴν ἀλήθειαν. Γνώριζε λοιπόν, ἀδελφέ, καὶ σὺ καὶ κάθε φίλος τῆς ἀληθείας, ὅτι αὐτὰ τὰ κείμενα οὔτε ἰδικά μου εἶναι οὔτε μοῦ ἀρέσουν οὔτε ἔχουν συγγραφῆ μὲ συναίνεσίν μου.

---

3. Ψαλμ. 11,2.

γράφθαι. Εἰ δὲ ἐπέστειλά ποτε πρὸ πολλῶν ἐτῶν Ἀπολιναρίῳ ἢ ἄλλῳ τινί, ἐγκαλεῖσθαι οὐκ ὀφείλω. Οὔτε γὰρ αὐτὸς ἐγκαλῶ εἴ τις ἐκ τῆς ἑταιρείας τινὸς εἰς αἵρεσιν ἀπεσχίσθη (οἶδατε δὲ πάντως τοὺς ἄνδρας, κἂν ὀνομαστὶ μὴ λέγω), διότι ἕκαστος τῇ ἰδίᾳ ἁμαρτίᾳ ἀποθανεῖται. Ταῦτα νῦν μὲν ἀπεκρινάμην πρὸς τὸν ἀποσταλέντα τόμον, ἀλλ' ἵνα αὐτός τε εἰδείης τὴν ἀλήθειαν καὶ τοῖς βουλομένοις μὴ κατέχειν ἐν ἀδικίᾳ τὴν ἀλήθειαν φανερὰν καταστήσῃς. Ἐὰν δὲ δέῃ καὶ πλατύτερον ὑπὲρ ἑκάστου τῶν ἐπανεχθέντων ἡμῖν ἀπολογήσασθαι, καὶ τοῦτο ποιήσομεν τοῦ Θεοῦ συνεργοῦντος. Ἡμεῖς, ἀδελφέ Ὀλύμπιε, οὔτε τρεῖς θεοὺς λέγομεν οὔτε Ἀπολιναρίῳ κοινωνοῦμεν.

274

209. ΑΝΕΠΙΓΡΑΦΟΣ ΕΠΙ ΑΠΟΛΟΓΙΑ

Συνεκληρώθης ταῖς λύπαις καὶ τοῖς ὑπὲρ ἡμῶν ἀγῶσι. Τοῦτο δὲ ἀπόδειξιν ἔχει νεανικῆς ψυχῆς. Ὁ γὰρ τὰ ἡμέτερα οἰκονομῶν Θεὸς τοῖς τὰ μεγάλα διαφέρειν δυναμένοις ἀγωνίσματα μείζονας ὑποθέσεις εὐδοκιμήσεων προξενεῖ. Καὶ σὺ τοίνυν βάσανον τῆς περὶ τοὺς φίλους ἀρετῆς, ὥσπερ τὴν κάμινον τῷ χρυσίῳ, τὸν σαυτοῦ βίον προέθηκας. Εὐχόμεθα οὖν τῷ Θεῷ καὶ τοὺς λοιποὺς βελτίους γενέσθαι, καὶ σὲ ὅμοιον ἑαυτῷ διαμεῖναι καὶ τὰ τοιαῦτα ἐγκαλοῦντα μὴ παύσασθαι οἷα νῦν ἐνεκάλεσας, τὴν τῶν γραμμάτων ἔνδειαν ἀντὶ μεγίστης ἀδικίας ἡμῖν προφέρων. Φίλου γὰρ τὸ ἔγκλημα, καὶ ἀνάμενε τὸ τὰ τοιαῦτα ἀπαιτεῖν ὀφλήματα. Οὐ γὰρ οὕτω τις ἄτοπός εἰμι φιλίας χρήστης.

---

4. Βλ. ἐπιστολὴν 244.

Ἐὰν δὲ ἔστειλα κάποτε πρὸ πολλῶν ἐτῶν ἐπιστολὴν πρὸς τὸν Ἀπολινάριον [4] ἢ πρὸς κάποιον ἄλλον, δὲν πρέπει νὰ κατηγοροῦμαι. Ἐγὼ δὲν κατηγορῶ κανένα ὅτι ἀπεσχίσθη εἰς αἵρεσιν διὰ τὸ ὅτι ἔχει φιλικὰς σχέσεις μὲ κάποιον ἄλλον —γνωρίζετε δὲ πάντως τοὺς ἄνδρας καὶ χωρὶς νὰ τοὺς ἀναφέρω ὀνομαστί—, διότι ὁ καθένας θ' ἀποθάνῃ μὲ τὰς ἰδικάς του ἁμαρτίας.

Ἀπεκρίθην αὐτὰ τώρα ἐν σχέσει μὲ τὸν ἀποσταλέντα εἰς ἐμὲ τόμον, διὰ νὰ γνωρίζῃς καὶ σὺ ὁ ἴδιος τὴν ἀλήθειαν καὶ διὰ νὰ τὴν καταστήσῃς φανερὰν εἰς ὅσους δὲν θέλουν νὰ τὴν κρατοῦν μέσα εἰς τὴν ἀδικίαν. Ἐὰν δὲ χρειασθῇ ν' ἀπολογηθῶμεν καὶ ἐκτενέστερα διὰ κάθε κατηγορίαν ποὺ προσήφθη εἰς βάρος μας, θὰ τὸ κάμωμεν καὶ αὐτὸ μὲ τὴν βοήθειαν τοῦ Θεοῦ. Ἡμεῖς, ἀδελφὲ Ὀλύμπιε, οὔτε τρεῖς θεοὺς λέγομεν οὔτε μὲ τὸν Ἀπολινάριον διατηροῦμεν κοινωνίαν.

274

ΕΠΙΣΤΟΛΗ 209
ΑΝΕΠΙΓΡΑΦΟΣ ΠΡΟΣ ΑΠΟΛΟΓΙΑΝ

Ἔχεις κληρωθῆ νὰ μετέχῃς εἰς τὰς λύπας μας καὶ ν' ἀγωνίζεσαι ὑπὲρ ἡμῶν. Τοῦτο δὲ ἀποδεικνύει ὕπαρξιν νεανικῆς ψυχῆς. Διότι ὁ Θεός, ποὺ οἰκονομεῖ τὰς ὑποθέσεις μας, εἰς τοὺς δυναμένους νὰ διεξαγάγουν τὰ μεγάλα ἀγωνίσματα προσφέρει μεγαλυτέρας εὐκαιρίας εὐδοκιμήσεως. Καὶ σὺ λοιπὸν προέβαλες τὸν βίον σου ὡς δοκιμαστήριον τῆς πρὸς τοὺς φίλους ἀγάπης, ὅπως εἶναι ἡ κάμινος διὰ τὸν χρυσόν.

Εὐχόμεθα λοιπὸν εἰς τὸν Θεὸν καὶ οἱ ἄλλοι νὰ γίνουν καλύτεροι, καὶ σὺ νὰ μείνῃς ὅμοιος μὲ τὸν ἑαυτόν σου καὶ νὰ μὴ παύσῃς νὰ μὲ κατηγορῇς δι' ὅσα μὲ κατηγόρησες, τώρα προσάπτων ὡς μεγίστην ἀδικίαν τὴν ἔλλειψιν γραμμάτων μας. Ἡ καταγγελία εἶναι φιλικὴ καὶ ἐπίμενε νὰ ἀπαιτῇς τοιαῦτα χρέη. Διότι ἐγὼ δὲν εἶμαι τόσον παράλογος χρήστης φιλίας.

Ἐπιστολὴ 209. Ἐγράφη πιθανῶς τὸ 375. Φιλικὴ πρὸς ἄγνωστον παραλήπτην.

275

212. ΙΛΑΡΙΩ

1. Ἐμὲ δὲ τί οἴει πεπονθέναι ἢ τίνα γνώμην ἔχειν, ἐπειδὴ ἐπεδήμησα μὲν τῷ Δαζιμῶνι, ἔμαθον δὲ ὀλίγαις ὕστερον ἡμέραις τῆς παρουσίας ἡμῶν ἐξεληλυθέναι σου τὴν λογιότητα; Οὐ γὰρ μόνον διὰ τὸ ἐκ παιδὸς θαῦμα ὃ ἔσχον περὶ σὲ εὐθὺς ἀπὸ διατριβῶν αὐτῶν ἀεὶ πολλοῦ ἀξίαν ἐθέμην τὴν ὁμιλίαν σου, ἀλλὰ καὶ διὰ τὸ μηδὲν οὕτω σπουδαῖον εἶναι νῦν ὡς φιλαλήθη ψυχὴν ὑγιὲς τῶν πραγμάτων τὸ κριτήριον κεκτημένην· ὅπερ ἡγούμεθα παρὰ σοὶ διασώζεσθαι. Καὶ γὰρ τῶν λοιπῶν τοὺς πλείστους ὁρῶμεν, ὥσπερ ἐν ταῖς ἱπποδρομίαις, τοὺς μὲν ὡς τούτους, τοὺς δὲ ὡς ἐκείνους διηρημένους, καὶ συνεκβοῶντας τοῖς στασιάζουσι. Σὲ δὲ καὶ φόβου καὶ θεραπείας καὶ παντὸς ἀγενοῦς πάθους ὑψηλότερον ὄντα εἰκὸς ὀφθαλμῷ ὑγιαίνοντι καθορᾶν τὴν ἀλήθειαν. Καὶ γὰρ αἰσθάνομαί σου μὴ παρέργως ἔχοντος πρὸς τὰ τῶν Ἐκκλησιῶν, ὅπου γε καὶ πρὸς ἡμᾶς ἔπεμψάς τινα περὶ τούτων ἐπιστολήν, ὡς ἐν τοῖς ἔναγχος τούτοις ἐδήλους γράμμασιν, ἣν τίς ὁ παραλαβὼν ὥστε διακομίσαι ἡδέως ἂν μάθοιμι, ὥστε εἰδέναι τὸν ἀδικήσαντα· οὐ γὰρ ἐνέτυχόν πω γράμμασι σοῖς πρὸς ἡμᾶς περὶ τούτων.

2. Πόσου πότ' ἂν οὖν οἴει πρίασθαί με τὴν ὁμιλίαν σου, ὑπὲρ τοῦ γνωρίσαι με σοὶ τὰ λυποῦντά με (φέρει γάρ, ὡς οἶδας, καὶ τὸ ἐξειπεῖν ῥᾳστώνην τινὰ τοῖς ὀδυνωμένοις), ἀποκρίνασθαί τε περὶ τῶν ἐπιζητουμένων, οὐ γράμμασιν ἀψύχοις καταπιστεύσαντα, ἀλλ' αὐτὸν δι' ἐμαυτοῦ ἐναργῶς λέγοντα ἕκαστα καὶ ἐπεξιόν-

---

Ἐπιστολὴ 212. Ἐγράφη τὸ 375. Ὁ Βασίλειος περιγράφει τὰς στενο-

275

ΕΠΙΣΤΟΛΗ 212
ΠΡΟΣ ΤΟΝ ΙΛΑΡΙΟΝ

1. Τί νομίζεις ὅτι ἔπαθα ἢ ποίαν γνώμην ἐσχημάτισα, ὅταν ἐταξίδευσα μὲν εἰς Δαζιμῶνα, ὀλίγας δὲ ἡμέρας μετὰ τὴν ἄφιξιν ἡμῶν ἔμαθα ὅτι ἡ λογιότης σου εἶχεν ἀναχωρήσει; Ὄχι μόνον διότι ἀπὸ τὸν θαυμασμὸν ποὺ εἶχα διὰ σὲ ἀπὸ τὴν παιδικὴν ἡλικίαν, εὐθὺς ἀπὸ τὰς σχολικάς μας ἡμέρας ἐθεωροῦσα πάντοτε πολὺ ἀξιόλογον τὴν συναναστροφήν σου, ἀλλὰ καὶ διότι τώρα τίποτε δὲν εἶναι τόσον σπουδαῖον ὅσον εἶναι ἡ φιλαλήθης ψυχὴ ποὺ κατέχει ὑγιὲς κριτήριον τῶν πραγμάτων· πρᾶγμα ποὺ νομίζομεν ὅτι διατηρεῖται ἀπὸ σέ.

Πράγματι τοὺς περισσοτέρους ἀπὸ τοὺς λοιποὺς βλέπομεν διηρημένους, ὡσὰν εἰς τὰς ἱπποδρομίας, ἄλλους μὲ αὐτὸ καὶ ἄλλους μὲ ἐκεῖνο τὸ μέρος, καὶ κραυγάζοντας μαζὶ μὲ τοὺς ἡγέτας τῆς μερίδος των. Σὺ δὲ ποὺ εἶσαι ὑπεράνω φόβου καὶ δουλικότητος καὶ κάθε ἀγενοῦς πάθους εἶναι φυσικὸν νὰ βλέπῃς τὴν ἀλήθειαν μὲ ὑγιῆ ὀφθαλμόν. Αἰσθάνομαι δὲ ὅτι δὲν βλέπεις ἀδιαφόρως τὰς ὑποθέσεις τῶν Ἐκκλησιῶν, ἀφοῦ καὶ πρὸς ἡμᾶς ἔστειλες κάποιαν ἐπιστολὴν δι' αὐτάς, ὅπως ἐδήλωσες εἰς τὸ τελευταῖόν σου γράμμα. Ποῖος παρέλαβε τὴν ἐπιστολὴν διὰ νὰ τὴν φέρῃ, εὐχαρίστως θὰ τὸ ἐμάθαινα, ὥστε νὰ πληροφορηθῶ ποῖος εἶναι ὁ πταίστης· διότι ἕως τώρα δὲν ἔλαβα γράμμα σου διὰ τὰ θέματα αὐτά.

2. Εἰς πόσην λοιπὸν τιμὴν νομίζεις ὅτι θὰ ἠγόραζα τὴν συνάντησιν μαζί σου, διὰ νὰ σοῦ γνωστοποιήσω τὰς λύπας μου —ὅπως γνωρίζεις δὲ φέρει κάποιαν ἀνακούφισιν εἰς τοὺς πονοῦντας ἡ διήγησις τῶν πόνων— καὶ νὰ ἀποκριθῶ εἰς ἐρωτήσεις, ὄχι ἐμπιστευόμενος εἰς ἄψυχα γράμματα, ἀλλὰ ὁμιλῶν ἐγὼ ὁ ἴδιος σαφῶς τὰ καθέκαστα καὶ διηγούμενος λεπτο-

---

χωρίας ποὺ δοκιμάζει ἀπὸ τοὺς Ἀρειανούς, καὶ ἰδίως ἀπὸ τὸν Εὐστάθιον Σεβαστείας, χωρὶς νὰ μνημονεύῃ τὸ ὄνομά του.

τα; Οἱ γὰρ ἔμψυχοι λόγοι δραστικωτέραν τε ἔχουσι τὴν πειθώ, πρός τε τὸ εὐεπιχείρητον καὶ πρὸς συκοφαντίαν εὐάλωτον οὐκέτι ὅμοιοι τοῖς γεγραμμένοις εἰσί. Καὶ γὰρ οὐδὲν ἀτόλμητον λοιπὸν οὐδενί, ὅπου γε καὶ οἱ τὰ μέγιστα παρ' ἡμῶν πιστευθέντες, οὓς ᾐσθανόμεθα μετὰ τῶν ἀνθρώπων ὁρῶντες ὡς μεῖζόν τι ὄντας ἢ κατὰ ἄνθρωπον, οὗτοι κατεδέξαντο συγγράμματά τινος τὰ ὁποῖα δήποτε ὡς ἡμέτερα παραπέμπειν καὶ ἐπ' αὐτοῖς διαβάλλειν ταῖς ἀδελφότησιν, ὡς μηδὲν λοιπὸν τοῦ ἡμετέρου ὀνόματος φευκτότερον εἶναι τοῖς εὐλαβέσι. Τὸ γὰρ ἀγνοηθῆναι γενόμενος ἐξ ἀρχῆς ἐπιτηδεύσας, ὡς οὐκ οἶδα εἴ τις ἄλλος τῶν ἐπεσκεμμένων τὴν ἀνθρωπίνην ἀσθένειαν, νῦν, καθάπερ τὸ ἐναντίον προελόμενος πᾶσιν ἀνθρώποις γνώριμον ἐμαυτὸν καταστῆσαι, οὕτω πανταχοῦ γῆς, προσθήσω δὲ ὅτι καὶ θαλάσσης, διατεθρύλημαι. Οἵ τε γὰρ τὸν ἔσχατον ὅρον τῆς ἀσεβείας ἐπιτηδεύοντες καὶ τὸ ἄθεον τῆς ἀνομοιότητος δόγμα ταῖς Ἐκκλησίαις ἐπάγοντες πρὸς ἐμὲ τὸν πόλεμον ἔχουσιν. Οἵ τε τὴν μέσην ἐλαύνοντες, ὡς οἴονται, καὶ ἀπὸ μὲν τῶν αὐτῶν ἀρχῶν ἐκείνων ὡρμημένοι, τῇ δὲ τῶν λογισμῶν ἀκολουθίᾳ μὴ ἑφιέντες, διὰ τὸ ὑπεναντίον ταῖς ἀκοαῖς τῶν πολλῶν, ἡμᾶς δυσχεραίνουσι καὶ πλύνουσι μὲν ταῖς λοιδορίαις ἐφ' ὅσον δύνανται, οὐδεμιᾶς δὲ ἀπέχονται τῆς ἐπιβουλῆς, εἰ καὶ ὅτι ὁ Κύριος ἀπράκτους αὐτῶν τὰς ἐγχειρήσεις ἐποίησε. Ταῦτα πῶς οὐ λυπηρά; Πῶς οὐχὶ ὀδυνηράν μοι τὴν ζωὴν κατασκευάζοντα; Ὅς γε μίαν τίθεμαι τῶν κακῶν παραμυθίαν, τὴν ἀσθένειαν τῆς σαρκός, ὑφ' ἧς πέπεισμαι μὴ πολὺν χρόνον παραμένειν τῇ δυστήνῳ

1. Οἱ Ἀνόμοιοι.

μερῶς; Οἱ ἔμψυχοι λόγοι ἔχουν ἀποτελεσματικωτέραν πειθώ, δὲν εἶναι ὡσὰν οἱ γραπτοὶ τόσον εὔκολοι εἰς ἐπιθέσεις καὶ εὐάλωτοι εἰς τὴν συκοφαντίαν.

Δὲν ὑπάρχει τίποτε ποὺ νὰ μὴ ἔχῃ τολμηθῆ ἀπὸ κανένα, ἀφοῦ καὶ ἐκεῖνοι ποὺ ἐνεπιστευόμεθα ἀπολύτως, ἐκεῖνοι ποὺ ἠσθανόμεθα, καθὼς τοὺς ἐβλέπαμεν μεταξὺ τῶν ἀνθρώπων, ὅτι εἶναι κάτι περισσότερον ἀπὸ τὸ ὅ,τι εἶναι τὰ ἀνθρώπινα, κατεδέχθησαν νὰ κυκλοφοροῦν συγγράμματα κάποιου προσώπου, ὁποιαδήποτε καὶ ἂν εἶναι, ὡς ἰδικά μας καὶ νὰ μᾶς διαβάλλουν δι' αὐτὰ εἰς τὰς ἀδελφότητας, ὡσὰν νὰ μὴ ὑπάρχῃ τίποτε πλέον ἀπαισιώτερον διὰ τοὺς εὐλαβεῖς ἀπὸ τὸ ἰδικόν μας ὄνομα. Ἂν καὶ ἀπὸ τὴν ἀρχὴν κατέβαλα προσπαθείας νὰ μείνω ἀγνοημένος, ὅσον δὲν γνωρίζω ἂν τὸ ἔπραξεν ὁποιοσδήποτε ἄλλος ἀπὸ ἐκείνους ποὺ ἐμελέτησαν τὴν ἀνθρωπίνην ἀσθένειαν, τώρα, σὰν νὰ ἐξέλεξα τὸ ἀντίθετον, δηλαδὴ τὸ νὰ καταστήσω τὸν ἑαυτόν μου γνωστὸν εἰς ὅλους, ἔχω γίνει θρῦλος εἰς ὅλην τὴν γῆν, θὰ προσθέσω δὲ καὶ εἰς ὅλην τὴν θάλασσαν. Διότι καὶ ὅσοι ἐπαγγέλλονται τὸ τελευταῖον ὅριον τῆς ἀσεβείας καὶ εἰσάγουν εἰς τὰς Ἐκκλησίας τὸ ἄθεον δόγμα τῆς ἀνομοιότητος ἔχουν κηρύξει τὸν πόλεμον ἐναντίον μου [1]. Καὶ οἱ ἀκολουθοῦντες τὴν μέσην [2], ὅπως νομίζουν, ὁδόν, ἀλλὰ πραγματικὰ ἐκκινοῦντες ἀπὸ τὰς ἰδίας ἀρχὰς μὲ ἐκείνους, ἂν καὶ δὲν δέχονται ὅλην τὴν ἀκολουθίαν τῶν συλλογισμῶν των, διότι προσβάλλει τὰ αὐτιὰ τῶν πολλῶν, μᾶς στενοχωροῦν καὶ μᾶς περιλούουν μὲ λοιδορίας ὅσον δύνανται, δὲν παραλείπουν δὲ καμμίαν ἐπιβουλήν, μολονότι ὁ Κύριος ἄφησεν ἄπρακτα τὰ ἐγχειρήματά των.

Πῶς δὲν εἶναι αὐτὰ λυπηρά; Πῶς δὲν μοῦ καθιστοῦν ὀδυνηρὰν τὴν ζωήν; Ἔφθασα εἰς σημεῖον νὰ θεωρῶ ὡς μίαν παρηγορίαν ἀπὸ τὰ κακὰ τὴν ἀσθένειαν τῆς σαρκός, λόγῳ τῆς ὁποίας εἶμαι πεπεισμένος ὅτι δὲν θὰ παραμείνω πολὺν χρόνον εἰς τὴν δυστυχῆ αὐτὴν ζωήν.

2. Ἐννοεῖ ἐδῶ τοὺς ὀπαδοὺς τοῦ Εὐσταθίου Σεβαστείας ποὺ ἦσαν μετριοπαθέστεροι Ἀρειανοί.

ταύτῃ ζωῇ. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Σὲ δὲ ἐπὶ τοῖς πάθεσι τοῦ σώματος παρακαλῶ μεγαλοφυῶς καὶ ἀξίως τοῦ καλέσαντος ἡμᾶς Θεοῦ διακεῖσθαι· ὅς, ἐὰν ἴδῃ ἡμᾶς μετ' εὐχαριστίας δεξαμένους τὰ παρόντα, ἢ ἐπανήσει τὰ λυποῦντα, ὡς ἐπὶ τοῦ Ἰώβ, ἢ τοῖς μεγάλοις στεφάνοις τῆς ὑπομονῆς ἀμείψεται ἐν τῇ μετὰ ταύτην τὴν ζωὴν ἡμῶν καταστάσει.

276

322. ΑΝΕΠΙΓΡΑΦΟΣ ΕΠΙ ΦΙΛΩ ΣΥΜΠΑΣΧΑΣΑΙ

Δεξάμενος τὰ γράμματα τῆς σῆς τιμιότητος ἥσθην, ὡς εἰκός, καὶ εὐχαρίστησα τῷ Κυρίῳ καὶ προθύμως εἶχον ἀντιφθέγξασθαι, ἐάν τις κατὰ καιρὸν περὶ ἀντιγράφων ὑπέμνησε. Τὸ γὰρ πρᾶγμα ὑπὲρ οὗ ἐπέταξας ἡμῖν χρόνῳ ἐλάμβανε τὴν κατάστασιν. Οὐκ ἐνῆν δὲ πρὸ τοῦ πέρατος ἀσφαλὲς οὐδὲν ἀποκρίνασθαι. Αὕτη ἡ αἰτία τῆς σιωπῆς ἡμῶν· οὐ γὰρ δὴ ῥᾳθυμία οὐδὲ ἄγνοια τοῦ προσήκοντος. Εἰ γὰρ καὶ ὅλως ῥᾴθυμοι, ἐσπουδάσαμεν πάντως ἐπὶ τῆς σῆς τιμιότητος συσκιάσαι ἡμῶν τὰ ἐλαττώματα. Νῦν δὲ οὐκ ἔστιν ἡμῶν ἐπιλαθέσθαι σου οὐδὲ τὸ βραχύτατον (ἢ πρότερον ἄν τις ἑαυτὸν ἀγνοήσειεν), ἀλλά, κἂν ἐπιστέλλωμεν κἂν μή, ἐνιδρυμένον σε ταῖς καρδίαις ἑαυτῶν περιφέρομεν, καὶ πρὸς τὴν μακρὰν ἀπόληψιν τοῦ χειμῶνος οὕτω δυσκόλως ἔχομεν ὥστε εὔχεσθαι, εἰ μὴ αὐτῷ σοι δυνατὸν διὰ τὰς ἀκουομένας ἀσχολίας καταλιπεῖν τοὺς ἀγροίκους, ἡμῖν ἐγγενέσθαι πρόφασιν ἐπιστῆναι τοῖς τόποις καὶ τῆς ἀληθινῆς εὐσταθείας τῶν σῶν τρόπων καὶ τῆς κοσμιότητος ἀπολαῦσαι. Πάντως δὲ τὴν σωτήριον ἡμέραν τοῦ Πάσχα μεθ' ἡμῶν

Ἐπιστολὴ 322. Ἐγράφη εἰς ἄγνωστον χρόνον πρὸς δικαιολόγησιν καθυστερήσεως ἀπαντήσεως εἰς ἐπιστολὴν φίλου καὶ πρὸς πρόσκλησίν του νὰ συνεορτάσουν τὸ Πάσχα.

Ἀρκετὰ εἶπα δι' αὐτά. Σὲ προτρέπω δὲ νὰ διάκησαι ἔναντι τῶν παθῶν τοῦ σώματος εὐγενῶς καὶ ἀξίως τοῦ Θεοῦ ποὺ μᾶς ἐκάλεσεν, ὁ ὁποῖος, ἐὰν μᾶς ἴδῃ δεχομένους τὰ παρόντα μὲ εὐχαριστίας, ἢ θὰ ἀπομακρύνῃ τὰ λυπηρά, ὅπως εἰς τὴν περίπτωσιν τοῦ Ἰώβ, ἢ θὰ μᾶς ἀμείψῃ μὲ τοὺς μεγάλους στεφάνους τῆς ὑπομονῆς εἰς τὴν μετὰ τὴν παροῦσαν ζωὴν κατάστασιν.

276

ΕΠΙΣΤΟΛΗ 322
ΑΝΕΠΙΓΡΑΦΟΣ ΠΡΟΣ ΦΙΛΟΝ ΠΕΡΙ ΣΥΝΕΟΡΤΑΣΜΟΥ ΤΟΥ ΠΑΣΧΑ

Ὅταν ἔλαβα τὸ γράμμα τῆς τιμιότητός σου, ηὐχαριστήθην ὅπως εἶναι εὔλογον, ηὐχαρίστησα τὸν Κύριον καὶ ἤμην πρόθυμος ν' ἀπαντήσω, ἂν μοῦ τὸ ὑπενθύμιζε κανεὶς εἰς τὸν κατάλληλον καιρόν. Διότι ἡ ὑπόθεσις περὶ τῆς ὁποίας μᾶς εἴχατε δώσει παραγγελίαν ἐρρυθμίζετο μὲ τὸν καιρόν της. Δὲν ἦτο δὲ δυνατὸν νὰ ἀπαντήσω κάτι τὸ βέβαιον πρὸ τῆς ἀποπερατώσεώς της. Αὐτὴ εἶναι ἡ αἰτία τῆς σιωπῆς μας· δὲν προέρχεται βέβαια αὐτὴ ἀπὸ ραθυμίαν ἢ ἀπὸ ἄγνοιαν τοῦ πρέποντος. Διότι, μολονότι εἴμεθα κατὰ τὰ ἄλλα ράθυμοι, ἐφροντίσαμεν πάντως ἀπέναντι τῆς τιμιότητός σου νὰ συσκιάσωμεν τὰ ἐλαττώματά μας. Τώρα δὲ δὲν εἶναι δυνατὸν νὰ σὲ λησμονήσωμεν οὔτε διὰ σύντομον χρόνον, τοὐλάχιστον πρὶν κανεὶς λησμονήσῃ τὸν ἑαυτόν του, ἀλλά, εἴτε γράφομεν εἴτε ὄχι, σὲ περιφέρομεν ἐγκατεστημένον εἰς τὰς καρδίας μας. Ὁ δὲ μακρὸς ἀποκλεισμὸς τοῦ χειμῶνος ὑπῆρξε τόσον ἀνυπόφορος δι' ἡμᾶς, ὥστε εὐχόμεθα ἐὰν δὲν σοῦ εἶναι δυνατὸν νὰ ἐγκαταλείψῃς ἐσὺ τοὺς ἀγρότας λόγῳ τῶν ἀκουομένων ἀσχολιῶν, νὰ εὕρωμεν ἡμεῖς εὐκαιρίαν νὰ ἐπισκεφθῶμεν τὸν τόπον σου διὰ νὰ ἀπολαύσωμεν τὴν σταθερότητα καὶ κοσμιότητα τῶν τρόπων σου.

Πάντως δὲ θὰ προθυμοποιηθῇς νὰ διέλθῃς μαζί μας τὴν

ποιῆσαι προθυμηθήσῃ μετὰ τῆς κοσμιωτάτης συμβίου σου, ἣν καὶ προσαγορεύομεν διὰ σοῦ καὶ παρακαλοῦμεν συμπρᾶξαι ἡμῖν εἰς τὸ ἐπεῖξαί σε πρὸς ἡμᾶς.

277

328. ΥΠΕΡΕΧΙΩ

Καὶ προσαγορεύω τὴν τιμιότητά σου καὶ εὔχομαί σοι τὰ ἀγαθά, ἐμαυτὸν δὲ καταμηνύω σπουδὴν ἔχοντι πάντως εἰδέναι τὰ καθ' ἡμᾶς μηδὲν ἄμεινον τῆς συνηθείας πράττοντα. Τῶν γὰρ δυσφημοτέρων φείδομαι, ὡς ἂν μὴ πάνυ λυποίην τὸν τὰ βέλτιστα ἡμῖν συνευχόμενον.

Ἐπιστολὴ 328. Ἐγράφη εἰς ἄγνωστον χρόνον.

σωτήριον ἡμέραν τοῦ Πάσχα μὲ τὴν κοσμιωτάτην συμβίαν σου, τὴν ὁποίαν καὶ χαιρετίζομεν διὰ σοῦ καὶ παρακαλοῦμεν νὰ συνεργασθῇ μὲ ἡμᾶς εἰς τὸ νὰ σὲ παρασύρῃ πρὸς ἡμᾶς.

277

ΕΠΙΣΤΟΛΗ 328
ΠΡΟΣ ΤΟΝ ΥΠΕΡΕΧΙΟΝ

Καὶ χαιρετίζω τὴν τιμιότητά σου καὶ σοῦ εὔχομαι ὅλα τὰ ἀγαθά, ἀφοῦ δὲ ἔχεις ὁπωσδήποτε πολλὴν ἐπιθυμίαν νὰ γνωρίζῃς τὰ σχετικὰ μὲ ἡμᾶς, σὲ πληροφορῶ ὅτι δὲν εἶναι καλύτερα ἀπὸ τὰ συνηθισμένα [1]. Εἶμαι φειδωλὸς εἰς τὴν χρησιμοποίησιν περισσότερον δυσαρέστων λόγων, διὰ νὰ μὴ λυπήσω πολὺ τὸν ἄνθρωπον ποὺ εὔχεται μαζί μας τὰ βέλτιστα.

1. Ἡ ὑγεία τοῦ Βασιλείου ἦτο πάντοτε ἐπισφαλής.

278

37. ΑΝΕΠΙΓΡΑΦΟΣ ΥΠΕΡ ΣΥΝΤΡΟΦΟΥ

Ὑφορῶμαι λοιπὸν τῶν ἐπιστολῶν τὸ πλῆθος. Βιαίως μὲν καὶ μὴ φέρων τὴν ἐπάχθειαν τῶν ἀπαιτούντων ἡμᾶς ἐκφωνεῖν ἀναγκάζομαι. Γράφω δ' οὖν ὅμως, ἄλλον ἀπαλλαγῆς τρόπον ἐπινοεῖν οὐκ ἔχων ἢ διδοὺς αὐτοῖς τὰς ἐπιστολὰς ἃς αἰτοῦσιν ἑκάστοτε παρ' ἡμῶν. Φοβοῦμαι τοίνυν μή, ἐπειδὴ πολλοὶ προσκομίζουσι γράμματα, εἷς τῶν πολλῶν νομισθῇ καὶ ὁ ἀδελφὸς ὁ δεῖνα. Ἐγὼ γὰρ πολλοὺς φίλους καὶ συγγενεῖς ἔχειν ἐπὶ τῆς πατρίδος ὁμολογῶ, καὶ αὐτὸς εἰς τὴν πατρικὴν τάξιν τετάχθαι διὰ τὸ σχῆμα τοῦτο εἰς ὃ ἔταξεν ἡμᾶς ὁ Κύριος. Σύντροφον δὲ τῆς θρεψαμένης με υἱὸν τοῦτον ἔχω ἕνα, καὶ εὔχομαι τὸν οἶκον ἐν ᾧ ἀνετράφην ἐπὶ τῆς ὁμοίας καταστάσεως διαμεῖναι, ἵνα μή τι ἡ πάντας εὐεργετοῦσα ἐπιδημία τῆς σῆς κοσμιότητος ἀφορμὴ πρὸς λύπην τῷ ἀνδρὶ γένηται. Ἀλλ' ἐπειδὴ ἔτι καὶ νῦν ἐκ τοῦ αὐτοῦ διατρέφομαι οἴκου, οὐδὲν ἔχων τῶν ἐμαυτοῦ, ἀρκούμενος δὲ τοῖς τῶν ἀγαπητῶν, παρακαλῶ οὕτω φείσασθαι τῆς οἰκίας

Ἐπιστολὴ 37. Ἐγράφη πρὸ τοῦ 370, ὅταν ὁ Βασίλειος ἦτο ἀκόμη πρεσβύτερος εἰς τὴν Καισάρειαν. Ἔχει καὶ εἰς τὴν θέσιν αὐτὴν πολὺν φόρ-

278

ΕΠΙΣΤΟΛΗ 37
ΑΝΕΠΙΓΡΑΦΟΣ ΥΠΕΡ ΣΥΝΤΡΟΦΟΥ

Βλέπω μὲ κακὸ μάτι τὸ πλῆθος τῶν ἐπιστολῶν. Ἀναγκάζομαι βέβαια νὰ ἐκφωνήσω ἀπὸ βίαν καὶ ἀπὸ δυσκολίαν νὰ ὑποφέρω τὴν φορτικότητα αὐτῶν ποὺ μοῦ ζητοῦν ἐξυπηρετήσεις, ἀλλὰ πάντως γράφω, διότι δὲν δύναμαι νὰ ἐπινοήσω ἄλλον τρόπον ἀπαλλαγῆς ἀπὸ τὸ νὰ τοὺς δώσω τὰς ἐπιστολὰς ποὺ κάθε φορὰ ζητοῦν ἀπὸ ἡμᾶς. Φοβοῦμαι λοιπὸν μήπως, ἐπειδὴ πολλοὶ προσκομίζουν γράμματα, νομισθῇ καὶ ὁ παρὼν ἀδελφὸς ἕνας ἀπὸ τοὺς πολλούς. Ἐγὼ δὲ πραγματικὰ ὁμολογῶ ὅτι ἔχω πολλοὺς φίλους καὶ συγγενεῖς εἰς τὴν πατρίδα καὶ ὅτι ἔχω ταχθῇ εἰς τάξιν πατρὸς ἐξ αἰτίας τοῦ σχήματος τούτου, εἰς τὸ ὁποῖον μᾶς ἔθεσεν ὁ Κύριος.

Ἔχω δὲ ἕνα σύντροφον, τὸν υἱὸν τοῦτον τῆς τροφοῦ μου, καὶ εὔχομαι ὁ οἶκος, εἰς τὸν ὁποῖον ἀνετράφην, νὰ μείνῃ εἰς τὴν ὁμοίαν κατάστασιν, οὕτως ὥστε ὁ ἐρχομὸς τῆς κοσμιότητός σου ποὺ εὐεργετεῖ ὅλους νὰ μὴ γίνῃ ἀφορμὴ πρὸς λύπην εἰς τὸν ἄνδρα. Ἀλλ' ἐπειδὴ καὶ τώρα ἀκόμη διατρέφομαι ἀπὸ τὸν ἴδιον οἶκον, καὶ ἀφοῦ δὲν ἔχω τίποτε ἰδικόν μου ἀρκοῦμαι εἰς τὰ τῶν ἀγαπητῶν μου, παρακαλῶ νὰ λυπηθῆτε τὴν οἰκίαν εἰς

τον ἐργασίας. Ὁ ἄγνωστος παραλήπτης εἶναι ἀξιωματοῦχος, ἐνῷ ὁ ὑπὲρ τοῦ ὁποίου ἡ σύστασις εἶναι ὁ ἴδιος μὲ τὸν τῆς προηγουμένης ἐπιστολῆς 36 Β'τ. Ἴσως εἶναι ὁ ἱερεὺς Δωρόθεος.

ἢ ἐνετράφην ὡς ἐμοὶ τῆς τροφῆς τὴν χορηγίαν διασώζουσαν. Καί σε ὁ Θεὸς ἀντὶ τούτων τῆς αἰωνίου ἀναπαύσεως ἀξιώσειεν. Ἐκεῖνό γε μὴ πάντων ἀληθέστατον γινώσκειν σου τὴν κοσμιότητα βούλομαι, ὅτι τῶν ἀνδραπόδων τὰ πλεῖστα παρ' ἡμῶν ὑπῆρξεν αὐτῷ μισθὸς τῆς τροφῆς ἡμῶν, τῶν γονέων ἡμῶν παρασχομένων. Ὁ δὲ μισθὸς οὐ παντελὴς ἐστὶ δωρεά, ἀλλὰ χρῆσις διὰ βίου. Ὥστε, ἐάν τι βαρὺ περὶ αὐτὰ γένηται, ἔξεστιν αὐτῷ πρὸς ἡμᾶς ἀποπέμψαι, καὶ ἐσόμεθα ἡμεῖς δι' ἑτέρας ὁδοῦ ὑπεύθυνοι τελέσμασι καὶ ἀπαιτηταῖς πάλιν γενόμενοι.

279

83. ΚΗΝΣΙΤΟΡΙ

Ἐμοὶ πρὸς τὴν σὴν εὐγένειαν συνήθεια μὲν καὶ ἡ κατ' ὀφθαλμοὺς συντυχία πάνυ βραχεῖα γέγονε, γνῶσις δὲ ἡ ἐξ ἀκοῆς, δι' ἧς πολλοῖς συναπτόμεθα τῶν ἐπιφανῶν, οὐκ ὀλίγη τε οὐδὲ εὐκαταφρόνητος. Εἰ δὲ καὶ σοί τις ἐκ τῆς φήμης περὶ ἡμῶν ὑπάρχει λόγος, αὐτὸς ἂν εἰδείης ἄμεινον. Τὸ δ' οὖν σὸν παρ' ἡμῖν τοιοῦτόν ἐστιν οἷον εἴπομεν. Ἐπειδὴ δὲ ἐκάλεσέ σε ὁ Θεὸς εἰς πρᾶγμα φιλανθρωπίας ἐπίδειξιν ἔχον, δι' οὗ δυνατόν ἐστι διορθωθῆναι ἡμῶν τὴν πατρίδα παντελῶς ἐδαφισθεῖσαν, ἡγοῦμαι πρέπειν μοι ὑπομνῆσαί σου τὴν χρηστότητα, ἵνα ἐπ' ἐλπίδι τῆς παρὰ Θεοῦ ἀνταποδόσεως τοιοῦτον σεαυτὸν καταξιώσῃς παρασχέσθαι ὥστε

---

1. Ὁ Βασίλειος ἐλάμβανε τὸ σιτομέτριον ἀπὸ τὸ κτῆμα τοῦ οἴκου τούτου, ὁ ὁποῖος προφανῶς εἶχε δωρηθῆ ἀπὸ τοὺς γονεῖς του εἰς τὴν τροφόν του.

Ἐπιστολὴ 83. Ἐγράφη τὸ 372. Εἶναι μεσολαβητικὴ ὑπὲρ φίλου τοῦ Βασιλείου.

τὴν ὁποίαν ἀνετράφην διὰ νὰ διατηρήσῃ πρὸς χάριν μου τὴν χορηγίαν τῆς τροφῆς [1]. Σὲ δὲ εἴθε δι' αὐτὰ ν' ἀξιώσῃ ὁ Θεὸς τῆς αἰωνίου ἀναπαύσεως. Θέλω δὲ ἐπίσης νὰ γνωρίζῃ ἡ κοσμιότης σου ὡς ἀληθέστερον ἀπὸ ὅλα τοῦτο, ὅτι οἱ περισσότεροι ἀπὸ τοὺς δούλους ἐδόθησαν εἰς αὐτοὺς ὡς ἀμοιβὴ διὰ τὴν διατροφήν μας ἀπὸ ἡμᾶς, δηλαδὴ ἀπὸ τοὺς γονεῖς μας. Ἡ δὲ ἀμοιβὴ δὲν εἶναι πλήρης δωρεά, ἀλλὰ χρῆσις διὰ βίου. Ὥστε, ἐὰν συμβῇ εἰς αὐτοὺς κάτι δυσάρεστον, ἔχει δικαίωμα νὰ τοὺς στείλῃ εἰς ἡμᾶς, καὶ θὰ γίνωμεν ἡμεῖς πάλιν ἀπὸ ἄλλον δρόμον ὑπόλογοι εἰς φορολογίας καὶ εἰς εἰσπράκτορας.

279

ΕΠΙΣΤΟΛΗ 83
ΠΡΟΣ ΚΗΝΣΙΤΟΡΑ

Ἐγὼ ἔχω πολὺ ὀλίγην συνάφειαν μαζί σου καὶ ἡ κατ' ὄψιν συνάντησίς μου μαζί σου ἦτο πολὺ σύντομος, ἡ ἐξ ἀκοῆς ὅμως γνῶσις, διὰ μέσου τῆς ὁποίας συναπτόμεθα μὲ πολλοὺς ἐκ τῶν ἐπιφανῶν, δὲν εἶναι ὀλίγη οὔτε εὐκαταφρόνητος. Ἐὰν δὲ καὶ σὺ ἀπὸ τὴν φήμην ἔχεις κάποιαν ὑπόληψιν δι' ἡμᾶς, σὺ ὁ ἴδιος τὸ γνωρίζεις καλύτερα. Ἡ ἰδική σου ὑπόληψις πάντως εἰς ἐμὲ εἶναι ὅπως τὴν ἐξέθεσα ἀνωτέρω.

Ἐπειδὴ δὲ ὁ Θεὸς σὲ ἐκάλεσεν εἰς ἀξίωμα ποὺ παρουσιάζει εὐχέρειαν φιλανθρωπίας, διὰ τοῦ ὁποίου εἶναι δυνατὸν νὰ ἀνακουφισθῇ ἡ πατρίς μας ποὺ ἠρειπώθη ἐντελῶς [1], νομίζω ὅτι ἁρμόζει νὰ ὑπενθυμίσω τὴν χρηστότητά σου νὰ καταξιώσῃς τὸν ἑαυτόν σου, μὲ τὴν ἐλπίδα τῆς ἀνταποδόσεως παρὰ τοῦ Θεοῦ, νὰ παρουσιάσῃς τοῦτον τοιοῦτον ὥστε ν' ἀξιωθῇς

---

1. Ἡ Καππαδοκία εἶχε προσφάτως διαιρεθῇ εἰς δύο ἐπαρχίας, πρώτην καὶ δευτέραν, μὲ ἀποτέλεσμα νὰ ὑποστῇ σοβαρὰν πτῶσιν ἡ Καισάρεια, ποὺ παρέμεινε πρωτεύουσα τῆς πρώτης.

ἀθανάτου μὲν τῆς μνήμης ἀξιοῦσθαι, γενέσθαι δὲ αἰωνίων ἀναπαύσεων κληρονόμον ἐκ τοῦ ἐλαφροτέρας ποιῆσαι τοῖς καταπονουμένοις τὰς θλίψεις. Ἐπειδὴ δὲ κἀμοί τίς ἐστι κτῆσις περὶ Χαμανηνήν, ἀξιῶ σε προστῆναι αὐτῆς ὡς οἰκείας. Μὴ θαυμάσῃς δέ, εἰ ἐμαυτοῦ λέγω τὰ τῶν φίλων, μετὰ τῆς ἄλλης ἀρετῆς καὶ φιλίαν πεπαιδευμένος καὶ μεμνημένος τοῦ σοφῶς εἰπόντος· «Ἄλλον ἑαυτὸν εἶναι τὸν φίλον». Τὴν τοίνυν κτῆσιν τὴν διαφέρουσαν τῷδε, ταύτην ὡς ἐμαυτοῦ παρατίθεμαι τῇ τιμιότητί σου, καὶ παρακαλῶ ἐπισκεψάμενον τὰ τῆς οἰκίας δυσχερῆ δοῦναι αὐτοῖς καὶ τῶν παρελθόντων χρόνων παραμυθίαν καὶ πρὸς τὸ μέλλον αἰρετὴν αὐτοῖς κατασκευάσαι τὴν οἴκησιν, τὴν φευκτὴν καὶ ἀπηγορευμένην διὰ τὸ πλῆθος τῆς ἐπικειμένης αὐτῇ συντελείας. Σπουδάσω δὲ καὶ αὐτὸς περιτυχών σου τῇ κοσμιότητι ἐντελέστερον περὶ ἑκάστου διαλεχθῆναι.

280

86. ΤΩ ΗΓΕΜΟΝΙ

Οἶδα μεγίστην καὶ πρώτην σπουδὴν οὖσαν τῇ τιμιότητί σου πάντα τρόπον χαρίζεσθαι τῷ δικαίῳ, δευτέραν δὲ τὸ καὶ τοὺς φίλους εὐποιεῖν καὶ τῶν προσφευγόντων τῇ προστασίᾳ τῆς σῆς μεγαλονοίας ἀντιποιεῖσθαι. Πάντα τοίνυν εἰς ταὐτὸν συνέδραμεν ἐπὶ τῆς παρούσης ὑποθέσεως. Καὶ γὰρ δίκαιόν ἐστι τὸ πρᾶγμα ὑπὲρ οὗ τὴν πρεσβείαν ποιούμεθα καὶ ἡμῖν κεχαρισμένον, οὓς ἐν τοῖς φίλοις ἀριθμεῖν τοῖς σεαυτοῦ κατηξίωσας, καὶ ὀφειλόμενον

2. Ἀριστοτέλους, Ἠθικὰ Νικομάχεια 9, 4, 9.

Ἐπιστολὴ 86. Ἐγράφη τὸ 372 πρὸς τὸν ἔπαρχον Καππαδοκίας πιθανόν. Μεσολαβεῖ ὑπὲρ τῆς ἀποκαταστάσεως ζημίας ποὺ ἔκαμαν δημόσιοι

ἀθανάτου μνήμης καὶ νὰ γίνῃς κληρονόμος αἰωνίας ἀναπαύσεως, μὲ τὸ νὰ καταστήσῃς ἐλαφροτέρας τὰς θλίψεις εἰς τοὺς ὑποφέροντας.

Ἐπειδὴ δὲ ἔχω καὶ ἐγὼ κάποιον κτῆμα εἰς τὴν περιοχὴν τῆς Χαμανηνῆς, σὲ παρακαλῶ νὰ τὸ προστατεύσῃς ὡς ἰδικόν σου. Μὴ θαυμάσῃς ποὺ χαρακτηρίζω ὡς ἰδικά μου τὰ τῶν φίλων μου, ἀφοῦ ἔχω διδαχθῆ μαζὶ μὲ τὴν ἄλλην ἀρετὴν καὶ τὴν φιλίαν καὶ ἐνθυμοῦμαι τὸν εἰπόντα σοφῶς, «ὁ φίλος εἶναι ἄλλος ἑαυτός» [2]. Τὸ κτῆμα λοιπὸν ποὺ ἀνήκει εἰς τὸν ἐπιφέροντα, ἀναθέτω εἰς τὴν τιμιότητά σου ὡς ἰδικόν μου καὶ παρακαλῶ, λαμβάνων ὑπ' ὄψιν τὰς δυσχερείας τοῦ οἴκου, καὶ διὰ τὰ περασμένα χρόνια νὰ τοὺς δώσῃς παρηγορίαν καὶ διὰ τὸ μέλλον νὰ τοὺς καταστήσῃς ἄνετον τὴν διαβίωσιν, ἡ ὁποία τώρα εἶναι φευκτὴ καὶ ἀδύνατος λόγῳ τοῦ μεγάλου ὕψους τῆς καθωρισμένης δι' αὐτὸ φορολογίας. Θὰ φροντίσω δὲ καὶ ἐγὼ νὰ συναντήσω τὴν κοσμιότητά σου, ὁπότε θὰ συζητήσω μὲ αὐτὴν λεπτομερέστερον διὰ τὰ καθέκαστα.

280

ΕΠΙΣΤΟΛΗ 86
ΠΡΟΣ ΤΟΝ ΗΓΕΜΟΝΑ

Γνωρίζω ὅτι μεγίστη καὶ πρώτη μέριμνα τῆς τιμιότητός σου εἶναι τὸ νὰ εὐνοῇς μὲ κάθε τρόπον τὸ δίκαιον, δευτέρα δὲ τὸ νὰ εὐεργετῇς τοὺς φίλους καὶ νὰ ὑποστηρίζῃς ἐκείνους ποὺ προσφεύγουν εἰς τὴν προστασίαν τῆς μεγαλοθυμίας σου.

Ὅλα λοιπὸν αὐτὰ συντρέχουν εἰς τὴν παροῦσαν ὑπόθεσιν. Διότι καὶ δίκαιον εἶναι τὸ πρᾶγμα ὑπὲρ τοῦ ὁποίου μεσολαβοῦμεν καὶ εἰς ἡμᾶς, ποὺ ἐσὺ ἠξίωσες νὰ συμπεριλάβῃς εἰς τοὺς φίλους, εὐχάριστον, καὶ ὀφείλεται εἰς ἀνθρώπους ποὺ ἐπι-

---

ὑπάλληλοι εἰς τὸν «ἀδελφὸν Δωρόθεον» διὰ τῆς κατασχέσεως τοῦ σίτου. Σχετικὴ εἶναι καὶ ἡ ἑπομένη ἐπιστολὴ 87.

τοῖς τὴν στερρότητά σου εἰς τὴν ὑπὲρ ὧν πεπόνθασι βοήθειαν ἐπικαλουμένοις. Σῖτον γάρ, ὃν μόνον εἶχε πρὸς τὴν ἀναγκαίαν τοῦ βίου διαγωγὴν ὁ ποθεινότατος ἀδελφὸς Δωρόθεος, διήρπασάν τινες ἐν Βηρίσοις τῶν τὰ δημόσια διοικεῖν πεπιστευμένων, εἴτε ἀφ' ἑαυτῶν ἐλθόντες ἐπὶ τὴν βίαν εἴτε καὶ ἑτέρων αὐτοῖς ὑποθεμένων. Πλὴν οὐδαμόθεν αὐτοῖς τὸ πρᾶγμα ἀνέγκλητον. Τί γὰρ ἧττον ἀδικεῖ ὁ οἴκοθεν πονηρὸς ἢ ὁ ἑτέρων κακίᾳ ὑπηρετούμενος; Καὶ τοῖς πεπονθόσιν ἡ ζημία ὁμοία. Τοῦτον ἀξιοῦμεν δι' ὧν ἁφῃρέθη μὲν ἀπολαβεῖν καὶ μὴ ἐξεῖναι αὐτοῖς ἐπὶ ἑτέρους τὴν αἰτίαν τῶν τετολμημένων ἀναφέρειν. Ὅσου δὲ ἄξιον τὸ τὴν ἐκ τῆς σιτοδείας διαφυγεῖν ἀνάγκην, τοσούτου τὴν χάριν τιμησόμεθα τὴν παρὰ τῆς σῆς μεγαλοφυΐας, ἐὰν ἄρα δοῦναι καταξιώσῃς.

281

87. ΑΝΕΠΙΓΡΑΦΟΣ ΥΠΕΡ ΤΩΝ ΑΥΤΩΝ

Ἐθαύμασα πῶς σοῦ μεσιτεύοντος τοσοῦτον ἐτολμήθη κακὸν κατὰ τοῦ συμπρεσβυτέρου, ὥστε, ἣν μόνην εἶχεν ἀφορμὴν τοῦ βίου, ταύτην διαρπασθῆναι. Καὶ τὸ δεινότατον, ὅτι οἱ τοῦτο τετολμηκότες ἐπὶ σὲ τὴν αἰτίαν ὧν πεποιήκασιν ἀναφέρουσιν, ὃν οὐχ ὅπως ἐπιτρέπειν τὰ τοιαῦτα γίνεσθαι, ἀλλὰ καὶ παντὶ σθένει διακωλύειν ἀκόλουθον ἦν, μάλιστα μὲν κατὰ πάντων, εἰ δ' ἄρα, κατὰ γοῦν τῶν πρεσβυτέρων, καὶ τούτων ὅσοι ἡμῖν ὁμόψυχοι καὶ τὴν αὐτὴν τῆς εὐσεβείας ὁδὸν πορευόμενοι. Εἴ τι οὖν φροντίζεις τοῦ ἀναπαῦσαι ἡμᾶς, ταχέως διορθωθῆναι τὰ γενόμενα ποίησον.

Ἐπιστολὴ 87. Ἐγράφη τὴν ἰδίαν ἐποχὴν μὲ τὴν προηγουμένην ἐπιστολὴν 86 διὰ τὸ ἴδιον θέμα. Ἀπευθύνεται εἰς ἀξιωματοῦχον, ὁ ὁποῖος εἶχε πιθανῶς δώσει τὴν ἐντολὴν κατασχέσεως τοῦ σίτου.

καλοῦνται τὴν σταθερότητά σου εἰς βοήθειαν δι' ὅσα ἔπαθαν. Πραγματικὰ τὸν σῖτον, ποὺ ὁ ἀγαπητότατος ἀδελφὸς Δωρόθεος εἶχε μόλις ἐπαρκῆ διὰ τὴν συντήρησίν του, διήρπασαν εἰς τὰ Βήρισα μερικοὶ ἀπὸ τοὺς ἐμπιστευομένους τὰς δημοσίας ὑπηρεσίας χρησιμοποιήσαντες βίαν εἴτε μὲ ἰδικήν των πρωτοβουλίαν εἴτε μὲ ὑπόδειξιν ἄλλων. Ὅπως καὶ ἂν ἔγινεν ὅμως τὸ πρᾶγμα, δὲν εἶναι ἀπηλλαγμένον κατηγορίας. Κατὰ τί ἀδικεῖ ὀλιγώτερον ὁ ἀφ' ἑαυτοῦ πονηρὸς ἀπὸ ἐκεῖνον ποὺ ὑπηρετεῖ τὴν κακίαν ἄλλων; Καὶ εἰς τοὺς παθόντας ἡ ζημία εἶναι ὁμοία.

Ἔχομεν λοιπὸν τὴν ἀξίωσιν νὰ πάρῃ ἐκ νέου τὸν σῖτον ποὺ τοῦ ἀφῃρέθη καὶ νὰ μὴ τοὺς ἐπιτραπῇ νὰ ἐπιρρίψουν εἰς ἄλλους τὴν αἰτίαν τῆς τολμηρᾶς ἐνεργείας των. Ὅσον δὲ σπουδαῖον εἶναι τὸ νὰ ἀποφύγῃ κανεὶς τὴν ἀνάγκην τῆς σιτοδείας, τόσον θὰ ἐκτιμήσωμεν τὴν χάριν ποὺ θὰ δεχθῶμεν ἀπὸ τὴν μεγαλοφυΐαν σου, ἐὰν βέβαια ἀξιώσῃς νὰ τὴν δώσῃς.

281

ΕΠΙΣΤΟΛΗ 87
ΑΝΕΠΙΓΡΑΦΟΣ ΠΕΡΙ ΤΟΥ ΙΔΙΟΥ ΘΕΜΑΤΟΣ

Ἐξεπλάγην πῶς ἐτολμήθη τόσον μέγα κακὸν ἐναντίον τοῦ συμπρεσβυτέρου, ὥστε νὰ τοῦ διαρπαγῇ τὸ μόνον μέσον βίου ποὺ εἶχε[1], ὑπὸ τὴν διοίκησίν σου. Καὶ τὸ φοβερώτερον εἶναι ὅτι οἱ τολμήσαντες αὐτὸ ἀποδίδουν τὴν αἰτίαν τῆς ἐνεργείας των εἰς ἐντολήν σου, ὁ ὁποῖος θὰ ἦτο πρέπον ὄχι μόνον νὰ μὴ ἐπιτρέπῃς, ἀλλὰ καὶ νὰ ἐμποδίζῃς μὲ κάθε σθένος νὰ γίνωνται τοιαῦτα πράγματα, μάλιστα μὲν ἐναντίον ὁποιουδήποτε, ἀλλὰ τοὐλάχιστον ἐναντίον τῶν πρεσβυτέρων, καὶ δι' ἐκείνους ποὺ εἶναι ὁμόψυχοί μας καὶ βαδίζουν τὴν ἰδίαν ὁδὸν μὲ ἡμᾶς. Ἐὰν λοιπὸν ἔχῃς ἐνδιαφέρον νὰ μᾶς ἀναπαύσῃς,

---

1. Ὁ σῖτος, βλ. ἐπιστολὴν 86.

Λύνασαι γὰρ σὺν Θεῷ καὶ ταῦτα καὶ ἔτι μείζω τούτων κατορθοῦν οἷς ἂν ἐθέλῃς. Ἐπέστειλα δὲ καὶ τῷ ἄρχοντι τῆς πατρίδος, ἵνα, ἐὰν ἐφ' ἑαυτῶν μὴ θελήσωσι ποιῆσαι τὰ δίκαια, ἐκ τῆς κινήσεως τῶν δικαστηρίων ἀναγκασθῶσι ποιῆσαι.

282

144. ΤΡΑΚΤΕΥΤΗ ΤΩΝ ΕΠΑΡΧΩΝ

Γνωρίζεις πάντως τόνδε ἐκ τῆς κατὰ τὴν πόλιν συντυχίας, ὅμως δέ σοι αὐτὸν καὶ διὰ τῆς ἐπιστολῆς προσάγομεν συνιστῶντες ὅτι εἰς πολλά σοι τῶν σπουδαζομένων χρήσιμος ἔσται διὰ τὸ καὶ συνετῶς καὶ εὐλαβῶς δύνασθαι ὑποτίθεσθαι τὰ πρακτέα. Ἃ δὲ ἐμοὶ εἰς τὸ οὗς διελέχθης ταῦτα νῦν ἐστι καιρὸς ἐπιδείξασθαι, ἐπειδάν σοι ὁ προειρημένος ἀδελφὸς τὰ τῶν πτωχῶν ὑποδείξῃ.

283

273. ΑΝΕΠΙΓΡΑΦΟΣ ΠΕΡΙ ΗΡΑ

Ἀκριβῶς πεπεισμένος οὕτως ἡμᾶς ἀγαπᾶν τὴν σὴν τιμιότητα ὥστε τὰ ἡμῖν διαφέροντα οἰκεῖα λογίζεσθαι, τὸν αἰδεσιμώτατον ἀδελφὸν ἡμῶν Ἥραν ὃν κατὰ συνήθειάν τινα ἀδελφὸν ἡμῶν προσαγορεύομεν, ἀλλὰ κατὰ ἀκριβεστάτην καὶ οὐδεμίαν ἔχου-

---

2. Τὸν ἔπαρχον Καππαδοκίας.

Ἐπιστολὴ 144. Ἐγράφη τὸ 373. Ἀπευθύνεται πρὸς τρακτευτήν, ὑ-

ἐνέργησε νὰ διορθωθοῦν γρήγορα τὰ γενόμενα. Σὺν Θεῷ δὲ ἠμπορεῖς καὶ αὐτὰ καὶ ἀκόμη μεγαλύτερα ἀπὸ αὐτὰ νὰ κατορθώσῃς δι' ὅσους θέλεις. Ἔστειλα δὲ καὶ εἰς τὸν ἄρχοντα [2] τῆς πατρίδος, οὕτως ὥστε, ἐὰν δὲν θέλουν νὰ κάμουν τὴν ἐπανόρθωσιν μόνοι των, ν' ἀναγκασθοῦν νὰ τὴν κάμουν μὲ ἀπόφασιν τῶν δικαστηρίων.

282

ΕΠΙΣΤΟΛΗ 144
ΠΡΟΣ ΤΡΑΚΤΕΥΤΗΝ ΤΩΝ ΕΠΑΡΧΩΝ

Ἂν καὶ ὁπωσδήποτε γνωρίζεις τὸν ἐπιφέροντα ἀπὸ τὴν συνάντησίν μας εἰς τὴν πόλιν, παρὰ ταῦτα σοῦ τὸν συνιστῶμεν καὶ διὰ τῆς ἐπιστολῆς. Θὰ σοῦ εἶναι χρήσιμος εἰς πολλὰ ζητήματα ποὺ σὲ ἀπασχολοῦν, διότι δύναται νὰ ὑποδεικνύῃ τὰ πρακτέα συνετῶς καὶ εὐλαβῶς. Ἐκεῖνα δὲ ποὺ μοῦ εἶπες εἰς τὸ αὐτί, τώρα εἶναι καιρὸς νὰ τὰ ἐκπληρώσῃς, ἀφοῦ ὁ προειρημένος ἀδελφὸς σοῦ ὑποδείξῃ τὰς ἀνάγκας τῶν πτωχῶν.

283

ΕΠΙΣΤΟΛΗ 273
ΑΝΕΠΙΓΡΑΦΟΣ ΠΕΡΙ ΤΟΥ ΗΡΑ

Ἐπειδὴ εἶμαι ἀπολύτως πεπεισμένος ὅτι ἡ τιμιότης σου μᾶς ἀγαπᾷ τόσον ὥστε τὰ συμφέροντα εἰς ἡμᾶς νὰ θεωρῇ ἰδικά της, συνιστῶ εἰς τὴν ὑπέροχον καλοκαγαθίαν σου τὸν αἰδεσιμώτατον ἀδελφὸν ἡμῶν Ἥραν, τὸν ὁποῖον δὲν ἀποκαλοῦ-

---

πάλληλον πλησίον τοῦ διοικητοῦ ἐπαρχίας, καὶ συνιστᾷ προϊστάμενον πτωχοτροφείου.

Ἐπιστολὴ 273. Ἐγράφη περὶ τὸ 377, συστατική. Βλ. καὶ ἐπιστολὰς 274 Β΄τ. καὶ 275.

σαν ὑπερβολὴν τῆς φιλίας διάθεσιν, συνιστῶ σου τῇ ὑπερφυεῖ καλοκαγαθίᾳ καὶ παρακαλῶ οἰκείως τε αὐτὸν θεάσασθαι καὶ τὴν κατὰ δύναμίν σοι παρασχέσθαι αὐτῷ προστασίαν ἐν οἷς ἂν δέηται τῆς μεγαλονοίας σου, ὥστε με τοῖς πολλοῖς οἷς ἤδη τετύχηκα παρὰ σοὶ ἀγαθοῖς καὶ ταύτην ἔχειν τὴν εὐεργεσίαν συναριθμεῖν.

284

275. ΑΝΕΠΙΓΡΑΦΟΣ ΠΕΡΙ ΗΡΑ

Προέλαβες τὰς παρ' ἡμῶν παρακλήσεις ἐν τῇ πρὸς τὸν αἰδεσιμώτατον ἀδελφὸν ἡμῶν Ἥραν διαθέσει καὶ γέγονας αὐτῷ εὐχῆς ἀμείνων τῶν τε τιμῶν ταῖς ὑπερβολαῖς αἷς εἰς αὐτὸν ἐπεδείξω καὶ ταῖς ἐφ' ἑκάστου καιροῦ προστασίαις. Ὅμως δὲ καὶ ἡμεῖς, ἐπειδὴ σιωπῇ φέρειν τὰ κατ' αὐτὸν οὐ δυνάμεθα, παρακαλοῦμέν σου τὴν ἀνυπέρβλητον τιμιότητα καὶ εἰς ἡμετέραν χάριν προσθεῖναι τῇ εἰς τὸν ἄνδρα σπουδῇ καὶ ἀποπέμψαι αὐτὸν τῇ πατρίδι κρείττονα τῆς παρὰ τῶν ἐχθρῶν αὐτοῦ ἐπηρείας, ἐπεὶ νῦν γε οὐκ ἔξω ἐστὶ βελῶν τοῦ φθόνου, πολλῶν αὐτοῦ ἐπηρεάζειν ἐπιχειρούντων τῇ ἀπραγμοσύνῃ τοῦ βίου. Πρὸς οὓς μίαν εὑρήσομεν ἀσφάλειαν ἄρρηκτον, εἰ αὐτὸς ὑπερσχεῖν τὴν χεῖρα τοῦ ἀνδρὸς θελήσειας.

Ἐπιστολὴ 275. Ἐγράφη περὶ τὸ 377. Βλ. καὶ ἐπιστολὴν 273 καὶ 274 Β΄τ..

μεν ἀδελφὸν ἀπὸ συνήθειαν, ἀλλὰ λόγῳ τῆς ἀκριβεστάτης καὶ μὴ ἐπιδεχομένης αὔξησιν φιλικῆς διαθέσεως, καὶ παρακαλῶ νὰ τὸν προσβλέψῃς μὲ οἰκειότητα καὶ νὰ τοῦ προσφέρῃς τὴν κατὰ δύναμιν προστασίαν, εἰς ὅσα χρειάζεται τὴν βοήθειαν τῆς μεγαλοφροσύνης σου· οὕτω θὰ ἠμπορῶ νὰ συμπεριλάβω καὶ αὐτὴν τὴν εὐεργεσίαν μαζὶ μὲ τὰ πολλὰ ἀγαθὰ ποὺ ἔχω ἤδη ἀποκτήσει ἀπὸ σέ.

284

ΕΠΙΣΤΟΛΗ 275
ΑΝΕΠΙΓΡΑΦΟΣ ΠΕΡΙ ΤΟΥ ΗΡΑ

Ἐπρόλαβες τὰς ἐκ μέρους μας παρακλήσεις μὲ τὴν διάθεσίν σου πρὸς τὸν αἰδεσιμώτατον ἀδελφὸν ἡμῶν Ἥραν καὶ τοῦ ἐφέρθης εὐμενέστερον ἀπὸ ὅ,τι θὰ ηὐχόμεθα μὲ τὰς ὑπερβολικὰς τιμὰς ποὺ ἐπέδειξες εἰς αὐτὸν καὶ μὲ τὴν προστασίαν σου πρὸς αὐτὸν εἰς κάθε εὐκαιρίαν. Καὶ ἡμεῖς ὅμως, ἐπειδὴ δὲν ἠμποροῦμεν νὰ μείνωμεν σιωπηλοὶ ἐνώπιον τῆς καταστάσεώς του, παρακαλοῦμεν τὴν ἀνυπέρβλητον τιμιότητά σου νὰ προσθέσῃς εἰς τὴν διὰ τὸν ἄνδρα φροντίδα σου κάτι καὶ πρὸς χάριν μας καὶ νὰ τὸν ἀποστείλῃς ὀπίσω εἰς τὴν πατρίδα ἀπρόσβλητον ἀπὸ τὰς προσβολὰς τῶν ἐχθρῶν του, ἐπειδὴ τώρα τοὐλάχιστον δὲν εἶναι ἔξω τοῦ φθόνου, καθ' ὅσον πολλοὶ ἐπιχειροῦν νὰ ταράξουν τὴν ἠρεμίαν τοῦ βίου του. Ἔναντι αὐτῶν μίαν ἀσφάλειαν ἀδιάσπαστον θὰ εὕρωμεν, ἐὰν θελήσῃς σὺ ὁ ἴδιος νὰ κρατήσῃς τὴν χεῖρά σου ἐπάνω ἀπὸ τὸν ἄνδρα.

285

284. ΠΕΡΙ ΜΟΝΑΖΟΝΤΩΝ ΤΩ ΚΗΝΣΙΤΟΡΙ

Οἶμαι μέν τινα ἤδη τύπον κεκρατῆσθαι παρὰ τῇ τιμιότητί σου τῶν μοναζόντων ἕνεκεν, ὡς μηδὲν ἡμᾶς δεῖσθαι ἰδιάζουσαν χάριν ἐπ' αὐτοῖς αἰτεῖν, ἀλλ' ἐξαρκεῖν αὐτοῖς, εἰ τῆς κοινῆς μετὰ πάντων ἀπολαύσειαν φιλανθρωπίας. Ὅμως δὲ καὶ ἐμαυτῷ ἐπιβάλλειν ἡγούμενος φροντίζειν, τὰ δυνατά, τῶν τοιούτων ἐπιστέλλω τῇ τελείᾳ συνέσει σου τοὺς πάλαι μὲν ἀποταξαμένους τῷ βίῳ νεκρώσαντας δὲ ἑαυτῶν τὸ σῶμα, ὡς μήτε ἀπὸ χρημάτων μήτε ἀπὸ τῆς σωματικῆς ὑπηρεσίας δύνασθαί τι παρέχειν τοῖς δημοσίοις χρήσιμον, ἀφιέναι τῶν συντελειῶν. Καὶ γάρ, εἴπερ εἰσὶ κατὰ τὸ ἐπάγγελμα ζῶντες, οὔτε χρήματα ἔχουσιν οὔτε σώματα, τὰ μὲν εἰς τὴν τῶν δεομένων κοινωνίαν ἀποκτησάμενοι, τὰ δὲ ἐν νηστείαις καὶ προσευχαῖς κατατρίψαντες. Οἶδα δὲ ὅτι τοὺς οὕτω βεβιωκότας παντὸς μᾶλλον δι' αἰδοῦς ἄξεις καὶ βουλήσει σεαυτῷ κτήσασθαι βοηθοὺς δυνατοὺς διὰ τῆς κατὰ τὸ Εὐαγγέλιον πολιτείας δυσωπῆσαι τὸν Κύριον.

286

285. ΑΝΕΠΙΓΡΑΦΟΣ ΕΠΙ ΤΗ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΠΡΟΣΤΑΣΙΑ

Ὁ τῆς Ἐκκλησίας φροντίζων καὶ διὰ χειρὸς ἔχων τῶν κτήσεων τὴν ἐπιμέλειαν αὐτός ἐστιν ὁ τὴν ἐπιστολὴν ἐπιδιδούς σοι

Ἐπιστολὴ 284. Ἐγράφη κατὰ τὴν διάρκειαν τῆς ἀρχιερατείας τοῦ Βασιλείου πρὸς τὸν φορολόγον τῆς περιοχῆς, ὑπὲρ ἀπαλλαγῆς τῶν ἀκτημόνων μοναχῶν ἀπὸ τὴν φορολογίαν καὶ τὴν προσωπικὴν ἀγγαρείαν.

285

ΕΠΙΣΤΟΛΗ 284
ΠΡΟΣ ΤΟΝ ΚΗΝΣΙΤΟΡΑ ΠΕΡΙ ΜΟΝΑΧΩΝ

Νομίζω ὅτι ὑπάρχει ἤδη κάποιος κανονισμὸς ἐν ἰσχύει πλησίον τῆς τιμιότητός σου σχετικῶς μὲ τοὺς μοναχούς, ὥστε νὰ μὴ χρειαζώμεθα νὰ ζητήσωμεν δι' αὐτοὺς ἰδιαιτέραν χάριν, ἀφοῦ εἶναι ἀρκετὸν εἰς αὐτοὺς νὰ ἀπολαύουν τῆς φιλανθρωπίας ποὺ δεικνύεις γενικῶς δι' ὅλους. Παρὰ ταῦτα, ἐπειδὴ νομίζω ὅτι ἐπιβάλλεται νὰ φροντίζω καὶ ἐγὼ κατὰ δύναμιν περὶ τῶν πραγμάτων τούτων, γράφω εἰς τὴν τελείαν σύνεσίν σου νὰ ἀπαλλάξῃ τῆς φορολογίας ἐκείνους οἱ ὁποῖοι ἀπὸ καιρὸν ἀπεμακρύνθησαν τοῦ κόσμου καὶ ἐνέκρωσαν τὸ σῶμά των, ὥστε νὰ μὴ δύνανται νὰ παρέχουν τίποτε χρήσιμον εἰς τὰ δημόσια πράγματα οὔτε μὲ χρήματα οὔτε μὲ σωματικὴν ὑπηρεσίαν. Διότι, ἐὰν ζοῦν κατὰ τὸ ἐπάγγελμά των, οὔτε χρήματα ἔχουν οὔτε σώματα, καθ' ὅσον τὰ μὲν πρῶτα ἐξώδευσαν εἰς τὰς κοινὰς ἀνάγκας τῶν πτωχῶν, τὰ δὲ δεύτερα ἐδαπάνησαν μὲ τὰς νηστείας καὶ τὰς προσευχάς. Γνωρίζω δὲ ὅτι πρὸς τοὺς οὕτω ζήσαντας θὰ ἔχῃς περισσότερον σεβασμὸν ἀπὸ κάθε ἄλλον καὶ θὰ θελήσῃς νὰ ἀποκτήσῃς αὐτοὺς βοηθούς σου ἱκανοὺς νὰ μεσιτεύουν πρὸς τὸν Κύριον διὰ τῆς κατὰ τὸ Εὐαγγέλιον διαγωγῆς των.

286

ΕΠΙΣΤΟΛΗ 285
ΑΝΕΠΙΓΡΑΦΟΣ ΠΕΡΙ ΠΡΟΣΤΑΣΙΑΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ

Ὁ φροντιστὴς τῆς Ἐκκλησίας καὶ ἐπιμελητὴς τῆς περιουσίας της εἶναι αὐτὸς ὁ ἴδιος ποὺ σοῦ ἐπιδίδει τὴν ἐπιστολὴν

Ἐπιστολὴ 285. Ἐγράφη κατὰ τὴν διάρκειαν τῆς ἀρχιερατείας τοῦ Βασιλείου. Σχετικὴ μὲ τὴν φορολογίαν τῆς Ἐκκλησίας.

ταύτην, ὁ ἀγαπητὸς υἱὸς ὁ δεῖνα. Τούτῳ καταξίωσον περὶ ὧν ἀναφέρει τῇ κοσμιότητί σου δοῦναι καὶ λόγου παρρησίαν καὶ περὶ ὧν διαβεβαιοῦται προσχεῖν, ἵνα ἀπὸ γοῦν τοῦ νῦν δυνηθῇ ἡ Ἐκκλησία ἑαυτὴν ἀναλαβεῖν καὶ τῆς πολυκεφάλου ταύτης ὕδρας ἀπαλλαγῆναι. Τοιαύτη γὰρ ἡ κτῆσις τῶν πτωχῶν ὥστε ἀεὶ ἡμᾶς ζητῆσαι τὸν ὑποδεχόμενον αὐτὴν διὰ τὸ προσαναλίσκειν μᾶλλον τὴν Ἐκκλησίαν ἢ τινα καρπὸν ἔχειν ἀπὸ τῶν κτημάτων.

287

299. ΚΗΝΣΙΤΟΡΙ

Εἰδότι μοι ἔγραφες ὅτι δυσκόλως ἔχεις πρὸς τὴν τῶν κοινῶν ἐπιμέλειαν. Καὶ γὰρ παλαιός ἐστι λόγος, τοὺς ἀρετῆς μεταποιουμένους μὴ μεθ' ἡδονῆς ἑαυτοὺς ἐπιβάλλειν ἀρχαῖς. Τὰ γὰρ τῶν ἰατρευόντων ἴδια, ταῦτα ὁρῶ καὶ τῶν ἀρχόντων ὄντα. Ὁρῶσι γὰρ δεινὰ καὶ πειρῶνται ἀηδῶν καὶ ἐπ' ἀλλοτρίαις συμφοραῖς οἰκείας καρποῦνται λύπας, οἵ γε ὡς ἀληθῶς ἄρχοντες, ἐπεὶ ὅσον ἐμπορικὸν τῶν ἀνθρώπων καὶ πρὸς χρήματα βλέπον καὶ περὶ τὴν δόξαν ταύτην ἐπτοημένον μέγιστον τῶν ἀγαθῶν τίθεται τὸ παραλαβεῖν τινα δυναστείαν ἀφ' ἧς δυνήσονται φίλους εὖ ποιεῖν καὶ ἐχθροὺς ἀμύνεσθαι καὶ ἑαυτοῖς κατακτᾶσθαι τὰ σπουδαζόμενα. Ἀλλ' οὐ τοιοῦτος σύ. Πόθεν; Ὅς γε καὶ τῆς πολιτικῆς δυνάμεως τοσαύτης οὔσης ἑκὼν ἀνεχώρησας καὶ ἐξὸν σοι κρατεῖν πόλεως ὡς μιᾶς οἰκίας· σὺ δὲ τὸν ἀπράγμονα καὶ ἡσύχιον εἵλου βίον, τὸ

---

1. Τὸ ὄνομα τοῦ μεταφορέως τῆς ἐπιστολῆς, ὅταν ἐπρόκειτο περὶ τοῦ συνιστωμένου, δὲν ἀναφέρει ὁ Βασίλειος συνήθως.

2. Οἱ μοναχοὶ ἐλέγοντο τότε ἐνίοτε πτωχοί, δηλαδὴ ἀκτήμονες.

ταύτην, ὁ ἀγαπητὸς υἱὸς δεῖνα [1]. Δέξου νὰ τοῦ δώσῃς παρρησίαν λόγου δι' ὅσα ἐπιθυμεῖ νὰ ἀναφέρῃ εἰς τὴν κοσμιότητά σου καὶ νὰ προσέξῃς ὅσα διαβεβαιώνει, διὰ νὰ δυνηθῇ εἰς τὸ ἑξῆς νὰ ἀναλάβῃ ἡ Ἐκκλησία καὶ νὰ ἀπαλλαγῇ ἀπὸ τὴν πολυκέφαλον αὐτὴν ὕδραν. Διότι εἶναι τόση ἡ περιουσία τῶν μοναχῶν [2], ὥστε ἡμεῖς νὰ ζητῶμεν πάντοτε κάποιον νὰ τὴν ἀναλάβῃ, διότι διὰ τὰ κτήματα αὐτὰ ἡ Ἐκκλησία περισσότερα ἐξοδεύει ἀπὸ ὅσα εἰσπράττει.

287

ΕΠΙΣΤΟΛΗ 299
ΠΡΟΣ ΚΗΝΣΙΤΟΡΑ

Μοῦ ἔγραφες ὅτι εἶσαι δυσαρεστημένος ἀπὸ τὴν ἐπιμέλειαν τῶν κοινῶν, πρᾶγμα ποὺ τὸ ἐγνώριζα ἤδη. Διότι ὑπάρχει παλαιὸς λόγος, κατὰ τὸν ὁποῖον οἱ ἐπιδιώκοντες τὴν ἀρετὴν δὲν ἐπιδίδονται μὲ εὐχαρίστησιν εἰς τὴν ἄσκησιν τῆς ἐξουσίας. Βλέπω δὲ ὅτι εἰς τοὺς ἄρχοντας συμβαίνει ὅ,τι καὶ εἰς τοὺς ἰατρούς. Δηλαδὴ παρατηροῦν δεινά, ἐπιχειροῦν ἀηδεῖς ἐπεμβάσεις καὶ καρποῦνται ἰδικάς των λύπας διὰ ξένας συμφοράς. Αὐτὰ βέβαια κάμνουν οἱ ἀληθινοὶ ἄρχοντες, διότι οἱ συμφεροντολόγοι ποὺ ἀποβλέπουν εἰς τὰ χρήματα καὶ παρασύρονται ἀπὸ τὴν δόξαν αὐτὴν ὡς μέγιστον ἀγαθὸν θεωροῦν νὰ κατακτήσουν κάποιαν ἐξουσίαν διὰ τῆς ὁποίας θὰ δυνηθοῦν νὰ εὐεργετήσουν φίλους, νὰ διώξουν ἐχθροὺς καὶ ν' ἀποκτήσουν ὅσα ποθοῦν.

Ἀλλ' ἐσὺ δὲν εἶσαι ὡσὰν αὐτούς. Ἀπὸ ποῦ καὶ ὡς ποῦ; Ἐσὺ ποὺ ἀπεχώρησες ἀπὸ τὸ δημόσιον ἀξίωμα ἐθελουσίως, ἂν καὶ ἦτο τόσον μεγάλον, τότε ποὺ ἠμποροῦσες νὰ κυβερνᾷς μίαν πόλιν ὡσὰν μίαν οἰκίαν. Τότε λοιπὸν ἐξέλεξες τὸν ἀμέρι-

---

Ἐπιστολὴ 299. Ἐγράφη εἰς ἄγνωστον χρόνον πρὸς φορολογικὸν ἀξιωματοῦχον, φιλική.

μήτε ἔχειν πράγματα μήτε παρέχειν ἑτέροις πλείονος σπουδῆς ἄξιον τιθέμενος ἢ ὅσου οἱ λοιποὶ τιμῶνται τὸ δυστροπεύειν. Ἀλλ' ἐπειδὴ ἐβουλήθη ὁ Κύριος τὴν Ἰβωριτῶν χώραν μὴ ὑπὸ καπήλοις ἀνθρώποις γενέσθαι μηδὲ ὥσπερ ἐν ἀνδραπόδων ἀγορᾷ εἶναι τὴν ἀποτίμησιν, ἀλλ', ὡς ἔστι δίκαιον, ἕκαστον γράφεσθαι, δέξαι τὸ πρᾶγμα, εἰ καὶ ἄλλως ὀχληρόν, ἀλλ' οὖν ὡς πρόξενόν σοι γενέσθαι δυνάμενον τῆς παρὰ Θεῷ εὐδοκιμήσεως. Καὶ μήτε δυναστείαν ὑποπτήξῃς μήτε πενίας καταφρονήσῃς, ἀλλὰ τὸ τῶν λογισμῶν ἀρρεπὲς τρυτάνης πάσης ἀρρεπέστερον παράσχου τοῖς διοικουμένοις. Οὕτω γὰρ καὶ τοῖς πεπιστευκόσι φανερὰ γενήσεταί σου ἡ περὶ τὸ δίκαιον σπουδὴ καὶ θαυμάσονταί σε παρὰ τοὺς ἄλλους. Ἢ κἂν ἐκείνους διαλάθῃ, τὸν Θεὸν ἡμῶν οὐ λήσεται τὸν μεγάλα ἡμῖν προθέντα τῶν ἀγαθῶν ἔργων τὰ ἄθλα.

288

303. ΚΟΜΗΤΙ ΠΡΙΒΑΤΩΝ

Οἱ τοῦ χωρίου τοῦδε ἐκ διαβολῆς, οἶμαι, ψευδοῦς ἔπεισαν τὴν τιμιότητά σου φοράδων τέλεσμα τοῖσδε ἐπαγαγεῖν. Ἐπεὶ οὖν καὶ τὸ γινόμενον ἄδικον καὶ διὰ τοῦτο ἀπαρέσκειν ὀφεῖλον τῇ τιμιότητί σου καὶ ἡμῖν λυπηρὸν διὰ τὴν πρὸς τοὺς ἠδικημένους ἡμῖν ὑπάρχουσαν οἰκειότητα, ἐσπεύσαμεν παρακαλέσαι τὴν χρηστότητά σου μὴ ἐᾶσαι προβῆναι τοῖς ἀδικεῖν ἐπιχειροῦσι τὴν ἐπήρειαν.

Ἐπιστολὴ 303. Ἐγράφη κατὰ τὸν χρόνον τῆς ἀρχιερατείας τοῦ Βασιλείου.

μνον καὶ ἥσυχον βίον, διότι ἐθεωροῦσες ἀξιολογώτερον τὸ οὔτε νὰ ἔχῃς οὔτε νὰ παρέχῃς ἐνοχλήσεις ἀπὸ ὅσον οἱ ἄλλοι ἐκτιμοῦν τὸ νὰ γίνωνται δύστροποι.

Ἐπειδὴ ὅμως ὁ Κύριος ἠθέλησε νὰ μὴ περιέλθῃ ὑπὸ τὴν ἁρμοδιότητα καπήλων ἡ περιοχὴ τῶν Ἰβωριτῶν καὶ νὰ μὴ γίνεται ἡ ἀπογραφὴ σὰν εἰς τὴν ἀγορὰν δούλων, ἀλλὰ νὰ ἐγγράφεται ὁ καθένας ὅπως εἶναι δίκαιον, δέξου τὸ ἀξίωμα, διότι, ἂν καὶ κατὰ τὰ ἄλλα εἶναι ὀχληρόν, δύναται πάντως νὰ γίνῃ πρόξενον τῆς εὐδοκιμήσεως ἐνώπιον τοῦ Θεοῦ. Νὰ μὴ φοβῆσαι τὴν δύναμιν οὔτε νὰ περιφρονῇς τὴν πτωχείαν, ἀλλὰ νὰ παρέχῃς εἰς τοὺς ὑπὸ τὴν δικαιοδοσίαν σου κατοίκους τὸν ὑπολογισμὸν ἀμερολήπτως, περισσότερον ἀμερολήπτως ἀπὸ τὴν πλάστιγγα. Οὕτω δὲ ὁ ζῆλός σου διὰ τὴν δικαιοσύνην θὰ γίνῃ φανερὸς εἰς τοὺς ἔχοντας ἐμπιστοσύνην εἰς σὲ καὶ θὰ σὲ θαυμάσουν περισσότερον ἀπὸ τοὺς ἄλλους. Καὶ ἂν δὲ τοῦτο διαφύγῃ ἐκείνων, δὲν θὰ διαφύγῃ τοῦ Θεοῦ, ὁ ὁποῖος ἔχει τοποθετήσει ἐνώπιον ἡμῶν μεγάλα βραβεῖα διὰ τὰ ἀγαθὰ ἔργα.

288

ΕΠΙΣΤΟΛΗ 303
ΠΡΟΣ ΤΟΝ ΚΟΜΗΤΑ ΤΟΥ ΒΑΣΙΛΙΚΟΥ ΤΑΜΕΙΟΥ

Οἱ ἐκπρόσωποι τοῦ τόπου τούτου ἀπὸ ψευδῆ διαβολήν, ὅπως νομίζω, ἔπεισαν τὴν τιμιότητά σου νὰ ἐπιβάλῃς εἰς τοὺς ἀνθρώπους τούτους φορολογίαν εἰς τὰς φοράδας. Ἐπειδὴ λοιπὸν τὸ γενόμενον εἶναι ἄδικον καὶ διὰ τοῦτο πρέπει νὰ μὴ ἀρέσῃ εἰς τὴν τιμιότητά σου, εἶναι δὲ καὶ εἰς ἡμᾶς λυπηρὸν λόγῳ τῆς συγγενείας ποὺ ἔχομεν πρὸς τοὺς ἀδικημένους, ἐσπεύσαμεν νὰ παρακαλέσωμεν τὴν χρηστότητά σου νὰ μὴ ἀφήσῃ νὰ προωθήσουν τὴν κακοήθειαν οἱ ἄνθρωποι ποὺ ἐπιχειροῦν νὰ ἀδικήσουν.

289

305. ΑΝΕΠΙΓΡΑΦΟΣ ΕΠΙ ΕΝΑΡΕΤΩ ΑΝΔΡΙ

Ἤδη γνώριμος ὑμῖν ἐστιν ὁ δεῖνα, ὡς αὐτὰ δηλοῖ τὰ διηγήματα τοῦ ἀνδρός. Ἐπὶ πάσης γὰρ ὑμᾶς προφάσεως ἔχει ἡ γλῶττα αὐτοῦ· ἐν ὀρθοδόξων μνήμῃ, ἐν ἀσκητῶν φιλοξενίᾳ, ἐν πάσῃ ἀρετῇ πρώτους ὑμᾶς ὁ ἀνὴρ ἄγει. Κἂν διδασκάλων τις μνησθῇ, οὐκ ἀνέχεται προθεῖναι ὑμῶν ἑτέρους· ἐὰν ἀγωνιστὰς τῆς εὐσεβείας καὶ ἱκανοὺς τὸ πιθανὸν τῆς αἱρέσεως διελέγξαι, οὐκ ἂν ἕλοιτο ἕτερον πρὸ ὑμῶν ἀριθμῆσαι, πρὸς πάντα ἄμαχον ὑμῖν καὶ ἀνταγώνιστον τὴν ἀρετὴν μαρτυρῶν. Καὶ οὐ πολὺς αὐτῷ πόνος πεῖσαι ταῦτα λέγοντι· διηγεῖται γὰρ ἀκοαῖς μείζονα ἐπισταμένων ἀνθρώπων ἢ ὧν ἄν τις νομισθείη μεθ' ὑπερβολῆς ἀπαγγέλλειν. Οὗτος τοίνυν ἐπανιὼν πρὸς ὑμᾶς γράμματα ᾔτησεν, οὐχ ἵνα ἑαυτὸν ὑμῖν οἰκειώσῃ δι' ἡμῶν, ἀλλ' ἵνα ἐμὲ εὐεργετήσῃ τοῦ προσφθέγξασθαι τοῖς ἀγαπητοῖς μου ἀφορμὴν παρασχόμενος· ὃν ἀμείψεται ὁ Κύριος τῆς ἀγαθῆς προαιρέσεως. Καὶ ὑμεῖς δὲ αὐτῷ εὐχαῖς καὶ τῇ ἀγαθῇ ὑμῶν περὶ πάντας προαιρέσει τὴν κατὰ δύναμιν χάριν διανείματε. Σημάνατε δὲ ἡμῖν καὶ τὰ τῶν Ἐκκλησιῶν ὅπως ἔχει.

290

306. ΗΓΕΜΟΝΙ ΣΕΒΑΣΤΕΙΑΣ

Αἰσθάνομαι τῆς τιμιότητός σου ἡδέως τὰς ἐπιστολὰς ἡμῶν

Ἐπιστολὴ 305. Ἐγράφη κατὰ τὸν χρόνον τῆς ἀρχιερατείας τοῦ Βασιλείου, πρὸς κοινότητα μοναχῶν, ποὺ δὲν ἀνῆκεν εἰς αὐτόν. Συνιστᾷ τὸν γραμματοκομιστὴν εἰς τὴν ἀγάπην των.

289

ΕΠΙΣΤΟΛΗ 305
ΑΝΕΠΙΓΡΑΦΟΣ ΠΡΟΣ ΕΝΑΡΕΤΟΝ ΑΝΔΡΑ

Ὁ δεῖνα [1] εἶναι γνώριμός σας, ὅπως δεικνύουν αἱ διηγήσεις τοῦ ἀνθρώπου. Διότι μὲ κάθε εὐκαιρίαν σᾶς ἔχει εἰς τὴν γλῶσσάν του· ὁ ἄνθρωπος σᾶς φέρει πρώτους εἰς τὴν μνείαν ὀρθοδόξων, εἰς τὴν φιλοξενίαν ἀσκητῶν, εἰς κάθε ἀρετήν. Καὶ ἂν μνημονεύσῃ κανεὶς διδασκάλους, δὲν ἀνέχεται νὰ προτάξῃ ἀπὸ σᾶς ἄλλους· ἐὰν μνημονεύσῃ ἀγωνιστὰς τῆς εὐσεβείας καὶ ἱκανοὺς νὰ ἀναιρέσουν τὰς σοφιστείας τῆς αἱρέσεως, δὲν θὰ ἐξέλεγε νὰ ἀριθμήσῃ πρὶν ἀπὸ σᾶς ἄλλον, ἀφοῦ σᾶς ἀναγνωρίζει ἀρετὴν ἀνίκητον καὶ ἀσυναγώνιστον εἰς ὅλα τὰ πεδία. Καὶ δὲν ἔχει δυσκολίαν νὰ πείσῃ, καθὼς λέγει, αὐτά· διότι διηγεῖται εἰς αὐτιὰ ἀνθρώπων ποὺ γνωρίζουν περισσότερα ἀπὸ ἐκεῖνα πού, ἂν τὰ ἔλεγε κανείς, θὰ ἐνομίζετο ὅτι λέγει ὑπερβολάς.

Αὐτὸς λοιπόν, ἐπιστρέφων αὐτοῦ, ἐζήτησε γράμμα, ὄχι διὰ νὰ ἀποκτήσῃ διὰ μέσου ἡμῶν οἰκειότητα μαζί σας, ἀλλὰ διὰ νὰ εὐεργετήσῃ ἐμέ, παρέχων ἀφορμὴν νὰ χαιρετίσω τοὺς ἀγαπητούς μου. Εἴθε ὁ Κύριος νὰ τὸν ἀμείψῃ διὰ τὴν ἀγαθήν του προαίρεσιν. Καὶ σεῖς δὲ ἀποδώσατέ του τὴν κατὰ δύναμιν εὐγνωμοσύνην μὲ τὰς προσευχὰς καὶ τὴν ἀγαθήν σας πρὸς ὅλους προαίρεσιν. Πληροφορήσατε δὲ καὶ ἡμᾶς πῶς ἔχουν αἱ ὑποθέσεις τῆς Ἐκκλησίας.

290

ΕΠΙΣΤΟΛΗ 306
ΠΡΟΣ ΤΟΝ ΔΙΟΙΚΗΤΗΝ ΤΗΣ ΣΕΒΑΣΤΕΙΑΣ

Ἀντιλαμβάνομαι ὅτι ἡ τιμιότης σου λαμβάνει εὐχαρίστως

1. Ὁ ἐπιφέρων τὴν ἐπιστολήν.

Ἐπιστολὴ 306. Ἐγράφη πιθανῶς κατὰ τὸν χρόνον τῆς ἀρχιερατείας τοῦ Βασιλείου. Συστατική.

προσιεμένης καὶ τὴν αἰτίαν γνωρίζω. Φιλάγαθος γὰρ ὢν καὶ πρὸς εὐποιίας πρόχειρος, ἐπειδή τινα ἑκάστοτε ὕλην παρεχόμεθά σοι ἱκανὴν δέξασθαί σου τῆς προαιρέσεως τὸ μεγαλοφυές, προστρέχεις ἡμῶν ταῖς ἐπιστολαῖς ὡς ἔργων ἀγαθῶν ὑποθέσεις ἐχούσαις. Ἥκει τοίνυν καὶ ἄλλη ὑπόθεσις δυναμένη δέξασθαι τῆς σῆς περὶ πάντα δεξιότητος τοὺς χαρακτῆρας ὁμοῦ καὶ κήρυκα τῶν σῶν ἀγαθῶν ἐπαγομένη. Ἄνδρες γὰρ ἀπὸ τῆς Ἀλεξανδρείας κινήσαντες καθηκόντως ἕνεκεν ἀναγκαίου καὶ κοινῶς πάσῃ τῇ φύσει τῶν ἀνθρώπων τοῖς ἀπελθοῦσιν ὀφειλομένου δέονται τῆς παρὰ σοῦ προστασίας, ὥστε κελεῦσαι αὐτοῖς σῶμα οἰκείου ἀνδρὸς κατὰ τὴν ἐπιδημίαν τοῦ στρατοπέδου τελευτήσαντος τὸν βίον ἐν τῇ Σεβαστείᾳ προστάγματι δημοσίῳ συγχωρηθῆναι κινῆσαι, ἔπειτα μέντοι καὶ τὴν δυνατὴν αὐτοῖς παρασχεθῆναι βοήθειαν ἐκ τοῦ δημοσίου δρόμου, ὥστε εὑρέσθαι τινὰ τῆς μακρᾶς πλάνης διὰ τῆς σῆς μεγαλοφυΐας παραμυθίαν. Ταῦτα δὲ ὅτι μέχρι τῆς μεγάλης διαβήσεται Ἀλεξανδρείας καὶ τοῖς ἐκεῖ διακονήσει τὸ θαῦμα τῆς σῆς τιμιότητος, φανερὸν τῇ συνέσει σου, κἂν ἐγὼ μὴ λέγω. Ἡμεῖς τε πρὸς πολλοῖς οἷς εἰλήφαμεν ἤδη καὶ ταύτην τὴν χάριν ἐναριθμήσομεν.

291

307. ΑΝΕΠΙΓΡΑΦΟΣ

Διωθοῦνται πολλάκις καὶ τὰς χρηστὰς διανοίας αἱ φιλόνικοι φύσεις καὶ κρίνουσι καλὸν καὶ χρήσιμον οὐ τὸ πᾶσι τοῖς ἄλλοις δοκοῦν, κἂν ᾖ λυσιτελές, ἀλλὰ τὸ μόνοις αὐτοῖς ἀρέσκον, κἂν ἐπι-

1. Ἐκ μέρους τῶν ταχυδρομικῶν ἁμαξῶν.

Ἐπιστολὴ 307. Ἐγράφη κατὰ τὸν χρόνον τῆς ἀρχιερατείας τοῦ Βα-

τὰς ἐπιστολάς μας καὶ γνωρίζω τὴν αἰτίαν. Ἐπειδὴ δηλαδὴ εἶσαι φιλάγαθος καὶ πρόθυμος εἰς εὐεργεσίας, ὁσάκις σοῦ προμηθεύομεν θέμα ἱκανὸν νὰ δεχθῇ τὴν μεγαλοφροσύνην τῆς προαιρέσεώς σου, τρέχεις εἰς τὰς ἐπιστολάς μας ὡσὰν νὰ περιέχουν εὐκαιρίας ἀγαθῶν ἔργων. Φθάνει λοιπὸν καὶ ἄλλη εὐκαιρία ποὺ ἠμπορεῖ νὰ δεχθῇ τὰ γνωρίσματα τῆς εἰς ὅλα καλωσύνης σου καὶ συγχρόνως σοῦ προσφέρει κήρυκα τῶν ἔργων σου.

Ἄνδρες ποὺ ἐξεκίνησαν ἀπὸ τὴν Ἀλεξάνδρειαν ἐξ αἰτίας ἀναγκαίου καὶ κοινοῦ εἰς ὁλόκληρον τὴν ἀνθρωπίνην φύσιν καθήκοντος, ὀφειλομένου εἰς τοὺς ἀποθανόντας, ἔχουν ἀνάγκην τῆς προστασίας σου. Εἶναι ἀνάγκη νὰ παραγγείλῃς νὰ μετακινήσουν μὲ δημόσιον πρόσταγμα τὸ σῶμα συγγενοῦς των, ὁ ὁποῖος ἀπέθανεν εἰς τὴν Σεβάστειαν κατὰ τὴν ἐκεῖ παραμονὴν τοῦ στρατοπέδου, ἔπειτα δὲ νὰ τοὺς παρασχεθῇ καὶ ἡ δυνατὴ βοήθεια ἐκ μέρους τῆς δημοσίας συγκοινωνίας [1], ὥστε διὰ τῆς μεγαλοφροσύνης σου νὰ εὑρεθῇ κάποια ἀνακούφισις εἰς τὴν μακρὰν περιπλάνησιν. Τὸ ὅτι δὲ ἡ ὑπόθεσις αὐτὴ θὰ μεταδοθῇ μέχρι τῆς Ἀλεξανδρείας καὶ θὰ προκαλέσουν εἰς τοὺς ἐκεῖ κατοίκους θαυμασμὸν διὰ τὴν τιμιότητά σου, εἶναι φανερὸν εἰς τὴν σύνεσίν σου, ἀκόμη καὶ ἂν δὲν τὸ λέγω ἐγώ. Ἡμεῖς δὲ θὰ συγκαταριθμήσωμεν καὶ αὐτὴν τὴν χάριν μαζὶ μὲ πολλὰς ἄλλας ποὺ ἔχομεν ἤδη λάβει.

291

ΕΠΙΣΤΟΛΗ 307
ΑΝΕΠΙΓΡΑΦΟΣ

Αἱ φιλόνικοι φύσεις πολλάκις ἀποκρούουν καὶ τὰς χρησίμους σκέψεις καὶ κρίνουν ὡς καλὸν καὶ χρήσιμον ὄχι ὅ,τι φαίνεται οὕτω εἰς ὅλους, ἀκόμη καὶ ἂν εἶναι ὠφέλιμον, ἀλλὰ μόνον τὸ ἀρε-

---

σιλείου. Ἀντικείμενον αὐτῆς εἶναι ἡ ἀποτροπὴ εἰσαγωγῆς μιᾶς ὑποθέσεως εἰς τὰ δικαστήρια.

ζήμιον ᾖ. Τὸ δὲ αἴτιον ἄνοια καὶ σκαιότης τρόπων οὐ προσέχουσα ταῖς παρ' ἑτέρων συμβουλίαις, μόναις δὲ πιστεύουσα γνώμαις οἰκείαις καὶ τοῖς ὑποπίπτουσι λογισμοῖς. Ὑποπίπτουσι δὲ οἷς χαίρουσι, χαίρουσι δὲ οἷς βούλονται. Ὃ δὲ ἃ βούλεται νομίζων λυσιτελῆ οὐκ ἔστιν ἀσφαλὴς τοῦ δικαίου κριτής, ἀλλ' ἔοικε τυφλοῖς ὑπὸ τυφλῶν ὁδηγουμένοις. Ἐντεῦθεν καὶ προσπταίει ζημίαις εὐκόλως καὶ τοῦ συμφέροντος διδάσκαλον ἔχει τὴν πεῖραν. Τοῦτο τοίνυν ὑπομένει τὸ πάθος ὁ τῷ παρόντι συνεζευγμένος ἀνδρί. Λέον γὰρ τὴν κρίσιν ἐπιτρέψαι φίλοις κοινοῖς, μᾶλλον δὲ παρὰ πολλοῖς πολλάκις κριθεὶς οἷς ἔμελε τοῦ δικαίου καὶ τῆς ἀληθείας, νῦν ἔδραμεν ἐπ' ἄρχοντας καὶ τὴν τῶν δικαστηρίων κρίσιν καὶ αἱρεῖται πολλὰ ζημιωθεὶς ὀλίγα κερδᾶναι. Αἱ δὲ παρὰ ἄρχουσι κρίσεις οὐδὲ τὴν νίκην ἀζήμιον φέρουσι. Γενοῦ δὴ βοηθός, ὦ φίλη κεφαλή, μάλιστα μὲν ἀμφοτέροις τοῖς κρινομένοις (εὐσεβὲς γὰρ) κωλύων τὴν εἴσοδον τὴν πρὸς τὸν ἄρχοντα καὶ γινόμενος αὐτοῖς ἀντ' ἐκείνου δικαστής. Εἰ δὲ ἀπειθεῖ θάτερος καὶ μάχεται ταῖς ψήφοις, σύμπραξον τῷ ἀδικουμένῳ καὶ πρόσθες τὴν παρὰ σοῦ ῥοπὴν τῷ ζητοῦντι τυχεῖν τῶν δικαίων.

292

308. ΑΝΕΠΙΓΡΑΦΟΣ ΕΠΙ ΠΡΟΣΤΑΣΙΑ

Καὶ παρούσης τῆς τιμιότητός σου τοῖς ἀδελφοῖς, τῶν ἀπὸ

---

1. Βλ. Ματθ. 15, 14.
2. Θὰ ἔχανε πολλὰ εἰς τὰ δικαστήρια.

στὸν εἰς αὐτούς, ἀκόμη καὶ ἂν εἶναι ἐπιζήμιον. Αἴτιον δὲ τούτου εἶναι ἡ μωρία καὶ σκαιότης τοῦ χαρακτῆρος, ἐξ αἰτίας τῆς ὁποίας δὲν προσέχει κανεὶς εἰς τὰς ἀπὸ ἄλλους συμβουλάς, ἀλλὰ πιστεύει μόνον εἰς τὰς ἰδικάς του γνώμας καὶ εἰς τὰς σκέψεις ποὺ τοὺς ἔρχονται εἰς τὸν νοῦν. Τοὺς ἔρχονται δὲ αὐταὶ τὰς ὁποίας ἀγαποῦν, ἀγαποῦν δὲ αὐτὰς ποὺ θέλουν. Ἐκεῖνος δὲ ποὺ νομίζει χρήσιμα ὅσα θέλει δὲν εἶναι ἀσφαλὴς κριτὴς τοῦ δικαίου, ἀλλ' ὁμοιάζει μὲ τυφλοὺς ὁδηγουμένους ἀπὸ τυφλούς [1]. Ὅθεν καὶ εὔκολα ὑφίσταται ζημίας καὶ ἔχει διδάσκαλον περὶ τοῦ συμφέροντος τὴν πεῖράν του.

Αὐτὸ τὸ πάθος λοιπὸν ἔχει ὁ συνέταιρος τοῦ παρόντος ἀνδρός. Ἐνῷ ἔπρεπε νὰ ἀνατεθῇ εἰς κοινοὺς φίλους ἡ κρίσις, μᾶλλον δὲ ἐνῷ ἔχει κριθῇ πολλάκις καὶ ὑπὸ πολλῶν ἀνθρώπων ποὺ ἐνδιαφέρονται διὰ τὸ δίκαιον καὶ τὴν ἀλήθειαν, τώρα ἔτρεξεν εἰς ἄρχοντας καὶ εἰς κρίσιν δικαστηρίων καὶ προτιμᾷ νὰ χάσῃ πολλὰ διὰ νὰ κερδίσῃ ὀλίγα [2]. Αἱ ἀποφάσεις ποὺ λαμβάνουν οἱ ἄρχοντες δὲν ἀφήνουν οὔτε τὴν νίκην ἀζημίωτον. Γίνε λοιπὸν βοηθός, φίλη κεφαλή, καὶ μάλιστα εἰς ἀμφοτέρους τοὺς διαδίκους —διότι αὐτὸ εἶναι εὐσεβές—, ἐμποδίζων τὴν παραπομπὴν τῆς ὑποθέσεως εἰς τὸν ἄρχοντα καὶ γινόμενος ἐσὺ δικαστὴς εἰς αὐτοὺς ἀντὶ ἐκείνου. Ἐὰν δὲ ἕνας ἀπὸ τοὺς δύο ἀπειθήσῃ εἰς τὴν ἀπόφασιν καὶ ἀπορρίψῃ τὴν κρίσιν, σύμπραξε μὲ τὸν ἀδικούμενον καὶ πρόσθεσε τὴν ἰδικήν σου ἐπιρροὴν εἰς τὸν ζητοῦντα νὰ εὕρῃ τὸ δίκαιόν του.

292

ΕΠΙΣΤΟΛΗ 308
ΑΝΕΠΙΓΡΑΦΟΣ ΧΑΡΙΝ ΠΡΟΣΤΑΣΙΑΣ

Καὶ παρουσίᾳ τῆς τιμιότητός σου μεταξὺ τῶν ἀδελφῶν

Ἐπιστολὴ 308. Ἐγράφη κατὰ τὸν χρόνον τῆς ἀρχιερατείας τοῦ Βασιλείου πρὸς κρατικὸν λειτουργόν, συστατικὴ ὑπὲρ τῶν κατοίκων τῆς κωμοπόλεως Καπράλεως.

τοῦ χωρίου Καπράλεως ἕνεκεν διελέχθην καὶ προσήγαγον αὐτοὺς τῇ ἡμερότητί σου παρακαλέσας σε ἔχοντα πρὸ ὀφθαλμῶν τὴν παρὰ τοῦ Κυρίου μισθαποδοσίαν προΐστασθαι αὐτῶν ὡς πενήτων καὶ καταπονουμένων ἐν ἅπασι. Καὶ νῦν πάλιν διὰ τοῦ γράμματος τὴν αὐτὴν ἀνανεοῦμαι παράκλησιν εὐχόμενος τῷ ἁγίῳ Θεῷ καὶ τὴν ὑπάρχουσάν σοι περιφάνειαν καὶ λαμπρότητα τοῦ βίου συντηρηθῆναι καὶ ἐπὶ μείζονα ἐλθεῖν, ἵνα ἀπὸ μείζονος δυνάμεως πολυτελεστέρα ἡμᾶς ἔχῃς εὐεργετεῖν. Ὅτι γὰρ μία ἡμῖν εὐχὴ ἡ παντὸς τοῦ οἴκου ὑμῶν σωτηρία ἡγοῦμαι πεπεῖσθαί σε.

293

309. ΑΝΕΠΙΓΡΑΦΟΣ ΕΠΙ ΕΝΔΕΕΙ

Πάνυ κατέγνων τοῦ ἀδελφοῦ τοῦδε φροντίζοντος ἐπὶ τῇ ἀπογραφῇ τοῦ οἴκου, ὅς γε προλαβὼν τὴν ἀναγκαίαν ἀτέλειαν ἔχει ἀπὸ τῆς πενίας. Ἀπὸ γὰρ βίου εὐπόρου, οὕτω τοῦ Κυρίου ἐπὶ συμφέροντι τῆς ψυχῆς αὐτοῦ οἰκονομήσαντος, νῦν εἰς τὴν ἐσχάτην πενίαν περιετράπη, ὡς μόλις μὲν καὶ τῆς ἐφ' ἡμέραν τροφῆς εὐπορεῖν, ἀνδραπόδου δὲ μηδὲ ἑνὸς κατάρχειν, ἀπὸ πολλῶν ὧν πρότερον εἶχεν ἐν τῇ ἑαυτοῦ δεσποτείᾳ. Τούτῳ τὸ σῶμα περιλέλειπται μόνον καὶ τοῦτο ἀσθενὲς καὶ γηραιόν, ὡς καὶ αὐτὸς ὁρᾷς, καὶ παῖδες τρεῖς, προσθήκη φροντίδων ἀνδρὶ πένητι. Ὅτι μὲν οὖν οὐδὲν ἐδεῖτο τῆς ἡμετέρας πρεσβείας ἱκανὴν ἔχων τὴν πενίαν δυσωπῆσαι διὰ τὸ φιλάνθρωπον τοῦ τρόπου ἀκριβῶς ἠπιστάμην. Ἐπεὶ δὲ δυσάρεστοι οἱ αἰτοῦντες, ἐφοβήθην μήποτε ἐλλιμπάνῃ τι τῶν εἰς αὐτὸν ὀφειλομένων καὶ ἐπέστειλα εἰδὼς ὅτι ἡ ἡμέρα αὐτῷ

Ἐπιστολὴ 309. Ἐγράφη κατὰ τὸν χρόνον τῆς ἀρχιερατείας τοῦ Βα-

